
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
200 ΒΕΡΟΙΑΣ
Αριθ. εἰσ. 153
Ἐξ ἀγορᾶς



GRVER-00056

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΙΕΡΩΝ ΚΑΙ ΦΙΛΟΣΟΦΙΚΩΝ

# ΛΟΓΙΩΝ ΘΗΣΑΥΡΙΣΜΑ

## ΝΕΚΤΑΡΙΟΥ ΚΕΦΑΛΑ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ

ΚΑΙ ΔΙΕΥΘΥΝΤΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΡΙΖΑΡΕΙΟΥ ΣΧΟΛΗΣ

«Ἄν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος »οἴχεται, τὸ δὲ καλὸν μένει».
(Μουσωνίου Ῥούφου).

«Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν Θεός».
(Αἰσχύλου).

«Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, »Καὶ θαμὰ τοῦθ' ἕρδοις, τάχα κεν μέγα καὶ τὸ »γένοιτο». (Ἡσιόδου).


## ΤΟΜΟΣ Β'.



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Α. ΚΑΛΑΡΑΚΗ
ΚΑΤΩΘΕΙ ΤΟΥ ΔΗΜΑΡΧΕΙΟΥ
1896

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας
Αρ. Εισ. 153

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μ
προέρχεται ἐκ τυποκλοπίας καὶ καταδιώκεται κατὰ τ
νόμον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΕΥΓΕΝΕΣΤΑΤΩι ΚΥΡΙΩι

# ΙΩΑΝΝΗι Κ. ΧΩΡΕΜΗι

ΑΝΔΡΙ ΦΙΛΟΜΟΥΣΩι ΚΑΙ ΦΙΛΟΠΑΤΡΙΔΙ

ΤΗΝ ΒΙΒΛΟΝ ΤΑΥΤΗΝ

ΠΟΛΛΗΣ ΥΠΟΛΗΨΕΩΣ ΚΑΙ ΤΙΜΗΣ ΕΝΕΚΕΝ ΑΦΙΕΡΟΙ

Ο ΠΟΝΗΣΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΡΟΘΕΩΡΙΑ

## ΠΕΡΙ ΤΗΣ

# ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΩΣ ΠΡΟΠΑΙΔΕΙΑΣ

## ΕΙΣ ΤΟΝ ΧΡΙΣΤΙΑΝΙΣΜΟΝ

---

**Ἀξιότιμοι Κύριοι,**

Τὸ θέμα ταύτης τῆς μελέτης μου προῆλθεν ἐκ τῶν μελετῶν, εἰς ἃς ἀπό τινων ἐτῶν ἀσχολοῦμαι. Οἱ Ἕλληνες συγγραφεῖς ὑπῆρξαν τὸ ὑποκείμενον τῶν μελετῶν μου· ὡρμήθην δὲ ἐκ διαφλέγοντος πόθου, ὅπως ἀθροίσω πᾶν ὅ,τι περὶ Θεοῦ, περὶ ψυχῆς, καὶ περὶ ἀρετῆς ὑγιὲς εἰρήκασι, καὶ θησαυρίσω τὰς σοφὰς τῶν σοφῶν Ἑλλήνων γνώμας ἐν ἑνὶ τεύχει πρὸς διδασκαλίαν τῶν περὶ τὰς μελέτας ἀσχολουμένων. Ἐκ τῆς μελέτης ταύτης καὶ τῆς διευθετήσεως τῆς ὕλης ἐπείσθην, ὅτι οἱ Ἕλληνες σοφοὶ ἐν ὅλῳ καὶ ἐν μέρει ὑπῆρξαν διδάσκαλοι τῆς ἀληθείας, ὅτι ταύτης ἐγένοντο ἐρασταὶ καὶ ταύτην ἐπεζήτησαν, καὶ ὅτι ὁ ἔρως τῆς γνώσεως τῆς ἀληθείας ἦν ὁ πρὸς τὴν ἀληθῆ φιλοσοφίαν αὐτοὺς ἄγων· οὗτος ἤγαγε κατὰ μικρὸν τὸ Ἑλληνικὸν ἔθνος πρὸς τὴν εὐκρινεστέραν γνῶσιν τῆς ἀληθείας καὶ τελευταῖον πρὸς τὴν ἀποκαλυφθεῖσαν ἀλήθειαν.

Ἡ Ἑλληνικὴ φιλοσοφία ἐγένετο τῇ Ἑλληνικῇ φυλῇ παιδαγωγὸς πρὸς κατανόησιν τῆς ἀποκαλυφθείσης ἀληθείας. Ὁ ἔρως πρὸς τὴν φιλοσοφίαν ἐγένετο ἔρως πρὸς τὸν χριστιανισμόν, καὶ ἡ φιλοσοφία ἀπέβη πίστις εἰς Χριστόν. Ὁ ἔρως ἄρα πρὸς τὴν ἀλήθειαν ὑπῆρξεν ὁ λόγος, δι' ὃν ἡ Ἑλληνικὴ φυλὴ ἅμα τῇ ἐμφανίσει τῆς ἀποκαλυφθείσης ἀληθείας ἐγένετο ταύτης ἐραστὴς καὶ ὀπαδὸς καὶ ἐνεστερνίσθη καὶ ἐνεκολπώθη αὐτὴν καὶ τὸ αἷμα αὐτῆς ἀφειδῶς ὑπὲρ αὐτῆς ἐξέχεεν. Ἐπειδὴ λοιπὸν τοιαύτη ἡ Ἑλληνικὴ φιλοσοφία καὶ οὗτος ὁ λόγος, δι' ὃν ἡ Ἑλληνικὴ φυλὴ πρώτη ἠσπάσθη τὸν χριστιανισμόν, διὰ τοῦτο ἔλαβον ὡς θέμα μελέτης τὴν Ἑλληνικὴν φιλοσοφίαν ὡς προπαίδειαν εἰς τὸν χριστιανισμόν, ὡς θέμα πολλῆς σπουδαιότητος διὰ τοὺς Ἕλληνας.

---

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ς'.

# ΠΕΡΙ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

## ΩΣ ΠΑΙΔΑΓΩΓΟΥ ΤΩΝ ΕΛΛΗΝΩΝ ΠΡΟΣ ΤΟΝ ΧΡΙΣΤΙΑΝΙΣΜΟΝ

Ἑλληνικὴ φιλοσοφία. Δύο λέξεις· ἀλλὰ λίξεις μεσταὶ μεγάλων καὶ ὑψηλῶν ἐννοιῶν· Ἐν αὐταῖς ἐγκολποῦται ἡ τελεία περὶ ἀνθρώπου ἔννοια· ἐν αὐταῖς συνάπτονται τὰ πέρατα τῆς φιλοσοφικῆς ἐνεργείας· ἐν αὐταῖς περιλαμβάνεται τὸ σύνολον τῶν ἐπιστημονικῶν ἀρχῶν· ἐν αὐταῖς ἐκφράζεται τὸ πνεῦμα τῆς ἀναπτυχθείσης ἀνθρωπότητος· ἐν αὐταῖς χαρακτηρίζεται ἡ τελεία τοῦ ἀνθρώπου εἰκών· ἐν αὐταῖς ὁμολογεῖται τὸ μέγεθος τοῦ ἀνθρωπίνου νοῦ· τὸ ὕψος τῆς ἀνθρωπίνης διανοίας, τὸ βάθος τῶν ἐννοιῶν, ἡ ἰσχὺς καὶ τὸ κάλλος τοῦ λόγου, ἡ λεπτότης τῶν διανοημάτων, ἡ εὐκρίνεια καὶ ἡ σαφήνεια αὐτῶν, ἡ δύναμις, ἡ χάρις αὐτῶν, καὶ τέλος ἡ θειότης τοῦ ἀνθρώπου. Ἡ ἑλληνικὴ φιλοσοφία εἶναι ἡ θεμελιώδης ἀρχὴ τῆς ἀληθοῦς ἀναπτύξεως καὶ μορφώσεως· εἶναι ὁ παιδαγωγὸς τοῦ ἀνθρώπου, ὁ ποδηγέτης πρὸς τὴν εὐσέβειαν. Αὕτη ἐγένετο διδάσκαλος τῆς ἀληθείας, διδάσκουσα τὸν ἄνθρωπον τίς ἐστι, τίς ἡ ἐν τῷ κόσμῳ ἀποστολὴ αὐτοῦ, καὶ τί δέον ἐργάζεσθαι, διδάσκουσα αὐτὸν τὴν ὕπαρξιν τοῦ Θεοῦ, τὴν σχέσιν αὐτοῦ πρὸς τὸ θεῖον, καὶ τὴν σχέσιν τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον· διδάσκουσα τὰ θεῖα ἰδιώματα καὶ τὴν συγγένειαν τοῦ ἀνθρώπου πρὸς τὸ θεῖον. Ἡ ἑλληνικὴ φιλοσοφία ἐδίδαξεν τὴν πρόνοιαν τοῦ Θεοῦ πρὸς τὴν ἀνθρωπότητα καὶ ἐγένετο διὰ τῶν ὑγιῶν αὐτῆς θεωριῶν παιδαγωγὸς τῆς ἀνθρωπότητος εἰς Χριστόν.

Ἡ φιλοσοφία εἶναι ἀληθῶς ἀναφαίρετον κτῆμα τοῦ Ἕλληνος· διαδιδομένη ἀνὰ τὰ ἔθνη προσηλυτίζει αὐτὰ καὶ καθιστᾷ αὐτὰ ἑλληνικά, οὐδέποτε δὲ παύεται οὖσα Ἑλληνική· οἱ ὀπαδοὶ αὐτῆς, οἱ ὁμιληταὶ αὐτῆς ἀποβαλόντες τὸ ξένον καὶ βάρβαρον περιβάλλονται τὸ ἑλληνικὸν καὶ τὴν εὐγένειαν· ἡ Ἑλληνικὴ φιλοσοφία προώρισται ἵνα καταστήσῃ τοὺς πάντας Ἕλληνας· ἐγεννήθη ὑπὲρ τοῦ χριστιανισμοῦ καὶ συνεταυτίσθη μετ' αὐτοῦ, ὅπως ἐργασθῇ πρὸς σωτηρίαν τῆς ἀνθρωπότητος. Ἕλλην καὶ φιλοσοφία εἰσὶ δύο τινὰ ἀναπόσπαστα· μαρτυρεῖ δὲ καὶ ὁ Ἀπόστολος τῶν ἐθνῶν Παῦλος λέγων: Ἕλληνες σοφίαν ζητοῦσιν. Ὁ Ἕλλην ἀληθῶς ἐγεννήθη, ἵνα φιλοσοφῇ· διότι ἐγεννήθη διδάσκαλος τῆς ἀνθρωπότητος. Ἀλλ' ἐὰν ἡ φιλοσοφία ἐγένετο παιδαγωγὸς εἰς Χριστὸν ἔπεται ὅτι ὁ Ἕλλην πλασθεὶς φιλόσοφος ἐπλάσθη χριστιανός, ἐπλάσθη ἵνα γνωρίσῃ τὴν ἀλήθειαν καὶ διαδῷ αὐτὴν τοῖς ἔθνεσιν.

Ναὶ ὁ Ἕλλην ἐγεννήθη κατὰ θείαν πρόνοιαν διδάσκαλος τῆς ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

θρωπότητος· τοῦτο τὸ ἔργον ἐκληρώθη αὐτῷ· αὕτη ἦν ἡ ἀποστολὴ αὐτοῦ· αὕτη ἡ κλῆσις αὐτοῦ ἐν τοῖς ἔθνεσιν· μαρτύριον ἡ ἐθνικὴ αὐτοῦ ἱστορία· μαρτύριον ἡ φιλοσοφία αὐτοῦ· μαρτύριον ἡ κλίσις αὐτοῦ· μαρτύριον αἱ εὐγενεῖς αὐτοῦ διαθέσεις· μαρτύριον ἡ παγκόσμιος ἱστορία· μαρτύριον ἡ μακροβιότης αὐτοῦ, ἐξ ἧς δυνάμεθα ἀδιστάκτως νὰ συμπεράνωμεν καὶ τὴν αἰωνιότητα αὐτοῦ, διὰ τὸ αἰώνιον ἔργον τοῦ Χριστιανισμοῦ μεθ' οὗ συνεδέθη ὁ Ἑλληνισμός· διότι ἐνῷ ὅλα τὰ ἔθνη τὰ ἐμφανισθέντα ἐπὶ τῆς παγκοσμίου σκηνῆς ἦλθον καὶ παρῆλθον, μόνον τὸ Ἑλληνικὸν ἔμεινε ὡς πρόσωπον ὁρῶν ἐπὶ τῆς παγκοσμίου σκηνῆς καθ' ὅλους τοὺς αἰῶνας· καὶ τοῦτο, διότι ἡ ἀνθρωπότης δεῖται αἰωνίων διδασκάλων· μαρτύριον τέλος ἡ ἐκλογὴ αὐτοῦ μεταξὺ τῶν ἐθνῶν ὑπὸ τῆς θείας προνοίας, ὅπως ἐμπιστευθῇ αὐτῷ τὴν ἱερὰν παρακαταθήκην τὴν ἁγίαν πίστιν, τὴν θρησκείαν τῆς ἀποκαλύψεως καὶ τὸ θεῖον ἔργον τῆς ἀποστολῆς αὐτῆς, τὸ αἰώνιον ἔργον τῆς σωτηρίας διὰ τῆς διαπλάσεως ἁπάσης τῆς ἀνθρωπότητος κατὰ τὰς ἀρχὰς τῆς ἀποκαλυφθείσης θρησκείας. Τὸ ἔργον τοῦτο ἀληθῶς ἀνετέθη τῇ Ἑλληνικῇ φυλῇ· τοῦτο μαρτυρεῖται ὑπὸ τῆς ἱστορίας· ἓν μόνον βλέμμα ῥιπτόμενον εἰς τὴν ἱστορίαν τοῦ χριστιανισμοῦ ἐπαρκεῖ ὅπως πιστώσῃ τὴν ἀλήθειαν ταύτην. Ἐν τῇ ἱστορίᾳ τοῦ χριστιανισμοῦ ἀπὸ τῆς πρώτης σελίδος αὐτῆς ἀναφαίνεται ἡ τῆς Ἑλληνικῆς φυλῆς ἐν τῷ χριστιανισμῷ ὅρασις, καὶ ἡ κλῆσις αὐτῆς ἵνα ἀναλάβῃ τὸ μέγα τῆς ἀποστολῆς τοῦ χριστιανισμοῦ ἔργον. Οἱ θεῖοι τοῦ Σωτῆρος λόγοι ἀνῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου» ὅτε ἀνηγγέλθη αὐτῷ, ὅτι Ἕλληνες ἤθελον ἰδεῖν αὐτόν, ἐνεῖχον βαθεῖαν ἔννοιαν· ἡ ῥῆσις ἦν προφητεία, πρόρρησις τῶν μελλόντων· οἱ ἐκεῖ ἐμφανισθέντες Ἕλληνες ἦσαν οἱ ἀντιπρόσωποι ὅλου τοῦ Ἑλληνικοῦ ἔθνους· ἐν τῇ παρουσίᾳ αὐτῶν διεῖδεν ὁ θεάνθρωπος Ἰησοῦς τὸ ἔθνος ἐκεῖνο, εἰς ὃ ἔμελλε νὰ παραδώσῃ τὴν ἱερὰν παρακαταθήκην ἵνα διαφυλαχθῇ τῇ ἀνθρωπότητι. Ἐν τῇ ἐπιζητήσει αὐτῶν διέγνω τὴν προθυμίαν τῆς ἀποδοχῆς τῆς ἑαυτοῦ διδασκαλίας, διεῖδε τὴν ἑαυτοῦ δόξαν τὴν ἐκ τῆς πίστεως τῶν ἐθνῶν, καὶ ἀνεγνώρισε τὸ ἔθνος, ὅπερ πρὸς τὸν σκοπὸν τοῦτον προώριστο ἀπὸ καταβολῆς κόσμου.

Τὸ Ἑλληνικὸν ἔθνος ἀληθῶς πρὸς τὸν σκοπὸν τοῦτον ἐκλήθη ἀπὸ καταβολῆς κόσμου καὶ πρὸς τοῦτον μαρτυρεῖται διαπεπλασμένον· ὁ Θεὸς ἐν τῇ θείᾳ αὐτοῦ προνοίᾳ διέπλασεν αὐτὸ ὀφθαλμὸν τοῦ σώματος τοῦ συγκρατουμένου ὑφ' ἁπάσης τῆς ἀνθρωπότητος· ὡς ὄργανον τοιοῦτον ἐν τῷ σώματι τῆς ἀνθρωπότητος ὁ Ἕλλην ἐκλήθη ἵνα ἐργασθῇ καὶ ἐν τῷ ἔργῳ τῆς ἀναγεννήσεως.

Τὸ Ἑλληνικὸν ἔθνος ἕνεκα τῆς φυσικῆς αὐτοῦ ταύτης ἰδιότητος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπέβη ἀληθῶς ὀφθαλμὸς ἐτάζων τά τε ἐμφανῆ καὶ τὰ κεκαλυμ-
μένα ὑπὸ τοῦ πέπλου τοῦ μυστηρίου· ἠτένισεν ἐκθαμβὸν πρὸς τὸ
ἐκπαγλον κάλλος τοῦ κόσμου τῆς δημιουργίας, καὶ ἀνεζήτησε τὸν
θεῖον αὐτῆς δημιουργόν· ἀφωσιώθη εἰς τὴν προσφιλῆ αὐτῷ ἔρευναν
καὶ ἀνεῦρε τὸν θεῖον δημιουργὸν ἐν τοῖς δημιουργήμασιν αὐτοῦ· ἡ
εἰκὼν τοῦ θείου καλλιτέχνου δημιουργοῦ θείῳ δακτύλῳ ἐγγεγραμ-
μένη ἐν τοῖς δημιουργήμασιν αὐτοῦ προσείλκυσεν αὐτὸν καὶ ἁφήρ-
πασεν. Ἡ εἰκὼν τοῦ Θεοῦ κατενοήθη ἐν μικρογραφίᾳ ἐν τῇ καλλι-
τεχνικῇ κατασκευῇ τῶν ὄντων, τοσούτῳ ἐν τῇ θαυμασίᾳ κατασκευῇ
τοῦ μικροῦ θαλεροῦ τοῦ ὡραιοτάτου καὶ τερψιθύμου ἀνθυλλίου, ὅσῳ
καὶ ἐν τῇ κατασκευῇ τῶν μεγίστων δημιουργημάτων· ἡ ἀναρίθμη-
τος ποικιλία ἡ ἀπὸ τῶν ἐλαχίστων διὰπείρου σοφίας ἐκτυλισσομένη
καὶ πρὸς τὰ μέγιστα καταλήγουσα, ἀποβαίνει τῷ φιλοσόφῳ ἀπειρο-
βάθμιος κλῖμαξ, ἧς ἡ κορυφὴ ἐν τῷ Οὐρανῷ, ἣν θαρραλέῳ βήματι
ἀναβαίνων ἀνέρχεται αὐτὴν ἀδιαλείπτως τὰς βαθμίδας ἀμείβων, καὶ
μόνον πρὸς οὐρανὸν ἀτενίζων αἴρεται ὀλονὲν ἀπὸ τῆς γῆς, ἀποδυό-
μενος τὸν περιττὸν γήινον φόρτον, καὶ ζητεῖ νὰ ἀποβῇ πνεῦμα, ὅπως
προσεγγίσῃ τῷ θείῳ πνεύματι, οὗτινος τὸν θρόνον τίθησιν ἐν Οὐ-
ρανῷ· ἐννοεῖ ὅτι μία ἀρχή, μία δύναμις, μία ἄπειρος σοφία, ἓν ὂν
θεῖον ἀγαθὸν ἐγένετο ὁ δημιουργὸς τῆς θαυμαστῆς ταύτης δημιουρ-
γίας. Ἡ κατανόησις τοῦ θείου ἐκ τῶν θείων αὐτοῦ ἰδιοτήτων γεννᾷ
ἐν αὐτῷ τὸ συναίσθημα τῆς ἀγάπης καὶ τῆς λατρείας· ἡ καρδία
αὐτοῦ πληροῦται θείου τινὸς ἔρωτος καὶ θερμαίνεται ὑπὸ θείου πυ-
ρός· αἰσθάνεται, ὅτι ἐν αὐτῷ κατοικεῖ μυστική τις δύναμις, ἕλκουσα
αὐτὸν πρὸς τὸ θεῖον· ἡ ἰσχὺς αὐτῆς εἶναι ἀκατάληπτος ἀλλ' ἰσχυρὰ
ὡς δυναμις θεία· κυριεύει αὐτοῦ καὶ διευθύνει τὰς τε πνευματικὰς
αὐτοῦ καὶ σωματικὰς δυνάμεις κατὰ τὴν ἰδίαν βούλησιν· ἔχει βού-
λησιν ἑτέραν παρὰ τὴν θέλησιν τοῦ αἰσθητικοῦ ἀνθρώπου· αὕτη ἐν
αὐτῷ κρατεῖ καὶ ἰθύνει τὰ πάντα· περίεργον τὸ φαινόμενον· τί τοῦτο
ἐρωτᾷ, τὸ γεννηθὲν ἐν ἐμοί; τίς ἡ σχέσις ἐμοῦ πρὸς τὸ θεῖον, πρὸς
ὃ ἡ ἐν ἐμοὶ αὕτη δύναμις σπεύδει ἀκατάσχετος, πρὸς ὃ ζητεῖ νὰ
προσπελάσῃ, πρὸς ὃ τείνει νὰ ἀφομοιωθῇ; Πῶς ἡ φύσις ἡ ἐν ἐμοὶ
ὑπετάγη τῇ ὑπερφυσικῇ ταύτῃ δυνάμει; πῶς δὲ ἐγὼ ὁ φυσικὸς ἄν-
θρωπος ἑκουσίως ὑποτάσσομαι τῇ ὑπερφυσικότητι; χαίρω δὲ ἐπὶ τῇ
τοιαύτῃ ὑποταγῇ μᾶλλον ἢ ἐπὶ τῇ φυσικῇ τῶν ὁρμῶν ἐλευθερίᾳ·
τίς λοιπὸν εἰμὶ ἐγὼ ὁ ἐκ τῆς γῆς προελθών, καὶ τὸν οὐρανὸν ἐπιζη-
τῶν; τίς ἡ σχέσις τῆς γῆς πρὸς τὸν Οὐρανόν; τῶν αἰσθητῶν πρὸς
τὰ ὑπὲρ αἴσθησιν; τίς ἡ σχέσις ἡ ἐμὴ πρὸς τὸ θεῖον; διατί ἀγαπῶ
αὐτό; διατί ἐπιποθῶ αὐτό; διατί ἐπιθυμῶ νὰ ἐξομοιωθῶ πρὸς αὐτό·
εἰμὶ λοιπὸν πνεῦμα; εἰμὶ λοιπὸν ὄν τι ὑπερφυσικόν; ἀλλ' ἰδοὺ ἀπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θνήσκω καὶ ὁ τάφος καλύπτει τὸ ἄπνουν καὶ νεκρόν μου σῶμα· πῶς ὅμως ὁ θάνατος ἀδυνατεῖ νὰ μὲ πείσῃ ὅτι ἀποθνήσκω εἰς τὸ παντελές; πῶς ἔτι ἐλπίζω ὅτι ζωὴ αἰώνιος μοὶ ἐπιφυλάσσεται; πόθεν ἡ πληροφορία αὕτη περὶ αἰωνίου ζωῆς; βλέπω ὅτι ἀποθνήσκω, καὶ ὅμως πέποιθα ὅτι ζήσομαι εἰς αἰῶνα· ὁ βίος μου ἅπας τοῦτο μαρτυρεῖ· ὁ βίος τῶν ἀνθρώπων ἁπάντων τοῦτο μαρτυρεῖ· οἱ ἄνθρωποι ζῶσι διὰ τὴν αἰωνιότητα· ὁ ἄνθρωπος ἄρα ἔχει κοινὴν τὴν πληροφορίαν περὶ τῆς αἰωνιότητός του· ἡ ἐν αὐτῷ οἰκοῦσα θεία ἐκείνη δύναμις ἡ ἔλκουσα πρὸς τὸ θεῖον αὕτη περὶ τῆς ἀθανασίας καὶ αἰωνιότητός του ἐδίδαξεν αὐτόν· αὕτη μυστικῶς ἐπληροφόρησεν αὐτόν, τὸ δὲ κῦρος τοῦ λόγου αὐτῆς ἔπεισεν αὐτόν. Ἰδοὺ ὁ λόγος τῆς πίστεως αὐτοῦ πρὸς τὴν ἀθανασίαν. Εἶναι λοιπὸν ὁ ἄνθρωπος ὂν ἀθάνατον, διότι νοεῖ τὸ θεῖον, διότι ἕλκεται πρὸς τὸ θεῖον, διότι ἀγαπᾷ τὸ θεῖον, διότι λατρεύει τὸ θεῖον, διότι πληροφορεῖται διὰ τῆς ἐν αὐτῷ μυστηριώδους δυνάμεως ὑπ' αὐτοῦ τοῦ θείου.

Ὁ Ἕλλην λοιπὸν διὰ τῆς φιλοσοφίας ἐγνώρισε πρῶτον τὴν ὕπαρξιν τοῦ θείου καὶ εἶτα ἑαυτόν, οἷος ἀληθῶς ἐστι· διὰ τῆς γνώσεως τοῦ Θεοῦ ἔσχε τελείαν ἑαυτοῦ γνῶσιν· γνωρίσας δὲ ἑαυτὸν ἔγνω τὴν σχέσιν αὐτοῦ πρὸς τὸ θεῖον, τὴν εὐγένειαν αὐτοῦ, καὶ ἔγνω ὅτι ἡ πρὸς τὸ θεῖον ἀφομοίωσις εἶναι τὸ πρώτιστον τῶν καθηκόντων. Ἔγνω δ' ὅτι ἡ ἐν τῷ κόσμῳ ἀποστολή του εἶναι ἡ τελείωσις, ἡ ἀνύψωσις αὐτοῦ ἀπὸ τοῦ ὑλικοῦ κοσμου πρὸς τὸν πνευματικόν· ὅτι ὁ πνευματικὸς κόσμος δέον ἐστὶ νὰ ζωογονῇ τὸν ὑλικὸν κόσμον, ὅτι τὸ πνεῦμα ἀνάγκη νὰ ἐπικρατήσῃ τῆς ὕλης, ὅτι οἱ πνευματικοὶ νόμοι δέον ἐστὶ νὰ ὦσιν ἰσχυρότεροι τῶν ἐν αὐτῷ φυσικῶν νόμων· ὅτι πρέπον ἐστὶν ἐν αὐτῷ νὰ ἐπικρατῶσιν οὗτοι ὡς λογικοί· ὅτι ὁ ἄνθρωπος γίνεται τελειος ἀφομοιούμενος τῷ Θεῷ, καὶ ὅτι ἀφομοιοῦται πρὸς τὸ θεῖον ὅταν κοσμῆται ὑπὸ τῆς εὐσεβείας, τῆς δικαιοσύνης, τῆς ἀληθείας καὶ τῆς ἐπιστήμης· διότι ἀληθῶς αἱ ἀρεταὶ αὗται κέκτηνται τελειωτικὴν ἐν αὐταῖς δύναμιν· διότι ἡ μὲν εὐσέβεια γίνεται προσπέλασις πρὸς τὸ θεῖον, ἡ δὲ δικαιοσύνη, ἡ ἀλήθεια καὶ ἡ ἐπιστήμη, γίνονται αὐτῷ εἰς εἰκόνα καὶ ὁμοίωμα θεῖον.

Ὁ Ἕλλην γνωρίσας τίς εἶναι καὶ τίς ὀφείλει νὰ ἀποβῇ, σκοπὸν ἔθετο τὴν ἑαυτοῦ τελείωσιν· ἐγένετο ἐραστὴς τοῦ πνεύματος καὶ ἐδημιούργησε κόσμον πνευματικόν, ἐν ᾧ ἤθελε νὰ ζῇ· ἡ γνῶσις τοῦ καλοῦ, τοῦ ἀγαθοῦ, τοῦ ἀληθοῦς καὶ ἡ ἔμφυτος πρὸς τὸν πλησίον ἀγάπη ἀνέπτυξεν ἐν τῇ καρδίᾳ τοῦ Ἕλληνος τὸν πόθον τῆς αὐτομεταδόσεως, καὶ ὁ Ἕλλην ἀπέβη διδάσκαλος τῆς ἀνθρωπότητος· ὁ Ἕλλην ἐζήτησε νὰ ἀφομοιώσῃ τοὺς πάντας πρὸς ἑαυτόν· ὁ Ἕλλην δὲν ἐγεννήθη κατακτητὴς τοῦ σώματος, ἀλλὰ τοῦ πνεύματος, δὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐζήτησε δούλους ἀλλ' ἐλευθέρους. Τοῦτο ἠγάπησε καὶ ἡ θεία αὕτη ἀγάπη ἐγένετο τὸ ἐλατήριον ὅλων τῶν ὁρμῶν του· αὕτη ἐμόρφωσε καὶ τὸν ἐθνικὸν αὐτοῦ χαρακτῆρα, ὅστις διέμεινεν ἀναλλοίωτος.

Τοιοῦτος ἐπλάσθη ὁ Ἕλλην καὶ τοιοῦτος διεμορφώθη ὁ ἠθικὸς αὐτοῦ χαρακτήρ. Ὁ τοιοῦτος χαρακτὴρ δὲν ἠδύνατο ἢ νὰ ἐνθουσιασθῇ ἐκ τῶν ἀρχῶν τοῦ χριστιανισμοῦ. Ὁ χριστιανισμὸς ἦν ἀγάπη ἐπηγγέλλετο δὲ νὰ διδάξῃ τοὺς ἀνθρώπους τὴν ἀλήθειαν ὑπὸ τὴν τελείαν καὶ πλήρη αὐτῆς μορφήν, ἐνισχύσῃ καὶ ἀνυψώσῃ τὴν φιλοσοφίαν εἰς τὴν ὑψίστην αὐτῆς περιωπήν, ἀποκαλύψῃ αὐτῇ τὰ μυστήρια τὰ κεκαλυμμένα μείναντα τῇ φιλοσοφίᾳ, παράσχῃ τὴν λύσιν τῶν αἰωνίων προβλημάτων, ἄρῃ τὴν ἀχλὺν τὴν περιβάλλουσαν τοὺς ὀφθαλμοὺς τῆς διανοίας τῶν ἀνθρώπων, ἐγείρῃ αὐτὸν καθεύδοντα, ἀπαλλαξῃ τῆς δεισιδαιμονίας, συνδέσῃ τὴν ἀνθρωπότητα διὰ τοῦ δεσμοῦ τῆς ἀδελφικῆς ἀγάπης, ἀγάγῃ πρὸς τὸν Θεόν, καὶ σώσῃ αὐτὸν τῆς καταδυναστείας τοῦ ἀντιπάλου, χαριζόμενος ἐν μὲν τῷ παρόντι βίῳ τὴν ἀληθῆ εὐδαιμονίαν, ἐν δὲ τῷ μέλλοντι τὴν αἰωνίαν μακαριότητα. Ὁ Ἕλλην ἀνευρὼν ἐν τῷ χριστιανισμῷ τὰς αὐτὰς ἀρχὰς καὶ τὴν εἰκόνα τοῦ τελείου, τοῦ ἰδανικοῦ αὐτοῦ, καὶ τὸν μόνον διδάσκαλον τὸν δυνάμενον νὰ διδάξῃ αὐτὸν πᾶν ὅ,τι ἐπεθύμει νὰ γνωρίσῃ νὰ μάθῃ, καὶ ὅ,τι αὐτὸς ἐπόθει καὶ ἐπεζήτει, καὶ εὑρὼν αὐτὸν ἑρμηνευτὴν τῶν αἰσθημάτων αὐτοῦ, ἐνεκολπώθη αὐτὸν καὶ περιέθαλψεν. Ὁ χριστιανισμὸς ὡς πρῶτον δῶρον αὐτοῦ ἐδωρήσατο αὐτῷ νέαν ζωήν· ὁ δὲ Ἕλλην ὑπεστήριξεν αὐτὸν διὰ τῶν ἀγώνων καὶ τῶν αἱμάτων του.

Ἡ Ἑλληνικὴ φιλοσοφία ἐποδηγέτει τὸ ἑλληνικὸν ἔθνος εἰς τὸν χριστιανισμόν· ὅτι δὲ ἡ Ἑλληνικὴ φιλοσοφία τοιοῦτος ὑπῆρξε ποδηγέτης μαρτυρεῖ καὶ ὁ ἱερὸς πατὴρ Κλήμης ὁ Ἀλεξανδρεύς λέγων: «Ἦν μὲν οὖν πρὸ τῆς τοῦ Κυρίου παρουσίας εἰς δικαιοσύνην Ἕλλησιν ἀναγκαία· νυνὶ δὲ χρησίμη πρὸς θεοσέβειαν γίνεται, προπαιδεία τις οὖσα τοῖς τὴν πίστιν δι' ἀποδείξεως καρπουμένοις· ὅτι ὁ ποῦς σοῦ φησιν (Παροιμ.) οὐ μὴ προσκόψῃ, ἐπὶ τὴν πρόνοιαν τὰ καλὰ ἀναφέροντος ἐάν τε ἑλληνικὰ ᾖ, ἐάν τε ἡμέτερα· πάντων γὰρ αἴτιος τῶν καλῶν ὁ Θεός, ἀλλὰ τῶν μὲν κατὰ προηγούμενον, ὡς τῆς τε Διαθήκης τῆς Παλαιᾶς καὶ τῆς Νέας· τοῖς δὲ κατ' ἐπακολούθημα, ὡς τῆς φιλοσοφίας· τάχα δὲ καὶ προηγουμένως τοῖς Ἕλλησιν ἐδόθη τότε πρὶν ἢ τὸν Κύριον καλέσαι καὶ τοὺς Ἕλληνας· ἐπαιδαγώγει γὰρ καὶ αὐτὸ τὸ Ἑλληνικόν, ὡς ὁ νόμος τοὺς Ἑβραίους εἰς Χριστόν.

Προπαρασκευάζει τοίνυν ἡ φιλοσοφία προοδοποιοῦσα τὸν ὑπὸ Χριστοῦ τελειούμενον .... μία γὰρ ἡ τῆς ἀληθείας ὁδὸς ἀλλ' εἰς αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν καθάπερ εἰς ἀένναον ποταμὸν ἐκρέουσι τὰ ῥεῖθρα ἄλλα ἄλλοθεν.»

Καὶ αὖθις ὁ ἱερὸς πατὴρ λέγει περὶ τῆς Ἑλληνικῆς φιλοσοφίας· «ἀλλ' εἰ μὲν μὴ καταλαμβάνει ἡ Ἑλληνικὴ φιλοσοφία τὸ μέγεθος τῆς ἀληθείας, ἔτι δὲ ἐξασθενεῖ πράττειν τὰς κυριακὰς ἐντολάς, ἀλλ' οὖν γε προκατασκευάζει τὴν ὁδὸν τῇ βασιλικωτάτῃ διδασκαλίᾳ, ἀμηγέπῃ σωφρονίζουσα, καὶ τὸ ἦθος προτυποῦσα καὶ προστύφουσα εἰς παραδοχὴν τῆς ἀληθείας.»

Ὁ Κλήμης δέχεται ὅτι πᾶν ὅ,τι εἶπον ὑγιὲς οἱ φιλοσοφήσαντες, τοῦτο θείας οἰκονομίας ἦτο ἔργον. Ἰδοὺ τί λέγει·

«Εἴτ' οὖν κατὰ περίπτωσίν φασιν ἀπεφθέγξασθαί τινα τῆς ἀληθοῦς φιλοσοφίας τοὺς Ἕλληνας, θείας οἰκονομίας ἡ περίπτωσις· οὐ γὰρ ταὐτόματον ἐκθειάσει τις διὰ τὴν πρὸς ἡμᾶς φιλοτιμίαν, εἴτε κατὰ συντυχίαν, οὐκ ἀπρονόητος ἡ συντυχία· εἴτ' αὖ φυσικὴν ἔνοιαν ἐσχηκέναι τοὺς Ἕλληνας λέγοι, τὸν τῆς φύσεως δημιουργὸν ἕνα νενώσκομεν, καθὸ καὶ τὴν δικαιοσύνην φυσικὴν εἰρήκαμεν κτλ.»

Ὁ Κλήμης ὁμιλῶν περὶ τοῦ ἔργου τῆς Ἑλληνικῆς φιλοσοφίας δεικνύει τίνι τρόπῳ αὕτη ἐποδηγέτει πρὸς τὴν ἀλήθειαν καὶ ὅτι ἔργον αὐτῆς καὶ ὁ κατὰ τοῦ ψεύδους πόλεμος· «προστιοῦσα δὲ ἡ φιλοσοφία ἡ Ἑλληνική, οὐ δυνατωτέραν ποιεῖ τὴν ἀλήθειαν, ἀλλ' ἀδύνατον παρέχουσα τὴν κατ' αὐτῆς σοφιστικὴν ἐπιχείρησιν, καὶ διακρουομένη τὰς δολερὰς κατὰ τῆς ἀληθείας ἐπιβουλάς, φραγμὸς οἰκείως εἴρηται καὶ θριγκὸς εἶναι τοῦ ἀμπελῶνος.»

Ὅτι πᾶσα σοφία καὶ δὴ καὶ ἡ Ἑλληνικὴ φιλοσοφία ἀπὸ Θεοῦ, μαρτυρεῖ καὶ ἡ Γραφὴ λέγουσα· «Ἀπέστειλεν ἡ σοφία τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα οἴνου λέγουσα ὅς ἐστιν ἄφρων ἐκκλινάτω πρός με . . . .»

Ὅτι ἡ Ἑλληνικὴ φιλοσοφία εἶναι δῶρον Θεοῦ καὶ ὅτι πᾶσα σοφία ἀπὸ Θεοῦ ἐστιν, τοῦτο καὶ ἐν Παροιμίαις λέγεται καὶ ἐν τῷ Ἐκκλησιαστῇ καὶ ἐν τῷ σοφῷ Σειράχ. Ἐν Παροιμίαις κεφ. β'. 3-10 φέρονται τὰ ἑξῆς· «ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ καὶ τῇ συνέσει δῷς φωνήν σου, τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ φωνῇ, καὶ ἂν ζητήσῃς αὐτὴν ὡς ἀργύριον, καὶ ὡς θησαυρούς ἐξερευνήσῃς αὐτήν, τότε συνήσεις φόβον Κυρίου καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις· ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις· καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων, καὶ ὁδοὺς εὐλαβουμένων αὐτὸν διαφυλάξει.»

Ὁ Κλήμης παραβάλλει τὴν σοφίαν πρὸς τὸν ὑετόν, τοὺς δὲ φιλοσοφοῦντας πρὸς τὰς ποικίλας βοτάνας τῆς γῆς, αἵτινες καίτοι ὑπὸ τῶν αὐτῶν ποτίζονται ναμάτων, ἑκάστη ὅμως πρὸς τὴν ἰδίαν φύσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν χυμὸν μεταβάλλει. Ἰδοὺ οἱ λόγοι αὐτοῦ: «Καταφαίνεται τοίνυν προπαιδεία ἡ Ἑλληνική, σὺν καὶ αὐτῇ φιλοσοφίᾳ θεόθεν ἥκειν εἰς ἀνθρώπους, οὐ κατὰ προηγούμενον, ἀλλ' ὃν τρόπον οἱ ὑετοὶ καταρρήγνυνται εἰς τὴν γῆν τὴν ἀγαθήν, καὶ εἰς τὴν κοπρίαν, καὶ ἐπὶ τὰ δωμάτια, βλαστάνει δ' ὁμοίως καὶ πόα, καὶ πυρός, φύεταί τε καὶ ἐπὶ τῶν μνημάτων συκῆ, καὶ εἴ τι τῶν ἀναιδεστέρων δένδρων· καὶ τὰ φυόμενα ἐν τύπῳ προκύπτει τῶν ἀληθῶν».

Ἐντεῦθεν δῆλον ὅτι ὁ Κλήμης δὲν παραδέχεται φιλοσοφίαν εἰμὴ τὴν ὑγιαίνουσαν. Τοῦτο δηλοῦται καὶ ἐκ τῶν ἑφεξῆς.

«Οὐ μὴν ἁπλῶς πᾶσαν φιλοσοφίαν ἀποδεχόμεθα, λέγει» ἀλλ' ἐκείνην περὶ ἧς καὶ ὁ παρὰ Πλάτωνι λέγει Σωκράτης. Εἰσὶ γὰρ δή, ὡς φασί, περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοὶ Βάκχοι δὲ παῦροι· πολλοὺς μὲν τοὺς κλητούς, ὀλίγους δὲ τοὺς ἐκλεκτοὺς αἰνιττόμενος· ἐπιφέρει γοῦν σαφῶς. Οὗτοι δέ εἰσι κατὰ τὴν ἐμὴν δόξαν, οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς· ὧν δὴ κἀγώ, κατά γε τὸ δυνατόν, οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην καί τι ἠνύσαμεν ἐκεῖσε ἐλθόντες, τὸ σαφὲς εἰσόμεθα, ἐὰν ὁ Θεὸς θέλῃ, ὀλίγον ὕστερον.

Ὁ Κλήμης διακρίνει τὴν ἀληθῆ φιλοσοφίαν τῆς σοφιστείας καὶ τὰ καλῶς παρ' αὐτῆς εἰρημένα τῶν μὴ καλῶς εἰρημένων· τοῦτο δείκνυται καὶ ἐκ τῶν ἑξῆς. «Φιλοσοφίαν οὐ τὴν Στωϊκὴν λέγω, οὐδὲ τὴν Πλατωνικήν, ἢ τὴν Ἐπικούρειόν τε καὶ Ἀριστοτελικήν· ἀλλ' ὅσα εἴρηταί παρ' ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετ' εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί· ὅσα δὲ ἀνθρωπίνων λογισμῶν ἀποτεμόμενοι παρεχάραξαν, ταῦτα οὐκ ἄν ποτε θεῖα εἴποιμ' ἄν».

Ὁ Ἱερὸς Κλήμης τὴν φιλοσοφίαν ταύτην ὡς ὑγιῆ θεωρεῖ ἀνωτέραν παντὸς ψόγου· διὸ ἵνα προλάβῃ πάντα κατ' αὐτῆς ψόγον ἐκ τῆς παρερμηνείας χωρίων τινῶν τῆς Ἱερᾶς Γραφῆς ἑρμηνεύει ταῦτα καὶ λέγει. «Ὅταν ἡ Γραφὴ λέγῃ περὶ τῶν Ἑλλήνων σοφῶν φίλαυτοι καὶ ἀλαζόνες», σοφοὺς λέγουσα ἡ Γραφή, οὐ τοὺς ὄντως σοφοὺς διαβάλλει, ἀλλὰ τοὺς δοκήσει σοφούς. Κατὰ τούτων φησίν, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω».

Ὁ Κλήμης ἐπὶ τοσοῦτον προβαίνει ἐν τῇ θεωρίᾳ αὐτοῦ ὅτι ἐκ τοῦ Θεοῦ πᾶσα σοφία καὶ ὅτι ἡ θεία σοφία ἐφώτιζε καὶ ἐποδηγέτει τὸ ἑλληνικὸν ἔθνος, ὥστε φρονεῖ, ὅτι τὰ ἱερὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης μετεφράσθησαν κατὰ θείαν πρόνοιαν Ἑλληνιστί, καὶ τὰ τῆς Καινῆς Διαθήκης ἐγράφησαν Ἑλληνιστί, ὅπως τὸ Ἑλληνικὸν ἔθνος τὸ διὰ τῆς φυσικῆς θεογνωσίας εἰς τὴν εὕρεσιν τῆς ἀληθείας ποδηγετηθέν, γνωρίσῃ καὶ τὴν δι' ἀποκαλύψεως γνωσθεῖσαν τοῖς ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

θρώποις ἀλήθειαν καὶ δι' ἀμφοτέρων ὁδηγηθῇ πρὸς τὴν ὑψίστην ἀλήθειαν.

Ἰδοὺ ὁ Κλήμης τί λέγει περὶ τῆς ἑρμηνείας τῶν Ἱερῶν Γραφῶν ἐν τῇ Ἑλληνικῇ φωνῇ:

«Διὰ τοῦτο γὰρ Ἑλλήνων φωνῇ ἑρμηνεύθησαν αἱ Γραφαὶ ὡς μὴ πρόφασιν ἀγνοίας προβάλλεσθαι δυνηθῆναί ποτε αὐτούς, οἵους τε ὄντας ἐπακοῦσαι καὶ τῶν παρ' ἡμῖν, ἢν μόνον ἐθελήσωσιν».

Ἐκ τούτων δηλοῦται ὅτι ὁ Κλήμης δέχεται θείαν πρόνοιαν προνοοῦσαν ὑπὲρ τῶν Ἑλλήνων ὅπως γνωρίσωσι τὴν ἀλήθειαν καὶ μὴ δι' ἄγνοιαν τῆς Ἑβραϊκῆς γλώσσης ἀγνοήσωσι τὴν ἀποκαλυφθεῖσαν ἀλήθειαν καὶ πλανηθῶσι τῆς εὐθείας τῆς ἀγούσης εἰς τὴν ἑαυτῶν ἀποστολήν. Πρὸς τὴν γνώμην ταύτην καὶ ἡμεῖς συντασσόμεθα· καὶ ἀληθῶς, δύναταί τις νὰ ἐρωτήσῃ· διατὶ Ἕλληνιστὶ νὰ γραφῶσιν αἱ Γραφαὶ καὶ οὐχὶ Ρωμαϊστί; ἢ ἐν ἄλλῃ τινὶ γλώσσῃ; Ἡ θεία πρόνοια ὑπὲρ αὐτοῦ πάντως ἔσχε λόγον τὴν ἐκλογὴν τοῦ Ἑλλ. ἔθνους ἀπὸ τῆς ἐμφανίσεώς του διὰ τὸν χριστιανισμόν. Παντως τὸ Ἑλλ. ἔθνος εἶχε κληθῇ ἵνα ἐργασθῇ ὑπὲρ τοῦ χριστιανισμοῦ καὶ διὰ τοῦτο ἡ ὑπὲρ αὐτοῦ πρόνοια πρὸς γνῶσιν τῆς ἀποκαλυφθείσης ἀληθείας διά τε τῆς φιλοσοφίας καὶ τῆς Ἀποκαλύψεως· ἤδη δυνάμεθα νὰ εἴπωμεν ὅτι ἡ φιλοσοφία ἐποδηγέτει τὸ Ἑλληνικὸν εἰς Χριστὸν ὅπως ἀναδείξῃ αὐτὸ κατάλληλον ὄργανον πρὸς διάδοσιν τῶν θείων αὐτοῦ ἀρχῶν.

Καὶ τοιαύτη ἡ ἐμὴ πεποίθησις. Ἐπειδὴ ὅμως ἐνδεχόμενον νὰ ὑπάρχωσί τινες φρονοῦντες ὅτι ἡ Ἑλληνικὴ φιλοσοφία εἶναι ἡ ἐκφρασις τῆς ἰσχύος τῆς ἀνθρωπίνης διανοίας καὶ τὸ τέλος καὶ ὁ σκοπὸς τῶν ἐνεργειῶν τοῦ πνευματικοῦ βίου τοῦ ἀνθρώπου ἐν ᾧ ἡ πλήρωσις τῶν πνευματικῶν ἀναγκῶν τοῦ ἀνθρώπου καὶ τὸ πλήρωμα τῶν ἐγκαρδίων αὐτοῦ πόθων, τὸ φέρον τὴν εὐδαιμονίαν καὶ τὴν μακαριότητα, ἐπιχειροῦμεν διὰ βραχέων νὰ ὑποδείξωμεν τοὺς λόγους δι' οὓς ἡ Ἑλληνικὴ φιλοσοφία δὲν ἠδύνατο νὰ ᾖ σκοπός, ἀλλὰ συναίτιον αἴτιον καὶ ποδηγέτης πρὸς τὸν σκοπόν.

Περὶ τοῦ ζητήματος τούτου ὁ Ἱερὸς Κλήμης ἰδοὺ τί λέγει:

Ἡ φιλοσοφία ζήτησις οὖσα τῆς ἀληθείας πρὸς κατάληψιν τῆς ἀληθείας, συλλαμβάνεται οὐκ αἰτία οὖσα καταλήψεως, ἀλλὰ σὺν τοῖς ἄλλοις (αἰτίοις) αἰτία καὶ συνεργός, τάχα δὲ καὶ συναίτιον αἴτιον· ὡς δὲ ἑνὸς ὄντος τοῦ εὐδαιμονεῖν αἰτίαι τυγχάνουσιν αἱ ἀρεταί, πλείονες ὑπάρχουσαι . . . οὕτω μιᾶς οὔσης τῆς ἀληθείας πολλὰ τὰ συλλαμβανόμενα πρὸς ζήτησιν αὐτῆς.

Ἀληθῶς ἡ Ἑλληνικὴ φιλοσοφία ἦτο συναίτιον αἴτιον καὶ συνεργὸς καὶ αἰτία καταλήψεως τῆς ἀληθείας, οὐχὶ δὲ αὐτὴ ἡ ἀλήθεια, ἥτις ἠδύνατο νὰ θεωρηθῇ τὸ τέρμα τῶν ἐνεργειῶν τῆς ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρωπότητος καὶ τὸ τέλος καὶ ὁ σκοπὸς τῆς δράσεως αὐτῆς. Ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου ἐναπελείπετο πάντοτέ τι κενόν, ὅπερ ἡ φιλοσοφία ἠδυνάτει νὰ πληρώσῃ· ἡ φιλοσοφία οὐ μόνον δὲν ἐγίνετο πληρωτικὴ τοῦ κενοῦ τῆς καρδίας, ἀλλὰ μᾶλλον ἐμεγέθυνε αὐτὸ ἀνευρίσκουσα μὲν τὸν Θεὸν ἐν τοῖς δημιουργήμασι καὶ ἀναπτύσσουσα ἐν τῇ καρδίᾳ τὸν πρὸς αὐτὸν ἔρωτα, ἀδυνατοῦσα ὅμως νὰ προσπελάσῃ αὐτῷ καὶ ἐγκολπωθῇ αὐτόν· ἡ φιλοσοφία, λέγει ὁ Κλήμης, ἔβλεπε τὴν εἰκόνα τῆς ἀληθείας ὡς ἐν ἐσόπτρῳ ὡς φαντασία καθορᾶται ἐν τοῖς ὕδασιν, καὶ διὰ διαφανῶν καὶ διαυγῶν σωμάτων· ἡ ἀνθρωπότης ὅμως ἤθελε νὰ ἴδῃ καθαρῶς, ἐπεζήτει τὴν μετὰ τοῦ θείου ἕνωσιν· ἡ δὲ φιλοσοφία ἠννόει μὲν τὸν Θεὸν ἐκ τῶν θείων αὐτοῦ ἰδιοτήτων, συνῃσθάνετο τὸ ἄπειρον αὐτοῦ μεγαλεῖον, ἀλλ' ἔβλεπεν αὐτὸν ὡς ἐν εἰκόνι, ἠδυνατεῖ δὲ νὰ ἑνώσῃ τὸν ἄνθρωπον μετὰ τοῦ θείου. Ἡ διὰ τῆς φιλοσοφίας νόησις τῶν θείων ἰδιοτήτων ἐδίδαξεν τὸν ἄνθρωπον τὰς ἠθικὰς ἀρετὰς ὅπως δι' αὐτῶν ἀφομοιωθῇ πρὸς τὸ θεῖον· ἀλλ' ἡ διδασκαλία μόνη ἠδυνάτει νὰ ἀνυψώσῃ τὸν ἄνθρωπον μέχρι τοῦ θρόνου τοῦ Θεοῦ πρὸς ὃν ἐπεθύμει νὰ φθάσῃ ἕνα ἴδῃ αὐτὸν πρόσωπον πρὸς πρόσωπον· ἠδυνάτει, διότι ἠδυνάτει νὰ ἄρῃ τὸ μεσότειχον τὸ ἀνεγερθὲν ὑπὸ τῆς ἁμαρτίας μεταξὺ Θεοῦ καὶ ἀνθρώπων· ἠδυνάτει, διότι ἠδυνάτει νὰ διαπλάσῃ τὸν ὑπὸ τῆς ἁμαρτίας διαφθαρέντα ἄνθρωπον στερουμένη θείας διαπλαστικῆς δυνάμεως· ἠδυνάτει, διότι ἐστερεῖτο θείου κύρους· ἠδυνάτει, διότι ἐστερεῖτο πίστεως πληροφορούσης μυστικῶς τὴν καρδίαν πρὸς ἀποδοχὴν τῆς διδασκαλίας ἄνευ ἐπιφυλάξεως· ἠδυνάτει, διότι ἐστερεῖτο ἐλπίδος ἀϊδίου, ἀμειώτου, καθαρᾶς παντὸς φόβου, πάσης μεταμελείας, ἐλπίδος ἐχούσης ἐν ἑαυτῇ τὸ πλήρωμα τῆς εὐδαιμονίας· ἠδυνάτει, διότι ἐστερεῖτο δυνάμεως πρὸς ἀνακούφισιν τῶν καρδιῶν τῆς πασχούσης ἀνθρωπότητος· ἠδυνάτει, διότι ἐστερεῖτο τῆς ἰσχύος τῆς Χριστιανικῆς ἀγάπης τῆς ἀμειβομένης ὑπὸ τῆς θείας ἀγάπης τῆς δαψιλευούσης τὴν εὐδαιμονίαν καὶ μακαριότητα· ἠδυνάτει, διότι ἐστερεῖτο πίστεως πληροφορούσης τὴν καρδίαν τῶν ὑπαδῶν αὐτῆς περὶ τῆς ἀπολύτου ἀληθείας τῶν ἑαυτῆς ἀρχῶν· ἠδυνάτει, διότι ἐστερεῖτο θείας δυνάμεως ἑλκούσης τὴν ἀνθρωπότητα εἰς ἑαυτήν· ἠδυνάτει, διότι ἐστερεῖτο δυνάμεως πειθούσης ἔν τε τοῖς λόγοις καὶ τοῖς ἔργοις· ἠδυνάτει, διότι ἐστερεῖτο τῆς μεγαλουργοῦ δυνάμεως τῆς ἐκθαμβούσης καὶ καταπληττούσης· ἠδυνάτει, διότι ἐστερεῖτο τῶν ἐκ τῶν ἄνωθεν μαρτυρίων πρὸς πίστωσιν τῆς ἀληθείας τῶν ἑαυτῆς λόγων· ἠδυνάτει, διότι ἐστερεῖτο θείων χαρισμάτων δαψιλευομένων τοῖς ὑπαδοῖς ὑπὸ τοῦ οὐρανοῦ· ἠδυνάτει, διότι ἐστερεῖτο τῶν καρπῶν τῆς χάριτος τοῦ ἁγίου Πνεύματος· ἠδυνάτει, διότι ἐστερεῖτο ἁγια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σμοῦ καὶ τῆς μεταδοτικῆς τούτου δυνάμεως· ἠδυνάτει τέλος, διότι ἐστερεῖτο θείας ἀποκαλύψεως καὶ θρησκευτικοῦ κύρους ἐπαναπαύοντος τὰς καρδίας τῶν ὀπαδῶν αὐτῆς. Τούτων δὲ ἁπάντων ἐδέετο ἡ ἀνθρωπότης ὅπως πεισθῇ, ὅπως βαδίσῃ τὴν εὐθεῖαν ὁδόν, ἀποστῇ τῆς πλάνης, ἀναπλασθῇ, καὶ τύχῃ τῆς μακαριότητος· ἡ ἔνδεια αὕτη τῆς φιλοσοφίας καθίστα αὐτὴν ἀνίσχυρον ἵνα ἀποβῇ ὁ σκοπὸς καὶ τὸ τέλος τοῦ πνευματικοῦ τοῦ ἀνθρώπου βίου· ἐντεῦθεν ἡ πεποίθησις ἡμῶν ὅτι ἡ φιλοσοφία ἐγένετο παιδαγωγὸς εἰς τὸν Χριστιανισμὸν ἐν ᾧ εὑρίσκετο τὸ πλήρωμα τῶν ἐλλείψεων τῆς φιλοσοφίας, καὶ ἡ τελεία ἱκανοποίησις τῶν πόθων τῆς καρδίας τοῦ ἀνθρώπου καὶ οὐχὶ σκοπὸς καὶ τελικὸν ὅριον.

Ὅτι ἡ Ἑλληνικὴ φιλοσοφία δὲν ἠδύνατο νὰ εἶναι ὁ σκοπὸς καὶ τελικὸν ὅριον τοῦ πνευματικοῦ βίου τοῦ ἀνθρώπου καὶ τὸ πλήρωμα τῶν πόθων τῆς καρδίας αὐτοῦ δείκνυται καὶ ἐκ τῆς ἀδυναμίας ὅπως λύσῃ καὶ τὰ ἑξῆς τρία σπουδαιότατα ζητήματα τὰ ἀπασχολήσαντα ἀπ' αἰώνων τὸ πνεῦμα τῆς ἀνθρωπότητος, καὶ πείσῃ αὐτὴν ἀδιστάκτως περὶ τῆς ἀληθείας τῶν ἑαυτῆς λόγων. Ἡ ἀνθρωπότης ἐπεθύμει νὰ γνωρίσῃ καὶ πιστεύσῃ τὸν ἀληθῆ Θεόν, διότι ἠσθάνετο τὴν ἀνάγκην νὰ προσπελάσῃ αὐτῷ· ἐπεθύμει νὰ γνωρίσῃ καὶ πεισθῇ περὶ τῆς ἀξίας ἑαυτοῦ καὶ τῆς σχέσεως αὐτοῦ πρὸς τὸ θεῖον· καὶ τρίτον ἐπεθύμει νὰ γνωρίσῃ τὰ περὶ τῆς αἰωνιότητός του. Ἡ φιλοσοφία ἠδύνατο νὰ ἀγάγῃ τοὺς φιλοσοφοῦντας πρὸς τὴν ἀλήθειαν ὡς καὶ νὰ φανερώσῃ αὐτοῖς τὴν εἰκόνα τῆς ἀληθείας ὡς ἐν ἐσόπτρῳ καὶ διὰ σωμάτων διαυγῶν καὶ διαφανῶν, ἀλλ' ἠδύνατο διδάσκουσα περὶ αὐτῶν νὰ πείσῃ, καὶ ἄρῃ τὸ βάρος τὸ ἐπιβαρύνον τὰς καρδίας τῶν ἀνθρώπων· πρὸς τὰ ζητήματα ταῦτα συνεδίετο ἅπας ὁ ἠθικὸς καὶ πνευματικὸς βίος τοῦ ἀνθρώπου, πᾶσα ἡ ἐν τῷ βίῳ αὐτοῦ ὁρᾶσις. Ὁ ἄνθρωπος ἐπεθύμει νὰ πληροφορηθῇ καὶ βεβαιωθῇ ὅπως κανονίσῃ τὸν ἠθικὸν αὐτοῦ βίον· διότι οὐδεὶς ἐπὶ ἀβεβαίων καὶ σαλευομένων ἀρχῶν, ἀρχῶν μάλιστα στερουμένων θείου κύρους οἰκοδομεῖ στερρῶς τὸν ἑαυτοῦ ἠθικὸν βίον· ἡ φιλοσοφία ἐδίδαξεν ὑγιεῖς θεωρίας, ἀλλ' οὐδεὶς ἐπείσθη νὰ κανονίσῃ τὸν ἑαυτοῦ βίον πρὸς τὰς καλὰς θεωρίας διὰ τὴν ἔλλειψιν θείου κύρους καὶ ἐνδομύχου πληροφορίας· ὁ ἄνθρωπος ἐπεζήτει πληροφορίας ἐζήτει τὴν ἀπόδειξιν τῆς ἀληθείας τῆς διδασκαλίας τῆς φιλοσοφίας· ἡ δὲ ἀπόδειξις ἔλειπεν. Ἡ ἀπαίτησις αὕτη, ἀπαίτησις τοῦ πνεύματος καὶ τῆς καρδίας τοῦ ἀνθρώπου, οὖσα τὸ προοίμιον τῆς συγκαταθέσεως τῆς καρδίας καὶ τοῦ νοῦ πρὸς ἄσκησιν ἠθικοῦ βίου, οὐχὶ δὲ καὶ τὸ μέσον πρὸς κατόρθωσιν, διότι ἀπητοῦντο πάντα, ὅσα ἀνωτέρω ἐδείξαμεν, ὑπῆρξεν ὁ σκόπελος πρὸς ὃν εὐθὺς ἐξ ἀρχῆς ἅμα ἀναγομένη

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

πλησίστιος καὶ ἐναυάγει προσαράσσουσα ἡ φιλοσοφία. Ἡ ὑπὸ τῆς ἱστορίας μαρτυρουμένη ἀδυναμία καὶ ἀνικανότης πρὸς ἠθικοποίησιν τῆς ἀνθρωπότητος καὶ πρὸς ἱκανοποίησιν τῶν ἀκορέστων πόθων τῆς καρδίας καὶ τῶν ἀπαιτήσεων τοῦ νοῦ, δεικνύει τὸ ἀνεπαρκὲς τῆς φιλοσοφίας πρὸς τὸ μέγα ἔργον τοῦ φωτισμοῦ καὶ τῆς διαπλάσεως τῆς ἀνθρωπότητος. Ἡ ἀνθρωπότης ἐζήτει θείαν ἀποκάλυψιν ὅπως μάθῃ τὴν ἀλήθειαν καὶ βεβαιωθῇ καὶ πεισθῇ· ἡ ἀνθρωπότης ἐδεῖτο θείου διαπλάστου· ἡ δὲ φιλοσοφία ἱστερεῖτο τούτων. Ἡ ἀνθρωπότης εὗρεν ταῦτα ἐν τῷ χριστιανισμῷ πρὸς ὃν ἐποδηγέτει ἡ Ἑλληνικὴ φιλοσοφία· αὕτη ἡ ἐμὴ περὶ τοῦ ζητήματος τούτου ταπεινὴ γνώμη.

*Ἐν Ἀθήναις τῇ 17 Ἰουνίου 1896.*

† **Ὁ Πενταπόλεως** ΝΕΚΤΑΡΙΟΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΕΡΩΝ ΚΑΙ ΦΙΛΟΣΟΦΙΚΩΝ

# ΛΟΓΙΩΝ ΘΗΣΑΥΡΙΣΜΑ

## ΚΕΦΑΛΑΙΟΝ Α'.

### ΠΕΡΙ ΘΕΟΥ

### § 1. Περὶ τοῦ ὅτι ἀπὸ Θεοῦ δέον ἄρχεσθαι.

— *Ἀπὸ τῶν θεῶν ἀρχὴν ποιεῖσθαι πρέπον.* (*Θεοδέκτ. Στοβ. Ἐκλογ.* I, *31*).

— *Παντὸς ἀρχομένῳ σπουδαίου λόγου τε καὶ ἔργου, ἀπὸ τῶν Θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι.* (*Δημοσθ. Ἐπ. ά.*)

— *Ὦ Ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο*
*Λήσομαι ἀρχόμενος, οὐδ' ἀποπαυόμενος.*
*Ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον, ἔν τε μέσοισιν*
*. . . . . σὺ δέ μευ κλῦθι, καὶ ἐσθλὰ δίδου* (*Θέογν. 1—4*).

— *Ἀπὸ Θεῶν χρὴ πάντα ἀρχόμενον ἀεὶ λέγειν τε καὶ νοεῖν* (*Πλάτ. ἐπι... 8*).

— *Σὸν οὖν ἔργον λέγειν ἂν εἴη, ὦ Τίμαιε, τὸ μετὰ τοῦτο, ὡς ἔοικε, καλέσαντα κατὰ νόμον Θεούς* (*Πλάτ. Τίμαιος*).

— *Τὸ θεῖον τοὺς ἀπὸ Θεῶν ἀρχομένους ἐντιμοτάτους καταστῆσαι βούλεται* (*Ξενοφ. Ἀνάβ. ς'. 379*).

— *Παντὸς ἀρχομένῳ καὶ λόγου καὶ πράγματος προσήκει ἐκ θεοῦ τε ἄρχεσθαι, καὶ εἰς θεὸν ἀναπαύεσθαι* (*Γρηγ. Θεολόγ.*)

— *Ἐκ Διὸς ἀρχώμεσθα καὶ εἰς Δία λήγετε, Μοῖσαι* (*Θεοκρίτου* XVII).

### § 2. Περὶ Θεοῦ ὑπάρξεως.

— *Εὕροις δ' ἂν ἐπιὼν καὶ πόλεις ἀτειχίστους, ἀγραμμάτους, ἀβασιλεύτους, ἀοίκους, ἀχρημάτους, νομισμάτων μὴ δεομένας, ἀ-*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*πείρους θεάτρων καὶ γυμνασίων· ἀνιέρου δὲ πόλεως καὶ ἀθέου μὴ χρωμένης εὐχαῖς, μηδὲ ὅρκοις, μηδὲ μαντείαις, μηδὲ θυσίαις ἐπ' ἀγαθοῖς, μηδὲ ἀποτροπαῖς κακῶν, οὐδείς ἐστιν, οὐδ' ἔσται γεγονὼς θεατής· ἀλλὰ πόλις ἄν μοι δοκεῖ μᾶλλον ἐδάφους χωρίς, ἡ πολιτεία, τῆς περὶ Θεοῦ δόξης ἀναιρεθείσης, παντάπασι σύστασιν λαβεῖν, ἢ λαβοῦσα τηρῆσαι* (*Πλουτάρχ. πρὸς Κολώτην Ἐπικούρειον τομ. 10 σελ. 626 ἔκδ.* Reische).

— *Διὰ τὴν πρὸς τὸ δαιμόνιον γνώμην ἰσχυρὸς ἔρως πᾶσιν ἀνθρώπος ἐγγύθεν τιμᾶν καὶ θεραπεύειν τὸ θεῖον, προσιόντας καὶ ἁπτομένους μετὰ πειθοῦς, θύοντας καὶ στεφανοῦντας· ἀτεχνῶς γὰρ ὥσπερ νήπιοι παῖδες, πατρὸς ἢ μητρὸς ἀπεσπασμένοι, δεινὸν ἵμερον ἔχοντες καὶ πόθον ὀρέγουσι χεῖρας οὐ παροῦσι πολλάκις ὀνειρώττοντες· οὕτω καὶ οἱ ἄνθρωποι, θεοὺς ἀγαπῶντες δικαίως διά τε εὐεργεσίαν καὶ συγγένειαν, προθυμούμενοι πάντα τρόπον συνεῖναί τε καὶ ὁμιλεῖν* (*Δίων Χρυσοστ. λογ. ιβ'. περὶ τῆς πρώτης τοῦ Θεοῦ εὐνοίας*).

— *Σωκ. Ἀναγκαῖον οὖν ἐστι περιμένειν ἕως ἄν τις μάθῃ, ὡς δεῖ πρὸς Θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.—Ἀλκιβ. Πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες; καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν τοῦτον τὸν ἄνθρωπον τίς ἐστιν.—Σωκρ. Οὗτος, ᾧ μέλει περὶ σοῦ. Ἀλλὰ δοκεῖμοι, ὥσπερ τῷ Διομήδει φησὶ τὴν Ἀθηνᾶν Ὅμηρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλύν, ὅφρ' εὖ γινώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα, οὕτω καὶ σοὶ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον τὴν ἀχλὺν ἀφελόντα, ἣ νῦν παροῦσα τυγχάνει, τὸ τηνικαῦτ', ἤδη προσφέρειν, δι' ὧν μέλλεις γνώσεσθαι ἠμὲν κακὸν ἠδὲ ἐσθλόν. Νῦν μὲν γὰρ οὐκ ἄν μοι δοκεῖς δυνηθῆναι* (*Πλάτ. Ἀλκιβ. σελ. 63 ἔκδ.* Stallbaum).

— *Φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα τούτους μόνους θεοὺς ἡγεῖσθαι, ὥσπερ νῦν πολλοὶ τῶν βαρβάρων, ἥλιον καὶ σελήνην, καὶ γῆν, καὶ ἄστρα, καὶ οὐρανόν. Ἅτε οὖν αὐτὰ ὁρῶντες πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα, ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν, θεοὺς αὐτοὺς ἐπονομάσαι· ὕστερον δὲ κατανοοῦντες τοὺς ἄλλους πάντας ἤδη τούτῳ τῷ ὀνόματι προσαγορεύειν. ἔοικέ τι ὃ λέγω τῇ ἀληθείᾳ ἢ οὐδέν;* (*Πλατ. Κρατόλ. 177*).

— *Οὐκοῦν δοκεῖ ῥᾴδιον εἶναι ἀληθεύοντας λέγειν, ὡς εἰσι Θεοί; Πρῶτον μὲν γῆ καὶ ἥλιος, ἄστρα τε τὰ ξύμπαντα, καὶ τὰ τῶν ὡρῶν διακεκοσμημένα καλῶς οὕτως, ἐνιαυτοῖς τε καὶ μησὶ διειλημμένα· καὶ ὅτι πάντες Ἕλληνές τε καὶ βάρβαροι νομίζουσιν εἶναι Θεούς* (*Πλάτ. Νόμων ι'.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν· ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμεν· γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. Πράξ. ιζ'. 24—29).*

*ιθ'. Τί οὖν ὄντως Ὂν ἐστι; τὸ ἀΐδιον καὶ ἀγένητον καὶ ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει· κινητὸν γάρ τι καὶ κινουμένῃ συμφανταζόμενον ὕλῃ, καὶ ῥέον ἀεὶ καὶ μὴ στέγον, ὥσπερ ἄγγειον φθορᾶς καὶ γενέσεως, ὁ χρόνος· οὗ γε δὴ τὸ μὲν ἔπειτα καὶ τὸ πρότερον, καὶ τὸ ἔσται λεγόμενον, καὶ τὸ γέγονεν, αὐτόθεν ἐξομολόγησις ἐστιν τοῦ μὴ ὄντος. Τὸ γὰρ ἐν τῷ εἶναι τὸ μηδέπω γεγονὸς ἢ πεπαυμένον ἤδη τοῦ εἶναι λέγειν, ὡς ἔστιν, εὔηθες καὶ ἄτοπον. Τῶδε μάλιστα τὴν νόησιν ἐπερείδοντες τοῦ χρόνου, τὸ ΕΝΕΣΤΗΚΕ, καὶ τὸ ΠΑΡΕΣΤΙ· καὶ τὸ ΝΥΝ φθεγγόμεθα, τοῦτο αἴ πάλιν ἄγαν ἐκδυόμενος ὁ λόγος ἀπόλλυσιν ..... Ὅθεν οὐδ' ὅσιόν ἐστιν οὐδὲν τοῦ ὄντος λέγειν ὡς ἦν, ἢ ἔσται. Ταῦτα γὰρ ἐγκλίσεις τινες εἰσι καὶ μεταβάσεις· καὶ παραλλάξεις τοῦ μένειν ἐν τῷ εἶναι μὴ πεφυκότος.*

*κ'. Ἀλλ' ΕΣΤΙΝ ὁ Θεός, χρὴ φάναι, καὶ ἔστι κατ' οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον, καὶ ἄχρονον, καὶ ἀνέγκλιτον, καὶ οὗ πρότερον οὐδέν ἐστιν, οὐδ' ὕστερον, οὐδὲ μέλλον, οὐδὲ παρωχημένον, οὐδὲ πρεσβύτερον, οὐδὲ νεώτερον· ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε· καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὄν, οὐ γεγονός, οὐδ' ἐσόμενον, οὐδ' ἀρξάμενον, οὐδὲ παυσόμενον. Οὕτως οὖν αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσαγορεύειν ἢ καὶ νὴ Δία, ὡς ἔνιοι τῶν παλαιῶν, Εἷ Ἐν. Οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν ὡς ἡμῶν ἕκαστος ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γινομένων, ἄθροισμα παντοδαπὸν καὶ πανηγυρικῶς μεμιγμένον. Ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἓν· ἡ δ' ἑτερότης διαφορὰ τοῦ ὄντος. Ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ θεῷ τῶν ὀνομάτων, καὶ τὸ δεύτερον, καὶ τὸ τρ[illegible] (Περὶ τοῦ Εἰ ἐν Δελφοῖς παρὰ Πλουτάρχῳ σελ. 609). Τὸ δὲ ἓν, εἰλικρινὲς καὶ καθαρόν· ἑτέρου γὰρ μίξει πρὸς ἕτερον ὁ μιασμός, ... Οὐκοῦν ἓν τε*

εἶναι καὶ ἄκρατον ἀεὶ τῷ ἀφθάρτῳ καὶ καθαρῷ προσήκει (Περὶ τοῦ Εἰ τοῦ ἐν Δελφ. Πλουτ. 609).

— Μακάριος, ὅστις νοῦν ἔχων τιμᾷ Θεόν,
καὶ κέρδος αὐτῷ τοῦτο ποιεῖται μέγα (Εὐριπ. ἀποσπ.)

— Τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν· ῥητὸς γὰρ οὐδαμῶς ἐστιν (Πλατ. Τιμαι 526).

— Πρῶτον πάντων ὑπολαβεῖν καὶ πεπεῖσθαι θεοὺς εἶναι, καὶ ταῖς διανοίαις ἐπισκοπεῖν τὸν Οὐρανὸν καὶ τὴν διακόσμησιν καὶ τάξιν κρίνειν, οὐ τύχης οὐδ' ἀνθρώπων εἶναι ταῦτα τὰ κατασκευάσματα (Διοδώρ. Σικελ. ιβ'. 14).

— Ἅπαν τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι· ἀλλὰ στήσεταί που καὶ ἔσται τι ὃ πρῶτον αἴτιον ἔσται τοῦ κινεῖσθαι (Ἀριστ. φυσικ.).

— Μηδένα πώποτε λαβόντα ἐκ νέου ταύτην τὴν δόξαν περὶ θεῶν, ὡς οὐκ εἰσί, διατελέσαι πρὸς γῆρας μείναντα ἐν ταύτῃ τῇ διανοήσει (Πλτν. νόμοι β', 665).

## § 3. Περὶ τοῦ τί ἐστι Θεός, καὶ πῶς χρὴ νοεῖν αὐτόν.

— Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
πλεῖον γὰρ οὐδὲν ἄλλο ἢ ζητεῖν ἔχεις·
εἴτ' ἔστιν, εἴτ' οὐκ ἔστιν, μὴ βούλου μαθεῖν,
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.
(Phil. incer. Cl. 340).

— Α. Θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον;
Β. Τὸν πάνθ' ὁρῶντα, καὐτὸν οὐχ ὁρώμενον.
(Φιλήμ. Cl. 360).

Α. Καὶ ποῦ ἔστιν; οὐ γὰρ φανερὸς ὅμμασί γ' ἐμοῖς.
Β. παρ' ἐμοί· σὺ δ' ἀσεβὴς αὐτὸν ὢν οὐκ εἰσορᾷς (Ευριπ. Βάκχ. 490).

— Θεός ἐστι νόος καὶ ψυχὰ καὶ τὸ ἀγεμονικὸν τῶ σώματος κόσμω. Ὁ Θεὸς αὐτὸς οὔτε ὁρατὸς οὔτε αἰσθητός, ἀλλὰ λόγῳ μόνον καὶ νόῳ θεωρητός. Τὰ δ' ἔργα αὐτῶ καὶ πράξεις ἐναργέες τε καὶ αἰσθηταί ἐστι πάντεσιν ἀνθρώποις (Στοβ. ἐκλ. φυσικ. 1,94).

— Τὸ θεῖον αὐτὸ ἀόρατον ὀφθαλμοῖς, ἄρρητον φωνῇ, ἀναφὲς σαρκί, ἀπευθὲς ἀκοῇ, μόνῳ δὲ τῷ τῆς ψυχῆς καλλίστῳ καὶ καθα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρωτάτῳ καὶ νοερωτάτῳ καὶ κουφοτάτῳ καὶ πρεσβυτάτῳ ὁρατὸν δι' ὁμοιότητα καὶ ἀκουστὸν διὰ συγγένειαν.

— Ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον (Πλουτ. Ἰσιδ. καὶ Ὀσιρ. 9).

Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός,
Ζεύς τοι πάντα, χὠτι τῶνδ' ὑπέρτερον. (Αἰσχύλ. Ἀπ. 235).

— Ὁ Θεὸς διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα (Ἀριστ παρὰ Στοβαίῳ ἐκλογ. φυσικ. 1,86).

— Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχειν ἀεὶ καὶ ταὐτὸν εἶναι θειοτάτοις προσήκει μόνοις (Πλατ. Πολιτ.)

— Τὸν Θεὸν τακτέον ἐν φύσει στασίμῃ καὶ ἑδραίᾳ καὶ ἀπηλλαγμένῃ τοῦ ῥεύματος καὶ τῆς μεταβολῆς (Μάξιμ. Τυρ. Λογ. 1,11).

— Θεὸς ἀρχή τε καὶ τελευτή (Πλατ. Νόμ. δ'. 715).

— Θεῖον τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν (παρὰ Διογ. Λαέρ. Θαλῆς 24).

— Ἀρχὴ ἀγένητον· ἐξ ἀρχῆς γὰρ ἀνάγκη πᾶν τὸ γιγνόμενον γίγνεσθαι, αὐτὴν δὲ μηδ' ἐξ ἑνός (Πλ. Φαίδρ. 245 d.)

Μόνοις οὐ γίγνεται
θεοῖς τὸ γῆρας οὐδὲ κατθανεῖν ποτε (Σοφοκλ. Οἰδίπ. ἐπὶ Κολ. 636).

— Τὸ θεῖον καὶ ἀθάνατον καὶ νοητὸν καὶ μονοειδὲς καὶ ἀδιάλυτον καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχον ἑαυτῷ (Πλατ. Φαιδ. 80).

— Ταῦτα χρὴ καὶ περὶ θεοῦ διανοεῖσθαι, δυνάμει μὲν ὄντος ἰσχυροτάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου· διόπερ πάσῃ τῇ θνητῇ φύσει γενόμενος ἀθεώρητος ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται (Ἀριστ. περὶ κόσμ. 6).

— Τὸν ἀπαθῆ καὶ ἀμιγῆ εἶναι (Ἀριστ.)

Οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται (Ὀρφεύς).

— Νοῦν πάντα κοσμεῖν τὰ πράγματα διὰ πάντα ἰόντα (Ἀναξαγ. παρὰ Πλατ. Κρατύλ. 413).

— Θεὸς ἐν πᾶσι περινίσσεται, διήκει πάντα (Ὀρφεύς).

— Οὐσίαν θεοῦ Ζήνων φησὶ τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν (Διογέν. Λερτ. ζ'. 1, 148).

— Τοὺς θεοὺς ζῆν καὶ ἐνεργεῖν. (Ἀριστοτ. ἠθικὰ Νικομ. 1,08).

— Μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα
καὶ λιμένες.
τοῦ γὰρ καὶ γένος ἐσμέν. (Ἄρατος φαινομ.)

— Τὸν θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βερροίας

γων τις ἀποφύγοι, οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη, οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη· πάντη γὰρ πάντα τοῖς θεοῖς ὕποχα καὶ πανταχῆ πάντων ἴσον οἱ θεοὶ κρατοῦσιν (Ξενοφ. ἀναβ. β'. 5, 7.)

— Θεοὺς πανταχοῦ παρεῖναι (Ξενοφ. ἀπομν. 1, 771).

— Οὗτοι οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοὶ οὕτω μοι φίλοι εἰσίν, ὥστε διὰ τὸ ἐπιμελεῖσθαί μου οὔποτε λήθω αὐτοὺς οὔτε νυκτὸς οὔθ' ἡμέρας, οὔθ' ὅποι ἂν ὁρμῶμαι οὔθ' ὅ,τι ἂν μέλλω πράττειν (Ξενοφ. Συμπόσ. 4, 48).

— Ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν (Ὁμ. Ὀδυσ. ιή. 19).

— Ἀρωγοὶ ἀνθρώποις θεοὶ πάντες πᾶσιν (Μαξιμ. Τυρ. Λογ. 38).

— Καὶ οἱ θεοὶ δὲ εὐμενεῖς τοῖς τοιούτοις εἰσίν.—καὶ οἱ θεοὶ δὲ παντοίως αὐτοῖς βοηθοῦσιν (Ἀντωνῖνος IX, 1, 11, 27).

— Ὁ δὲ Θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα, καὶ πολὺ μᾶλλον ἢ ὥς πού τις φησίν, ἄνθρωπος (Πλ. νόμ. δ'. 716).

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν. (Εὐριπίδ.).

## § 4. Περὶ Θεοῦ ὅτι εἷς κἂν πολλὰς ἔχῃ τὰς προσηγορίας.

— Σωκράτης καὶ Πλάτων τὸ ἓν μονοφυὲς καὶ αὐτοφυές, τὸ μοναδικόν, τὸ ὄντως ἀχαθὸν θεὸν εἶναι εἶπον. Νοῦς οὖν ὁ Θεός. (Πλουτ. τὰ Ἀρεσκ. τοῖς φιλοσόφ. 1, 7).

— Εἷς δὲ βασιλεὺς καὶ ἄρχων θεός (Πλουτ, de exil).

— Εἷς ὢν πολυώνυμός ἐστι κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν, ἅπερ αὐτὸς νεοχμοῖ (Ἀριστοτ. περὶ κόσμ. 5).

— Ἕν εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία (Διογ. Λαερτ. ζ'. 7, 1, 136).

— Ἕν τὸ ἀγαστὸν πολλοῖς ὀνόμασι καλούμενον (Διογ. Λαερτ. βίος Εὐκλειδ. 159).

— Εἶναι τὸν δημιουργὸν τῶν ὅλων ὥσπερ καὶ πατέρα πάντων· κοινῶς τε καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις (Ζήνων παρὰ Διογ. Λαερτ. 527).

— Τοιαύτα φύσις θεῶν οὔτε ἐκ δύο συνήρμοσται, ψυχᾶς καὶ σώματος· ἃ γὰρ δι' ὅλω ἐντὶ ψυχά· οὔτ' ἐναντίων τινῶν· τὰ γὰρ ἐναντία καὶ κρατεῖν καὶ κρατεῖσθαι πέφυκεν (παρὰ Στοβαίῳ ἐκλογ. φυσικ. 1, 98).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔτε δέμας θνητοῖσιν ὅμοιος, οὐδὲ νόημα (Ξενοφάνης ὁ Κολοφώνιος).*

## § 5. Περὶ παντοδυναμίας τοῦ θείου.

— *Γενναῖ τὸ θεῖον εὐτυχῆ διὰ ῥήματος (Μενάνδ. παρὰ Στοβ. Ἐκλ. I. III. 18).*

— *Δῆλα μέν, φίλοι, δῆλά γ', ἀλλ' ὅμως*
*θεοῖσιν εὐχώμεσθα· θεῶν γὰρ δύναμις μεγίστα (Εὐρ. Ἄλκ. 218.)*
*Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται (Ὅμ. Ἰλ. 267).*

— *Τοῦ γὰρ κράτος ἐστὶ μέγιστον (Ὅμ. Ἰλ. Θ'. 25).*

— *Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,*
*ἠμὲν κυδῆναι θνητὸν βροτόν, ἠδὲ κακῶσαι Ὅμ. Ὀδ. ις'. 211).*

— *Οἱ πάντα μὲν εἰδότες, πάντα δὲ δυνάμενοι θεοί (Πλουτάρ. Ἐπικ. 22).*

— *Θεὸς δέ τε πάντα δύναται (Ὅμ. Ὀδ. ι'. 306).*

— *Χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς (Ὅμ. Ἰλ κ'. 131).*

— *(Θεός ἐστι) ἡ διὰ πάντων διήκουσα δύναμις (Ἀριστ. περὶ κόσμ. 5).*

— *Πάντη γὰρ πάντα τοῖς θεοῖς ὕποχα καὶ πανταχῆ πάντων ἴσον οἱ θεοὶ κρατοῦσιν (Ξενοφ. Ἀνάβ. 2, 285).*

— *Ἱκανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικροὺς κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς, ὅταν βούλωνται. (Ξενοφ. Ἀναβ. γ'. 301).*

— *Ὅταν δέ τις θεῶν*
*βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν (Σοφ. Ἠλέκτ. 692).*

— *Θεῶν δύναμις μεγίστη. (Εὐριπιδ. Ἄλκ. 225).*

— *Πάντα δ' εὐπετῆ θεοῖς (Εὐριπίδ. Φοιν. ).*

— *Εἰ θεὸν οἶσθα, ἴσθι καὶ ὅτι δαίμονι ῥέξειν πᾶν δυνατόν. (Καλλίμαχ. παρὰ Πλουτάρχ. Ἀρέσκ. φιλοσ. 1, 7).*

— *Ὁ δὲ Θεὸς σφέας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωυτοῦ προκατῆσθαι (Ἡροδ. η'. 36).*

*Ζεύς μοι σύμμαχος, οὐ φοβοῦμαι·*
*Ζεύς μοι χάριν ἐνδίκως ἔχει.*

*(Εὐριπίδ. Ἡρακλ.)*

## § 6. Περὶ Θεοῦ καὶ τῶν θείων αὐτοῦ ἰδιοτήτων.

— *. . . ἀεί που*
*χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ' οὐκ ἀσθενῆ. (Εὐρ. Ἰων. 1621).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— . . . ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται. (Ὁμ. Ὀδυσ. Γ. 26).

—Ἅπαντα σιγῶν ὁ Θεὸς ἐξεργάζεται (Μεν. Στοβ. ἐκλ. Ι. 31).

— Εἷς ἐστ' αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται,
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται (Ὀρφ. Ι. 6).

—Θεὸς εὐεργετικὸς καὶ φιλάνθρωπος (Στοβαίου ἀνθολ. γ'. 387).

—Ἐγὼ μὲν ἂν καὶ ταῦτα καὶ τὰ πάντ' αἰεί'
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς (Σοφ. Αἴας 1015).

— Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός (Αἰσχ. παρὰ Στοβ. ἀνθολ. β'. 3).

— Στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί (Ὁμ. Ἰλ. Θ'. 477. 499).

— Ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
αἰδὼς ἐπ' ἔργοις πᾶσι (Σοφοκλ. Οἰδίπ. ἐπὶ Κολ. 1267).

— Ἀεὶ τὰ πάντα διοικεῖ τε (ὁ Θεὸς) καὶ ζώει αὐτὸς ἐν αὐτῷ κεκτημένος τὴν σοφίαν (παρὰ Στοβ. Ἀνθολ. β'. 279).

— (Θεός ἐστι) ἐπιστάμενος ἅμα καὶ δυνατός (Πλατ. Τιμ. 68).

— Τὸν θεὸν ὄντα τε σοφώτατον βουλόμενόν τ' ἐπιμελεῖσθαι καὶ δυνάμενον (Πλάτ. νόμ. ι'. 902).

— Κινδυνεύει τῷ ὄντι ὁ θεὸς μόνος σοφὸς εἶναι καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός (Πλατ. ἀπολ. 23).

— Ἀλλ' οὔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν (Ὁμ. Ἰλ. δ'. 320).

— Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι·
ἄλλῳ μὲν γὰρ ἔδωκε Θεὸς πολεμήϊα ἔργα
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεύς
ἐσθλόν (Ὁμ. Ἰλ. ιγ'. 729).

— Θεοὶ δέ τε πάντα ἴσασιν (Ὁμ. Ὀδυσ. δ'. 468).

## § 7. Περὶ Θεοῦ ὅτι ἐστὶ δίκαιος.

—Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην (Μενάνδ. Meineck, v. IV p. 340).

— Θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος (Πλατ Θεαίτητ. 176).

— Τοὺς δὲ σώφρονας
θιοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς (Σοφοκλ. Αἴας 132).

— Χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις (Ὁμ. Ἰλ. ε'. 178).

— Σὺν Θεῷ τίσει δίκην (Εὐριπ. Μήδ. 797).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τῷ θεῷ ἀεὶ συνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος συνέπεται ταπεινὸς κεκοσμημένος (Πλάτ. νόμος δ'. 600).*

— *Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,*
*ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων (Ὅμ. Ὀδ. ιδ'. 83).*

— *Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι*
*παντοῖοι τελέθοντες ἐπιστρωφῶσι πόληας,*
*ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.*

## § 8. Περὶ Θεοῦ καὶ τῆς παγγνωσίας αὐτοῦ.

— *Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας,*
*οὐ λήσεις δὲ θεούς, οὐδὲ λογιζόμενος*
*(Λουκιαν. Σαμ. Ἐνθολ. Χ. 27).*

— *. . . οὐδέ τις αὐτὸν*
*εἰσοράᾳ θνητῶν· αὐτὸς δέ γε πάνθ' ὁράαται (Ὀρφ. Ι 6).*

— *Ἢν πιστεύῃ τις θεοὺς ἐπισκοπεύειν πάντα, οὔτε λάθρῃ οὔτε φανερῶς ἁμαρτήσεται (Πυθαγ. Χρυσ. ἔπη)*

— *Θεοὺς γινώσκειν καὶ ὁρᾶν καὶ ἀκούειν πάντα, λαθεῖν δὲ αὐτοὺς οὐδὲν δυνατόν (Πλατ. νόμ. ι'. 901 d)*

— *Εὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας ὁποῖα τἀγαθά ἐστιν (Ξενοφ. ἀπομ. α', 3, 2).*

— *Θεοὶ ἀεὶ ὄντες πάντα ἴσασι τὰ γεγενημένα καὶ τὰ ὄντα καὶ ὅ,τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται (Ξενοφ. Κυρ. Παιδ. 1, 17).*

— *Θεοὺς πάντα εἰδέναι τά τε λεγόμενα καὶ πρασσόμενα καὶ τὰ σιγῇ βουλευόμενα. (Ξενοφ.)*

— *Ἐμοὶ ἐδόκει τοὺς συνόντας ποιεῖν ἀπέχεσθαι τῶν ἀνοσίων καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπεί περ ἡγήσαιντο μηδὲν ἂν ποτε, ὧν πράσσοιεν, θεοὺς διαλαθεῖν (Ξενοφ. ἀπομ. Α'. δ. 19).*

— *Εἰ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν*
*Ἔρδων, ἁμαρτάνει (Πινδ. Ὀλυμ. 1).*

— *Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας,*
*οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος (Λουκ. ἐπιγρ. δ'. 571).*

— *Κομιδῇ ἄρα ὁ Θεὸς ἁπλοῦν καὶ ἀληθὲς ἔν τε ἔργῳ καὶ ἐν λόγῳ (Πλατ. πολιτ. β, 382 ε.)*

— *Ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι*
*μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων (Ὅμ. Ἰλ. κβ'. 254).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων* (*Ὅμ. Ὀδυσ. γ'. 147*).

— *Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα*
*τὸ θεῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ* (*Αἰσχ. Προμηθ.*)

— *Τὸ θεῖον τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμέλεσθαι* (*Ξενοφῶν. Ἀπομν. α', 4—18*).

— *Σωκράτης ἡγεῖτο πάντα μὲν Θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων* (*Ξενοφ. Ἀπομνημ. 1, 1, 19*).

— *. . . θεοὶ δέ τε πάντα ἴσασιν* (*Ὅμ. Ὀδ. Δ'. 468*).

## § 9. Ὅτι τὸ θεῖον ἀναλλοίωτον.

— *Ἀπροσδεὴς μὲν γὰρ ἁπλῶς ὁ θεός, ἀνθρωπίνης δ' ἀρετῆς, ᾧ συνάγεται πρὸς τὸ ἐλάχιστον ἡ χρεία, τοῦτο τελειότατον καὶ θειότατον* (*Πλουτ. συγκρ. Ἀριστ. καὶ Κάτων 4*).

— *Θεὸς εὐδαίμων μέν ἐστι καὶ μακάριος, δι' οὐδὲν δὲ τῶν ἐξωτερικῶν ἀγαθῶν, ἀλλὰ δι' αὑτὸν αὐτός* (*Ἀριστοτ. Πολτ. 7, 1*).

— *Οὔκουν εἰκός γε οὔτε χαίρειν τοὺς θεοὺς οὔτε τὸ ἐναντίον.* (*Πλ. Φιληβ. 33*).

— *Θεὸν δὲ εἶναι ζῶον ἀθάνατον, λογικόν, τέλειον ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικόν, κόσμου τε καὶ τῶν ἐν κόσμῳ, μὴ εἶναι μέντοι ἀνθρωπόμορφον* (*Διογ. Λαερτ. ζ', 1, 147*).

— *Τὸ μακάριον καὶ ἄφθαρτον ὀργαῖς οὐ συνέχεται* (*Ἐπίκουρ. παρὰ Διογ. Λαερτ. θ'. 139*).

— *Ὀργὴ θεοῦ ἀλλότριον ἐπ' ἀβουλήτους γὰρ ἡ ὀργή· θεῷ δὲ οὐδὲν ἀβούλητον* (*Μάξιμος Τύριος*).

— *Τὸ θεῖον τρισὶ δοκεῖ διαφέρειν, ἀφθαρσίᾳ καὶ δυνάμει καὶ ἀρετῇ.*

*Δι' ὃ καὶ τριῶν ὄντων ἃ πεπόνθασιν οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἴδιον, ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι κατὰ τὸ κύριον καὶ δυνατόν, ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην* (*Πλουτάρχ. Ἀριστείδ. 6*).

— *Οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος* (*Πλάτ. πολιτεία ς'. 509*).

— *Δημιουργὸς τοῦ κόσμου, ὁ ποιητὴς καὶ πατὴρ τοῦδε τοῦ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*παντός, ὁ ἐπὶ πᾶσι Θεός, τῆς φύσεως κτίστης, τοῦ παντὸς ἀρχή, πάντων αἴτιον, νοῦς πάντων βασιλεύς, νοῦς αὐτοκράτωρ πάντα κοσμῶν, διὰ πάντων ἰών, τοῦ παντὸς κυβερνήτης, ὁ πρῶτος θεός, μέγιστος δαίμων, ὁ μέγιστος Θεῶν, τὸ ὂν ἀεὶ γένεσιν δ' οὐκ ἔχον (Πλ. Τίμαιος 27).*

*— Αὐτὴ ἡ οὐσία, αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον, ὃ ἐστι τὸ ὄν, μήποτε μεταβολὴν καὶ ἤντινοῦν ἐνδέχεται (Πλατ. Φαίδ.)*

*— Θεός, ζῶον ἀθάνατον, αὔταρκες πρὸς εὐδαιμονίαν, οὐσία ἀΐδιος, τῆς ταγαθοῦ φύσεως αἰτία (Πλάτ. ὅροι).*

## § 10. Περὶ τοῦ ἀποκαλυφθέντος Θεοῦ.

*— Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα ποίησ'. (Ὁμ. Ὀδυσ. 14, 274).*

*— Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας (Ἑβρ. ά. 1).*

*— Οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν, ἀγαθοποιῶν (Πραξ. Ἀποσ. ιδ'. 17).*

*— Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ (Πραξ. Ἀποστ. ιζ', 24).*

*— Ζητεῖν τὸν Θεόν, εἰ ἄραγε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῖν ὑπάρχοντα (Πραξ. ιζ'. 27).*

*— Ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· «τοῦ γὰρ καὶ γένος ἐσμέν» (Πραξ. Ἀποστ. ιζ', 28).*

*— Ἐγγίσατε τῷ Θεῷ καὶ ἐγγιεῖ ὑμῖν (Ἰακ. δ'. 8).*

*— Πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (Α'. Τιμ. β'. 4).*

*— Τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ Θεὸς γὰρ αὐτοῖς ἐφανέρωσε· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης (Ρωμ. α'. 19, 20).*

*— Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων (Ρωμ. β', 14, 15).*

*— Λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ (Ματθ. γ', 9.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν (Πραξ. Ἀποστ. ι. 34. 35).*

— *Ὁ Θεὸς ἀγάπη ἐστί. (Ἰωάν. δ'. 8 καὶ 15).*

— *Πάντες δὲ Θεῶν χατέουσ' ἄνθρωποι (Ὁμ. Ὀδυσ. 3. 48).*

— *Πάντα πλήρη Θεῶν (Θαλῆς παρ' Ἀριστοτ. περὶ χρ. 1, 5).*

— *Πάντες ἄνθρωποι περὶ θεῶν ἔχουσιν ὑπόληψιν (Ἀριστοτ. περὶ οὐρανοῦ 1, 3).*

— *Πάσῃ θνητῇ φύσει γενόμενος ἀθεώρητος ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται ὁ θεός (Ἀριστ. περὶ κόσμου ὕ).*

— *Οὐ γὰρ ἀμεληθήσει ποτὲ ὑπ' αὐτῆς (τῆς δίκης θεῶν)· οὐχ οὕτω σμικρὸς ὢν δύσει κατὰ τὸ τῆς γῆς βάθος· οὐδ' ὑψηλὸς γενόμενος εἰς τὸν οὐρανὸν ἀναπτήσει· τίσεις δὲ αὐτῶν τὴν προσήκουσαν τιμωρίαν εἴτε ἐνθάδε μένων εἴτε καὶ ἐν Ἅιδου διαπορηθεὶς εἴτε καὶ τούτων εἰς ἀγριώτερον ἔτι διακομισθεὶς τόπον (Πλ. νόμ. ι. 905).*

— *Τὸν χειμῶνα ὕει σφι ὁ θεός, ὥσπερ καὶ τοῖσι ἄλλοισιν ἀνθρώποισι (Ἡροδ. 3, 117).*

— *Δοκεῖ ῥᾴδιον εἶναι ἀληθεύοντας λέγειν, ὡς εἰσὶ θεοί (Πλατ. νόμ. 10,68).*

— *Τόδε τὸ καλούμενον ὅλον νοῦν καὶ φρόνησίν τινα θαυμαστὴν συντάττουσαν διακυβερνᾶν (Πλάτ. Φίληβ. 28).*

— *Ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα τιμᾶν τὸ δαιμόνιον (Ξενοφ. Ἀπομ. δ', 3, 14).*

— *Οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως (Πλουταρ. Κικέρ. 49).*

— *Εἷς ἐστ' αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται,*
*οὐδέ τίς ἐσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος (Ὀρφεύς).*

— *Ἀρχὴν τῶν ἁπάντων μονάδα εἶναι (Διογ. Λαερτ. βίος Πυθαγ. 582).*

— *Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν καὶ ἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς (Πλουτ. τ' ἀρέσκ. τοῖς φιλοσόφοις. 1, 7).*

## § 11. Περὶ αὐταρκείας τοῦ θείου καὶ ὅτι τὸ θεῖον ἀνενδεές.

— *Δῆλον ὡς οὐδενὸς προσδεόμενος ὁ θεός (Ἀριστ. ἠθικ. εὐδαιμ. 7, 12).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Δεῖται γὰρ ὁ θεός, εἴπερ ἔστ' ὀρθῶς θεός,*
*οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι* (*Εὐριπ. Ἡρακλ. 1345*).
— *Ἐγὼ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι· τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου* (*Ξενοφ. ἀπομν. α', 6, 10*).

## § 12. Ὅτι χρὴ σέβειν τὸ θεῖον.

— *Παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν* (*Ξενοφ. Ἀπομν. 4, 4, 19*)
— *Οἱ γὰρ Θεὸν σέβοντες ἐλπίδας καλὰς*
*ἔχουσιν εἰς σωτηρίαν.* (*Φιλήμ.* Meinecke. v. IV p. 60).
— *Ἄνεχε χέρας, ἄνεχε λόγον,*
*ἴσει λιτὰς εἰς Θεοὺς* (*Εὐρ. Ἠλεκτ. 593*).
— *Θεοῖς εὔχου, θεοῖσιν γὰρ ἐπι κράτος·* (*Θεογν. 171*).
— *Θεὸν νόμιζε καὶ σέβου . . . . . .*
. . . . . .
*ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου* (*Φιλήμ.*).
— *Φύσει εἶναι θεὸν πάσης σπουδῆς ἄξιον* (*Πλουτ. περὶ νόμ. 4, 716*).
*Εὖ ἴσθ' ὅτ' ἄν τις εὐσεβῶν θύῃ θεοῖς,*
*κἂν μικρὰ θύῃ τυγχάνει σωτηρίας* (*Εὐριπ.*).
— . . . *δεινός, ὃς θεοὺς σέβει.* (*Αἰσχ. ἑπτὰ ἐπὶ Θήβας 596*).

## § 13. Περὶ Θεοῦ ὅτι ἀντιλήπτωρ.

*Πρὸς γὰρ Διός εἰσιν ἅπαντες*
*ξεῖνοί τε πτωχοί τε* (*Ὅμ. Ὀδυσ. ς'. 207*).
— *Κατὰ μὲν γὰρ τὴν τούτου προθυμίην τέθνηκας, τὸ δὲ κατὰ θεούς τε καὶ ἐμὲ περίεις* (*Ἡροδ. α'. 124*).
— *Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου* (*Ψαλ. νγ'. 4*).
— *Σὺ δὲ Κύριε ἀντιλήπτωρ μου εἶ· δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου* (*Ψαλ. γ'. 3*).
— *Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα* (*Ψαλμ. ριή. 113*).
— *Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου, ὁ Θεός μου, βοηθός μου, (καὶ) ἐλπιῶ ἐπ' αὐτόν· ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου* (*Ψαλμ. ιζ'. 3*).
— *Ἀντιλήπτωρ μου εἶ ὁ Θεὸς Ἰακώβ* (*Ψαλμ. μέ. 7, 11*).
— *Τὸ κράτος μου πρὸς σὲ φυλάξω· ὅτι σὺ ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ* (*ψαλμ. νή. 10*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *"Οτι ὁ Θεός (μου) ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου (Ψαλμ. νή 19).*

— *Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου ; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου (Ψαλμ. ξά. 2).*

— *Εὐλογητὸς Κύριος ὁ Θεός μου, . . . ἔλεός μου καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ρύστης μου, ὑπερασπιστής μου καὶ ἐπ' αὐτῷ ἤλπισα (Ψαλμ ρμγ'. 2).*

— *Πατήρ μου εἶ σύ, ὁ Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου (Ψαλμ. πή, 26).*

— *Αὐτός τι νῦν δρᾶ χοὔτω δαίμονας κάλει·*
*τῷ γὰρ πονοῦντι χὠ θεὸς συλλαμβάνει (Εὐριπ. 'Αποσ.).*

— . . . . *εἰ τις ἀργὸς ὢν θεοῖς*
*εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον*
*τὰ θεῖα πυργοῦσ', αἱ κακαί τε συμφοραί (Εὐριπ.).*

— *Ὅταν τι πράττῃς ὅσιον ἀγαθὴν ἐλπίδα*
*πρόβαλλε σαὐτῷ, τοῦτο γινώσκων, ὅτι*
*τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει (Μένανδ.* Meinecke v IV. p. 246).

— *Φιλεῖ τῷ κάμνοντι συσπεύδειν Θεός. (Αἰσχύλου).*

— *Ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται. (Αἰσχ. Περσ.* 342).

—*Ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει. (Μένανδ.* Monost Mein.)

— *Θάρσει μοι, θάρσει, τέκνον,*
*ἔτι μέγας οὐρανῷ*
*Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει. (Σοφ. Ἡλ. 174 399.)*

— *Θάρσει· τάχ' ἂν γένοιτο· πολλά τοι θεοῖς*
*κἀκ τῶν ἀέλπων εὔπορ' ἀνθρώποις πέλει. (Εὐρ.* Alcmene 12.

— *Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως. (Μένανδ.* Monost Meineck. v. IV p. 346).

— *Βούλου κρατεῖν μέν, σὺν Θεῷ δ' ἀεὶ κρατεῖν. (Σοφ. Αἴ 765).*

— *Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως (Μενανδ.* Monost. Meneck. v. IV. P. 346 (E. Fr. Beller. XXI).

— . . . . *ἀρετὴ δ' οὐδὲν φέρει*
*βροτοῖσιν, ἢν μὴ τὸν Θεὸν χρῄζοντα ἔχῃ.*

— . . . . . *οὕτοι ἄτερ θεῶν*
*γίγνεται ἀνθρώποις οὔτ' ἀγάθ', οὔτε κακὰ (Θέογν. 171).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## § 14. Περὶ τοῦ Θεοῦ ὅτι ἀγαθὸς καὶ ὅτι οὐδένα πειράζει.

— Ἀγαθὸς ὁ θεός . . . καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν Θεόν (Πλ. πολιτεία β'. 379).

— Αἰτία ἑλομένου, θεὸς ἀναίτιος (Πλάτ. πολιτεία ι'.)

— Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ τοῦ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα· ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἑλκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον (Ἰακώβ. ά. 13—15).

— Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε,
αὐτοὶ γὰρ τούτους ηὐξήσατε, ῥύσια δόντες (Σόλων).

— Εἴ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶ θεοί (Εὐριπ. ἀποσπ. Βελλερ. XXIII).

— Εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία Θεῶν (Αἰσχ.).

— Θεοῖς εὔχου, οἷς ἐστι μέγα κράτος· οὔτι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά (Θεόγν. 171 στ.)

— Βουληθεὶς ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν.
Θέμις δὲ οὔτ' ἦν, οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο τελῶν τι καλλίτερον (Πλτν. Τίμ. 26).

— Θεὸς κακοῦ παντὸς ἀνεπίδεκτος (Διογ. Λαέρ. ζ'. 1, 147).

— Διαφέρει δὲ θεὸς ἀνθρώπου ἀγαθοῦ, ὅτι θεὸς μὲν εἰλικρινῆ καὶ διϋλισμένην ἔχει τὴν ἀρετὴν ἀπὸ παντὸς θνητοῦ πάθους (Ἀρχύτ. παρὰ Στοβ. λόγ. 1, 13).

— Οὐ μὲν σχέλτια ἔργα θεοὶ μάκαρες φιλέουσιν (Ὅμ. Ὀδ. ιδ'. 83).

— Τὸ θεῖον καλὸν σοφὸν ἀγαθὸν καὶ πᾶν ὅ,τι τοιοῦτον· τούτοις δὲ τρέφεταί τε καὶ αὔξεται μάλιστά γε τὸ τῆς ψυχῆς στέρωμα· αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται (Πλάτ. Φαιδρ. 246).

## § 15. Περὶ ἐλέους Θεοῦ.

Ἂν ἀπειλήσῃ τῇ γῇ μόνον, πᾶσιν εἷς ἐγένετο τάφος· ὡς στα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὼν ὕδατος ἐπὶ κάδου, φησίν, οὕτω τὰ ἔθνη ἐνώπιον αὐτοῦ, ὡ
σίελος λογισθήσονται, ὡς ροπὴ ζυγοῦ· ὡς εὔκολον ἡμῖν τὴν τρυ
τάνην κινῆσαι, οὕτως αὐτῷ πάντα ἀπολέσαι, καὶ ποιῆσαι πάλιν. Τ
τοίνυν τοιαύτην ἐξουσίαν ἔχων ἡμῶν καὶ ὁρῶν ἡμᾶς καθ' ἑκά
στην ἁμαρτάνοντας, καὶ μὴ κολάζων, οὐχὶ ἐλέῳ διαβαστάζει; (Χρυ
σοστ. τμ. ΙΒ' σελ. 726).

Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι (Ψλ. πη'.).

Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαι
ρετέον τὸν ἔλεον (Φωκίων παρὰ Στοβαίῳ λόγ. 1, 3).

## § 16. Περὶ φόβου Θεοῦ.

(Ἴδε καὶ Τόμ. Α'. Κεφ. Ι'.)

— Θεοὺς φοβούμενοι μήποτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτ
ποιήσητε μήτε βουλεύσητε (Ξεν. Κύρου Παιδ. 3 1 1).

— Ἀρχὴν νόμιζε τὸν θεὸν φοβεῖσθαι (Μενανδρ. Monost. Mei
neckv. IV. p. 341).

— Κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς,
ἀλλὰ φόβων πίστις ἅδε πρώτα (Εὐριπ. Ἱκετ. 626).

Ὁ τὴν τῶν θεῶν ἀρχὴν ὡς τυραννίδα φοβούμενος σκυθρωπὴ
καὶ ἀπαραίτητον, ποῦ μεταστῇ, ποῦ φύγῃ, ποίαν γῆν ἄθεον εὕρ
ποίαν θάλασσαν; εἰς τί καταδὺς τοῦ κόσμου μέρος καὶ ἀποκρύψα
σεαυτόν, ὦ ταλαίπωρε, πιστεύεις, ὅτι τὸν θεὸν ἀποπέφευγας
(Πλουταρχ. περὶ δεισιδ.).

— Δυσδαίμων, ἄθλιος δέ,
ὃς τάδε λεύσσων, θεὸν οὐχὶ νοεῖ (Εὐριπ. Fr. incert. 106

— Ἐγὼ μέν, εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν
πίπτοντας, εἶναί φημι δαιμόνων γένος (Εὐριπ. Fr. Denon
VII).

— Εἰ γὰρ δίκαιος κἀσεβὴς ἐξουσιν ἴσ,
ἡ γῆ δὲ καλύπτει τοὺς δύο τῷ παντὶ χρόνῳ,
ἅρπαζ' ἀπελθών, κλέπτ', ἀποστέρει, κύκα.
μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις,

— ἣν περ ποιήσει θεός, ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φυβερόν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ,
ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίου
δίδωσι (Φιλ. Κλ. 362).

## § 17. Περὶ θείας προνοίας.

— Θεία προνοία πάντ' ἐγέννησε φύσις. (Μενανδ.).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— . . . *Θεοῖς γὰρ ἦν οὕτω φίλον* (*Σοφ. Οἰδ. Κολ. 964*).
— . . . *Θεοῖς γὰρ ὧδ' ἐδοξέ που* (*Σοφ. Αἴας 489*).
— . . . *Θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει*
*ὅττι κεν ᾧ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα.*
(*Ὁμ. Ὀδύσ. 14, 444*).

*Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ θελήματος τοῦ πατρὸς ὑμῶν; ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν* (*Ματ. ί*)

*Ὦ βάθος πλούτου, καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ* (*Πρὸς Ρωμ. ιά' 33*)

*Μὴ εἴπῃς, ἀποκρυβήσομαι, καὶ ἐξ ὕψους τίς μου μνησθήσεται. ἰδοὺ ὁ Οὐρανὸς καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ, ἄβυσσος καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται· τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται;* (*Σειράχ ιέ.*)

*Οὐδὲν ἀπρονόητον οὐδὲ ἠμελημένον παρὰ Θεῷ· πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός, πᾶσι πάρεστι, σκορπίζων ἑκάστῳ τὴν σωτηρίαν* (*Βασιλείου*).

*Πολλάκις παραδόξους σωτηρίας οἶδε τὸ θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον τῇ ἑαυτοῦ προνοίᾳ* (*Θεολόγος*).

*Χάρις τῇ μακαρίᾳ φύσει ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα* (*Ἐπίκουρος*).

*Μήτε αἴτιον κακῶν τὸ θεῖον ὑπολάμβανε, μήτε χωρὶς αὐτοῦ δυστυχεῖν ἡμᾶς νόμιζε* (*Θεόπεμπτος*).

*Ὅταν βούληται Θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πρᾶξαι πόλιν, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ταύτης τῆς πόλεως ὁ Θεός* (*Πλάτων*).

*Ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται* (*Δημάδης*).

[*Μηδέποτε ἀναμένειν πορίζεσθαι τὰ ἐπιτήδεια, ἐστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ, ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μηχανῶ· καὶ γὰρ τεύξῃ μᾶλλον παρ' ὧν δέῃ, μὴ ἄπορος δοκῶν εἶναι* (*Ξενοφῶντος*)].

*Ἡ θεία πρόνοια κοινῶς ἅπάντων πρὸς ὠφέλειαν προνοεῖται, τὰ δὲ ἐπιγινόμενα φθαρτικά, ἑπόμενά ἐστι τῇ τῆς ὕλης ἀσθενείᾳ* (*ὁ αὐτός*).

*Ἀγαπᾷς τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας· πῶς δὲ διέμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη; φείδῃ δὲ πάν-*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των, ὅτι σά ἐστι πάντα, δέσποτα φιλόψυχε· τὸ γὰρ ἄγιόν σου πνεῦμα ἐν πᾶσίν ἐστιν (Σοφία Σολομ. ιά. 25).

Τὴν μὲν ὁλκάδα ὄρεξις πορισμῶν ἐπενόησε, τεχνῖτις δὲ σοφία κατεσκεύασεν, ἡ δὲ σή, πάτερ, διακυβερνᾷ πρόνοια, ὅτι καὶ ἐν θαλάσσῃ ἔδωκας ὁδόν, καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ, δεικνὺς ὅτι δύνασαι ἐκ πάντων σώζειν, ἵνα καὶ ἂν ἄνευ τέχνης τις ἐπιβῇ· θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα· διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχάς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν (αὐτόθι ιδ'. 2).

Πᾶν ὅπερ εἰς ἡμᾶς ἀγαθὸν φθάσει, ἐκ θείας δυνάμεως τῆς πάντα ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν (Βασιλείου).

Ἴδιον καὶ πρεπῶδες ὡς ἀληθῶς τῷ Θεῷ τὸ ἱλάσκεσθαι, τὸ ἐλεεῖν, τὸ τὰ ἔργα σώζειν ἑαυτοῦ, κἂν εἰς κίνδυνον διαφθορᾶς καταφέρηται· παρ' αὐτοῦ γάρ, φησιν, ὁ ἱλασμός ἐστι (τοῦ αὐτοῦ).

Ὅπερ ἐν ταῖς συγγενείαις πρὸς τέκνα γονεῖς, τοῦτο βασιλεὺς μὲν πρὸς πόλιν, πρὸς δὲ κόσμον Θεός (τοῦ αὐτοῦ).

Πάντων λογισμῶν ἐπιστάμενος τὸ κρυπτὸν ὁ δημιουργός, προνοεῖται τῶν ὅλων, οὐ μόνον ἐξ ὧν διάκεινται, καὶ πράττουσιν, ἀλλὰ καὶ ἐξ ὧν προγινώσκει ἄγων εἰς βελτίωσιν (Διδύμου).

— Θεὸς . . . κηδόμενος (τοῦ κόσμου) κοσμεῖ τε καὶ ἐπανορθῶν ἀθάνατον αὐτὸν καὶ ἀγήρω ἀπεργάζεται (Πλατ. Πολιτ. 273 d.)

— Ἀκούειν φωνῆς Θεοῦ τὴν κατασκευὴν τῶν ὅλων θεωροῦντες ἀκριβῶς ὑπὸ Θεοῦ γεγουνῖαν καὶ συνεχομένην ἀδιαλείπτως (Παρὰ Κλημ. Ἀλεξ. Στρωμ. ε'. 596 Πυθαγόρας, Σωκράτ.)

— Ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις ὑπὸ θεοῦ καὶ διὰ θεὸν φυλαττομένη (Ἀριστοτ. περὶ κόσμ. 2).

— Προνοεῖσθαι τὸν θεὸν ἡμῶν (Πυθαγ. παρὰ Διογ. Λαερτ. 584).

— Θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἐν τῶν κτημάτων τοῖς θεοῖς εἶναι (Πλάτ. Φαίδων 62).

— Ἐπιμελεῖς σμικρῶν εἰσι θεοὶ οὐχ ἧττον ἢ τῶν μεγέθει διαφερόντων (Πλατ. νόμ. ι'. 900 iv'.)

— Ὡς τῷ τοῦ παντὸς ἐπιμελουμένῳ πρὸς τὴν σωτηρίαν καὶ ἀρετὴν τοῦ ὅλου πάντ' ἐστὶ συντεταγμένα, ὧν καὶ τὸ μέρος εἰς δύναμιν ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ (Πλατ. νόμ. ι'.)

— Σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς οὐκ οἴει τοὺς θεοὺς ἐπιμελεῖσθαι; (Ξενοφ. ἀπομν. ὁ.)

— Ἐμεῦ θεοὶ κήδονται καὶ μοι πάντα προδεικνύουσι τὰ ἐπιφερόμενα (Ἡροδ. ά. 209).

— Οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα (Πλ. ἀπολ. Σωκρ.)

— Τὰ τῶν θεῶν προνοίας μεστά (Πλουτ. 2, 3).

— Δῆλα δὴ πολλοῖσι τεκμηρίοισί ἐστι τὰ θεῖα τῶν πρηγμάτων. (Ἡροδ. 9, 100).

— Ἀλλὰ τόδε γέ μοι δοκεῖ εὖ λέγεσθαι, το θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους. (Ἡροδ. 3,202).

— Θάρσει μοι, θάρσει, τέκνον· ἔστι μέγας οὐρανῷ Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει· ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα μήθ' οἷς ἐχθαίρεις, ὑπεράχθεο μήτ' ἐπιλάθου. (Σοφοκ. Ἠλέκ. 173).

— Ἔργον ἐργασταί τοι ὑπερφυὲς μέγαθός τε καὶ κάλλος, καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος καταθέσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. (Ἡροδ. 9,78)

— Ἑνὸς λόγου τοῦ πάντα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντα τεταγμένων ἕτεραι παρ' ἑτέρους κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι. (Πλουτ. Ἴσιδ. καὶ Ὄσίρ)

— Μίαν πρόνοιαν τῶν ἄνω τε καὶ κάτω
θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει (Γνωμ. Μενάνδ. Meinecke v. IV p. 336).

— Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε . . ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; . . Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ ὁ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.—Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; (Ματθαῖος ς'. 25—30).

— Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει.—Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ· καὶ μωροὶ πότε φρονήσετε; ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμόν, οὐ κατανοεῖ; (Ψαλ ψγ'. 9).

— Ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου (Παροιμ. γ'. 5).

Εἶπε Σιών· Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Θεὸς ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδὸς αὐτῆς; ἢ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος (Ἡσαΐου μθ'. 15).

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

*Τάδε λέγει Κύριος· Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ πλανώμενον ἐπιστρέψω· καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ το ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὸ μετὰ κρίματος (Ἐζεκ. λθ 16).*

*— Ὁ γὰρ τὴν φύσιν αὐτὴν διαπλάσας, εὔδηλον ὅτι καὶ τὴν χρείαν αὐτῆς ἐπίσταται σοῦ μᾶλλον, τοῦ ἐν τῇ χρείᾳ αὐτῶν καθεστῶτος. Μὴ τοίνυν φροντίζωμεν· οὐδὲν γὰρ περιέσται πλέον, ἢ τὸ κατατείνειν ἡμᾶς (Χρυσοστόμου).*

*Γνώσει τὸ θεῖον ὅτι τοιοῦτον καὶ τοσοῦτόν ἐστιν ὥσθ' ἅμα πάνθ' ὁρᾶν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι (Ξενοφ. Ἀπομν. α'. 4,18). Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοι· εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, τί σοι μέλει; Ἀνθολ.).*

*— Ἡ Θεία Πρόνοια κοινῶς ἁπάντων πρὸς ὠφέλειαν προνοεῖται, τὰ δὲ ἐπιγινόμενα φθαρτικὰ ἑπόμενα ἐστὶ τῇ τῆς ὕλης ἀσθενείᾳ (Ξενοφῶντος).*

*— Οὐδείς ἐστιν ἄνθρωπος ὀρφανός· ἀλλὰ πάντων ἀεὶ διηνεκῶς ὁ Πατὴρ ἐστιν ὁ κηδόμενος (Ἐπικτήτου).*

*Πᾶν, ὅπερ εἰς ἡμᾶς ἀγαθὸν φθάσει ἐκ θείας δυνάμεως, τῆς πάντα ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν.*

*Πάντα μὲν ἀθρόως ἐκ Θεοῦ προνοίας εἶναί τε καὶ διοικεῖσθαι, οἱ τῆς ἀληθοῦς εὐσεβείας σοφοὶ διαγορεύουσιν. Εἰ δὲ δὴ κατ' εἶδος ἕκαστα ἰδίως τῶν γινομένων, τὰ μὲν ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ὁρμῇ καὶ φαντασίᾳ, τὰ δὲ λογισμῷ, καὶ οἰκείᾳ κρίσει τε καὶ προαιρέσει κινούμενα, ἕτερα δὲ λογισμῷ γεγόνασιν, ποικίλην καὶ πολύτροπον τὴν τοῦ παντὸς συνεστήσαντο διακόσμησιν, ἑκάστῳ γένει τῶν ὄντων, ἰδίαν καὶ ἀφωρισμένην τινὰ φύσεως κατασκευὴν τοῦ τῶν ὅλων αἰτίου διανείμαντος.*

*Οὐκ οἶδας σὺ τὰ συμφέροντα, ἄνθρωπε· πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά· ἀλλ' ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει, ἀλλὰ πρὸ τῆς αἰτήσεως τὸ συμφέρον σου πανταχοῦ ἐπισκοπεῖ.*

*Εἰ γὰρ οἱ πατέρες οἱ σαρκικοὶ οὐ πάντα αἰτοῦσι δίδουσιν, οὐκ ἐπειδὴ καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ' ἐπειδὴ αὐτῶν μᾶλλον κήδονται, πολλῷ μᾶλλον ὁ Θεός, ὁ καὶ μᾶλλον φιλῶν, καὶ πλέον ἁπάντων τὸ συμφέρον ἡμῶν εἰδὼς ποιεῖ.*

*Ἀγαθότητι συστήσας τὰ πάντα ὁ Θεός, προνοεῖ τῶν ὅλων· οὐκ εἰς τὸ κατ' ἀξίαν τῶν προνοουμένων ἀφορῶν, ἀλλ' εἰς τὸ αὐτοῦ ἐλεητικὸν καὶ τῶν ἀγαθῶν παρεκτικόν.*

*Πρόνοια τοίνυν ἐστὶν ἡ ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεια. Καὶ πάλιν· πρόνοιά ἐστι βούλησις Θεοῦ, δι' ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει. Εἰ δὲ Θεοῦ βούλησίς ἐστιν ἡ πρόνοια, πᾶσα ἀνάγκη, πάντα τὰ τῇ προνοίᾳ γινόμενα, κατὰ τὸν ὀρθὸν λόγον, κάλλιστά τε καὶ θεοπρεπέστατα γίνεσθαι, καὶ ὡς οὐκ ἔνι κρεῖττον γενέσθαι. Ἀνάγκη γὰρ τὸν αὐτὸν εἶναι ποιητὴν τῶν ὄντων, καὶ προνοητήν· οὔτε γὰρ πρέπον, οὔτε ἀκόλουθον, ἄλλον μὲν ποιητὴν εἶναι τῶν ὄντων, ἄλλον δὲ προνοητήν· οὕτω γὰρ ἐν ἀσθενείᾳ πάντως εἰσὶν ἀμφότεροι, ὁ μὲν τοῦ ποιεῖν, ὁ δὲ τοῦ προνοεῖν. Ὁ Θεὸς τοίνυν ἐστίν, ὅ τε ποιητής, καὶ προνοητής, καὶ ἡ ποιητικὴ δὲ αὐτοῦ δύναμις, καὶ ἡ συνεκτική, καὶ ἡ προνοητική, ἡ ἀγαθὴ αὐτοῦ θέλησίς ἐστι. Πάντα γὰρ ὅσα ἠθέλησεν, ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ· καὶ τῷ θελήματι αὐτοῦ οὐδεὶς ἀνθέστηκεν. Ἠθέλησε γενέσθαι τὰ πάντα, καὶ γέγονε· θέλει συνίστασθαι τὸν κόσμον, καὶ συνίσταται, καὶ πάντα ὅσα θέλει, γίνεται.

Ὅτι δὲ προνοεῖ, καὶ ὅτι καλῶς προνοεῖ, ὀρθότατα σκοπήσειεν ἄν τις οὕτως. Μόνος ὁ Θεός ἐστι φύσει ἀγαθὸς καὶ σοφός· ὡς οὖν ἀγαθός, προνοεῖ· ὁ γὰρ μὴ προνοῶν οὐκ ἀγαθός· καὶ γὰρ καὶ οἱ ἄνθρωποι, καὶ τὰ ἄλογα, τῶν οἰκείων τέκνων προνοοῦνται φυσικῶς, καὶ ὁ μὴ προνοῶν ψέγεται· ὡς δὲ σοφός, ἄριστα τῶν ὄντων ἐπιμελεῖται.

Χρὴ τοίνυν τούτοις προσέχοντας πάντα θαυμάζειν, πάντα ἐπαινεῖν, πάντα ἀνεξετάστως ἀποδέχεσθαι τὰ τῆς προνοίας ἔργα, κἂν φαίνηται τοῖς πολλοῖς ἄδικα, διὰ τὸ ἄγνωστον εἶναι, καὶ ἀκατάληπτον τοῦ Θεοῦ τὴν πρόνοιαν, καὶ τοὺς λογισμοὺς ἡμῶν, καὶ τὰς πράξεις, καὶ τὰ μέλλοντα αὐτῷ μόνῳ γνωστά. Πάντα δὲ λέγω, τὰ οὐκ ἐφ' ἡμῖν· τὰ γὰρ ἐφ' ἡμῖν, οὐ τῆς προνοίας ἐστίν, ἀλλὰ τοῦ ἡμετέρου αὐτεξουσίου.

Τῆς δὲ προνοίας τὰ μὲν κατ' εὐδοκίαν ἐστί, τὰ δὲ κατὰ συγχώρησιν. Κατ' εὐδοκίαν μέν, ὅσα ἀναντιρρήτως εἰσὶν ἀγαθά· κατὰ συγχώρησιν δέ, τὰ ἐναντία, ὅσα πρὸς δοκιμὴν γίνεται· συγχωρεῖ γὰρ πολλάκις, καὶ τὸν δίκαιον περιπεσεῖν συμφοραῖς, ἵνα τὴν ἐν αὐτῷ λανθάνουσαν ἀρετὴν δείξῃ τοῖς ἄλλοις, ὡς ἐπὶ τοῦ Ἰώβ. Ἄλλοτε συγχωρεῖ τῶν ἀτόπων τι πραχθῆναι, ἵνα διὰ τῆς πράξεως δοκούσης ἀτόπου, καὶ μέγα τι καὶ θαυμαστὸν κατορθώσῃ, ὡς διὰ τοῦ σταυροῦ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Κατ' ἄλλον τρόπον, συγχωρεῖ τὸν ὅσιον πάσχειν κακῶς, ἵνα μὴ ἐκ τοῦ ὀρθοῦ συνειδότος ἐκπέσῃ, ἢ καὶ ἐκ τῆς δοθείσης αὐτῷ δυνάμεώς τε καὶ χάριτος εἰς ἀλαζονείαν ἐμπέσῃ, ὡς ἐπὶ Παύλου.

Ἐγκαταλείπεταί τις πρὸς καιρὸν πρὸς διόρθωσιν ἄλλου, ἵνα

Δημόσιο Κεντρική Βιβλιοθήκη Βερ

τὸ κατ' αὐτὸν σκοποῦντες οἱ ἄλλοι παιδεύωνται, ὡς ἐπὶ Λαζάρου καὶ τοῦ πλουσίου. Φυσικῶς γὰρ ὁρῶντές τινας πάσχοντας, συστελλόμεθα. Ἐγκαταλείπεταί τις καὶ εἰς ἄλλου δόξαν, οὐ δι' οἰκείας ἢ γονέων ἁμαρτίας, ὡς ὁ ἐκ γενετῆς τυφλός, εἰς δόξαν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Πάλιν συγχωρεῖταί τις παθεῖν εἰς ἄλλου ζῆλον, ἵνα τῆς δόξης τοῦ παθόντος μεγαλυνθείσης, ἄοκνον τὸ πάθος τοῖς ἄλλοις γένηται, ἐλπίδι τῆς μελλούσης δόξης, καὶ ἐπιθυμίᾳ τῶν μελλόντων ἀγαθῶν, ὡς ἐπὶ τῶν μαρτύρων. Παραχωρεῖταί τις, καὶ εἰς αἰσχρὰν ἐμπεσεῖν πρᾶξιν ἐνίοτε, εἰς διόρθωσιν ἑτέρου χείρονος πάθους· οἷον, ἔστι τις ἐπαιρόμενος ἐπὶ ταῖς ἀρεταῖς, καὶ τοῖς κατορθώμασιν αὐτοῦ, παραχωρεῖ τοῦτον ὁ Θεὸς εἰς πορνείαν πεσεῖν, ὅπως διὰ τοῦ πτώματος εἰς συναίσθησιν τῆς οἰκείας ἀσθενείας ἐλθὼν ταπεινωθῇ, καὶ προσελθὼν ἐξομολογήσηται τῷ Κυρίῳ.

Χρὴ δὲ γινώσκειν, ὅτι ἡ μὲν αἵρεσις τῶν πρακτέων ἐφ' ἡμῖν ἐστι· τὸ δὲ τέλος, τῶν μὲν ἀγαθῶν, τῆς τοῦ Θεοῦ συνεργίας, δικαίως συνεργοῦντος τοῖς προαιρουμένοις τὸ ἀγαθὸν ὀρθῷ συνειδότι, κατὰ τὴν πρόγνωσιν αὐτοῦ· τῶν δὲ πονηρῶν, τῆς ἐγκαταλείψεως, τοῦ Θεοῦ πάλιν κατὰ πρόγνωσιν αὐτοῦ δικαίως ἐγκαταλιμπάνοντος.

Τῆς δὲ ἐγκαταλείψεως εἰσιν εἴδη δύο· ἔστι γὰρ ἐγκατάλειψις οἰκονομική, καὶ παιδευτική, καὶ ἔστιν ἐγκατάλειψις τελεία ἀπογνωστική. Οἰκονομικὴ μέν, καὶ παιδευτική, ἡ πρὸς διόρθωσιν, καὶ σωτηρίαν, καὶ δόξαν τοῦ πάσχοντος γινομένη, ἢ καὶ πρὸς ἄλλων ζῆλον, καὶ μίμησιν, ἢ καὶ πρὸς δόξαν Θεοῦ. Ἡ δὲ τελεία ἐγκατάλειψις, ὅταν τοῦ Θεοῦ πάντα τὰ πρὸς σωτηρίαν πεποιηκότος, ἀνεπαίσθητος καὶ ἀνιάτρευτος, μᾶλλον δὲ ἀνίατος, ἐξ οἰκείας προθέσεως διαμείνῃ ὁ ἄνθρωπος· τότε παραδίδοται εἰς τελείαν ἀπώλειαν, ὡς ὁ Ἰούδας. Φείσαιτο ἡμῶν ὁ Θεός, καὶ ἐξέλοιτο τῆς τοιαύτης ἐγκαταλείψεως.

Χρὴ δὲ εἰδέναι, ὡς πολλοί εἰσιν οἱ τρόποι τῆς τοῦ Θεοῦ προνοίας, καὶ μητε λόγῳ ἑρμηνευθῆναι, μήτε τῳ καταληφθῆναι δυνάμενοι.

Δεῖ γινώσκειν, ὡς πᾶσαι αἱ σκυθρωπαὶ ἐπιφοραὶ τοῖς μετ' εὐχαριστίας δεχομένοις, πρὸς σωτηρίαν ἐπάγονται, καὶ πάντως ὠφελείας γίνονται πρόξενοι.

Χρὴ δὲ εἰδέναι, ὡς ὁ Θεὸς προηγουμένως, θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν. Οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς, ἀλλὰ πρὸς τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ, ὡς ἀγαθός, ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι, ὡς δίκαιος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Λέγεται οὖν, τὸ μὲν πρῶτον, προηγούμενον θέλημα, καὶ εὐδοκία, ἐξ αὐτοῦ ὄν· τὸ δὲ δεύτερον ἑπόμενον θέλημα, καὶ παραχώρησις, ἐξ ἡμετέρας αἰτίας. Καὶ αὕτη διττή· ἡ μὲν οἰκονομική, καὶ παιδευτικὴ πρὸς σωτηρίαν, ἡ δὲ ἀπογνωστικὴ πρὸς τελείαν κόλασιν, ὡς εἰρήκαμεν. Ταῦτα δὲ ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν.*

*Τῶν δὲ ἐφ' ἡμῖν, τὰ μὲν ἀγαθὰ προηγουμένως θέλει καὶ εὐδοκεῖ. Τὰ δὲ πονηρά, καὶ ὄντως κακά, οὔτε προηγουμένως, οὔτε ἑπομένως θέλει· παραχωρεῖ δὲ τῷ αὐτεξουσίῳ. Τὸ γὰρ κατὰ βίαν γινόμενον, οὐ λογικόν, οὐδὲ ἀρετή. Προνοεῖ ὁ Θεὸς πάσης τῆς κτίσεως, καὶ διὰ πάσης τῆς κτίσεως εὐεργετῶν, καὶ παιδεύων, καὶ δι' αὐτῶν πολλάκις τῶν δαιμόνων, ὡς ἐπὶ τοῦ Ἰωβ καὶ τῶν χοίρων.* (*Ἐκ τῶν τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ*).

*α'. Εἰ μηδεὶς τῶν ἀδικούντων, καὶ ὅλως ἁμαρτανόντων, κατὰ χεῖρας εἶχε φθάνουσαν τὴν δίκην, ἀλλὰ καὶ πάντες οἱ τῆς ἀρετῆς ἐργάται, τὸν βίον ἐτριβον ἐν ταλαιπωρίᾳ, οὐκ ἄν σοι λίαν ἀτόπως ὁ περὶ προνοίας λόγος ἐχώλευεν. Ἐπεὶ δὲ πολλοὶ καὶ τῶν τὴν κακίαν μετιόντων, παρ' αὐτὰς τὰς πράξεις ὤφθησαν τὰς δίκας δεδωκότες, καὶ τῶν ἀρετῇ ῥυθμιζομένων εὐπαθοῦντές εἰσιν ἐγνωσμένοι, πῶς οὐκ ἀνόητος ἡ κατὰ τῆς προνοίας ἐπίνοια; Εἰ δ' ὅτι μὴ πάντες ἐνταῦθα κομίζονται τὰ ἐπίχειρα, τοῦτό σε κατ' αὐτῆς ἀνερεθίζει, ἴσθι ὡς δι' ὧν ἔγνως αὐτῇ μάχεσθαι, μᾶλλον αὐτῆς ἀνακηρύττεις, μετὰ τῆς σοφίας, τὸ ἄμαχον· εἰ γὰρ πάντες ἐν τῷ νῦν αἰῶνι, οἱ μὲν τὰς εὐθύνας εἰσεπράττοντο τῶν ἁμαρτημάτων, οἱ δέ, ἐφ' οἷς εἵλοντο τὰ ἀμείνω, δόξης καὶ τιμῆς ἀπήλαυον καὶ εὐδαιμονίας, μάτην τε ἂν τὸ ἐκεῖθεν κριτήριον συνειστήκει (ὅπερ ἐστὶ τῆς ἀνωτάτης Θεοῦ σοφίας καὶ κηδεμονίας), καὶ βίαιον ἄλλως καὶ ἀκούσιον ἡ τοῦ κακοῦ φυγὴ ἀπεδείκνυτο· δεδοικότων, ὡς εἰκός, τῶν πλημμελεῖν ἐγνωκότων, τὴν παραυτίκα τιμωρίαν· καὶ οὐχὶ γνώμης ἀγαθῆς αἱρέσει, δειλίᾳ δὲ μᾶλλον ἀπὸ τῆς κακίας διασπωμένων. Ἀλλά γε δὴ καὶ μισθαρνίᾳ καὶ οὐκ ἀρετῇ, τῆς ἀρετῆς ἐτύγχανεν ἂν ἡ ἐργασία· καὶ οὐκέτι διάκρισις τῶν σπουδαίων καὶ τῶν φαύλων ἐγεγόνει, οὐδὲ τισὶ μέν, ἵνα τῆς ἐκεῖθεν τύχωσι βασιλείας, ἵνα δεσποτικὰς συντηρήσωσιν ἐντολάς, ἡ ἀρετὴ πρᾶξις, καὶ ἡ ταύτης χρῆσις ἐξ ἔρωτος θείου, τισὶ δὲ ἵνα τὸν παρόντα βίον ἐν ἀπολαύσει διανύσωσι καὶ εὐδαιμονίᾳ.*

*β'. Ἄλλως τε καὶ τὸ πάντων κάλλιστον, τοὺς ἀγῶνας λέγω ἐφ' οἷς οἱ δίκαιοι μάλιστα στεφανοῦνται, ἀναιροῦντός ἐστι τὸ μηδένα τούτων βούλεσθαι τοῖς παροῦσι πόνοις ἐνταλαιπωρεῖσθαι. Οὐ μόνον δέ, ἀλλὰ καί, ὃ τῶν εἰρημένων οὐδενὸς εἰς ἀπόδειξιν ἀσθενέστερον, αὔξοντός ἐστι τὴν τιμωρίαν καὶ ὑπεροργιζομένου κατὰ τῶν ἁμαρ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τανόντων. Ὧν ἑκάτερον ἀλλότριον τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Τό τε γὰρ στεφάνους ἀφαιρεῖν, καὶ τὸ πικροτάτην καὶ ἄκρατον μηχανᾶσθαι τιμωρίαν, πόρρω καθέστηκε τῆς ἀγαθοειδοῦς ἐπιστασίας, πῶς δ' οὐκ ἂν εἴη τοῖς ἁμαρτάνουσι σφόδρα καὶ ἀπαραίτητος, καὶ ὅλου τρυγίας ἄκρατος ἡ τιμωρία τρόπον τινὰ παρεσκευασμένη, ὅταν ἐπὶ τοσοῦτον μὲν ὑπέρβλυσις ᾖ τῆς εὐεργεσίας, ὥστε ἐξὸν ἄμεινον βιοῦντας, καὶ τῆς ἐντεῦθεν εὐπαθείας, καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν, τοῖς δὲ οὐδ' οὕτως, ἀντὶ τῶν χειρόνων, αἵρεσις ἔπεισι τῶν κρειττόνων; Ὥστε τό, μὴ πάντας τοὺς σπουδαίους ἐνταῦθα τὸν βίον ἔχειν ἐν εὐροίᾳ, μηδὲ τοὺς φαύλους ἅπαντας ἐν ταλαιπωρίᾳ, τῆς ἄκρας ἐστὶ περὶ τὸ ἀνθρώπινον φιλανθρωπίας τε καὶ κηδεμονίας. Κολάζονται τοίνυν ἐνταῦθά τινες τῶν σπουδαίων, ἐπὶ τῇ τῶν στεφάνων ἀπολήψει, καὶ μᾶλλον αὐτοῖς ὁ θεῖος ἔρως εἴη θαυμαστός, ἡλίκος κἂν ταῖς θλίψεσιν ἂν ἀκμάζων ἐπιδεικνύοιτο. Εἰ βούλει δὲ καὶ ἵνα μή, ὡς ὁ θεῖος Παῦλός φησιν, ὑπεραίρωμαι, μηδέ γε μείζους, ὑπὲρ ὃ ὁρῶνται, παρ' ἐνίοις νομίζωνται.

γ'. Σὺ δέ μοι σύνες, εἰ βούλει, καὶ διότι μεγάλαις καὶ καθαραῖς ἡδοναῖς ταῖς κατ' ἀρετὴν ἐντρυφῶσι καὶ διαχέονται δίκαιοι ἂν εἶεν, ὥσπερ στύφοντί τινι καὶ συνάγοντι φαρμάκῳ προσομιλεῖν καὶ ταῖς θλίψεσι καὶ ὅτι ἡ τοῦ Θεοῦ χάρις διὰ τῆς ἀσθενείας αὐτῶν λάμπει καὶ θαυμάζεται. Ἀλλὰ καὶ εἰς τελείαν αἰσχύνην τοῦ πονηροῦ καὶ κατάπτωσιν, ὅτι καὶ τοῖς τῶν πειρασμῶν ἰδρῶσι περισταζόμενοι, οὔτε τὸν τῆς ἀρετῆς τόνον ἔλυσαν, οὐθ' εἰς τὴν κατ' αὐτοῦ πάλην κατεμαλακίσθησαν. Οὐ πάντες δὲ τοῖς πειρασμοῖς παραδίδονται, ἵνα μὴ τοῖς ἀσθενεστέροις, κατὰ τῆς προνοίας, οἱ λογισμοὶ συνταράσσωνται· κολάζονται δὲ καὶ τῶν φαύλων οἱ μὲν ἐπὶ καθάρσει μολυσμάτων, ὅσοις μετριώτερόν τι διημάρτηται· οἱ δέ, εἰς παράστασιν τοῦ πικροτέραν αὐτοῖς πάντως ἀποκεῖσθαι τῶν βεβιωμένων ἐκεῖθεν τὴν εἴσπραξιν, καὶ ἵνα καὶ τοῖς ἀνοήτοις τῆς τοῦ Θεοῦ μισοπονηρίας συναίσθησις γένηται. Οὐ πάντες δέ, ἵνα μάτην τοῦ αὐτεξουσίου ἀπελεγχθῇ τὸ φιλότιμον καὶ ἵνα καθαρὸν ἐξουσίας καὶ ἀμίαντον συναποδειχθῇ τῆς τῶν ἐντελῶν νομοθεσίας τὸ ὠφέλιμον· καὶ διότι μένει τὸ κοινὸν ἐκεῖθεν καὶ πάντων κριτήριον. Πολλοὶ δὲ πάλιν ἐν εὐπαθείᾳ διάγουσι τῶν μὲν δικαίων, παράκλησις καὶ παραψυχὴ καὶ κοινὸν ἀγαθὸν τοῖς πλησίον προκείμενοι, καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ἀπολαύσεως, καὶ ἵνα τὸν ἀλάθητον πεστεύσωσιν ὀφθαλμὸν καὶ τὰ ἐνταῦθα ἐποπτεύειν. Οὐ πάντες δέ, ἵνα μὴ προσκαίρῳ μισθῷ τῆς ἀρετῆς ἡ χάρις δόξῃ διαλύεσθαι· καὶ ἵνα μὴ βαρυτάτη καὶ ἄκρατος τοῖς παρυλισθήσασι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βόρειας

τρόπον τινά, παρεσκευασμένη εἴη ἡ τιμωρία, ἅτε δὴ παντελῶς εἰς ἀνυπολόγητον αὐτοῖς περιϊσταμένης τῆς ἁμαρτίας. Τί γάρ; ἐξὸν κἀνταῦθα κἀκεῖθεν, ἐν εὐπειθείᾳ διάγειν; σὺ δέ, μετὰ τῆς ἑκατέρωθεν ποινῆς, τῶν κρειττόνων ἠλλάξω χείρονα· μηδὲ ὑπερβολὴ χρηστότητος, ἡ τῶν εἰσπράξεων ὑπερβολὴ μεμηχανημένη, νομίζοιτο.

δ'. Ὡσαύτως δὲ καὶ τῶν ἀδίκων πολλοῖς τὰ παρόντα κατὰ ῥοῦν φέρεται, ἵνα, εἴ τι καλοκἀγαθίας ἴχνος αὐτοῖς διεπράχθη, ἐντεῦθεν ὦσι τὴν ἀντιμισθίαν ἀπειληφότες, ἐξασθενούσης τῆς πράξεως παρατείνεσθαι πρὸς ἐκεῖθεν μισθοδοσίαν· ἔτι δὲ καὶ ἵνα μὴ πρόφασιν τῆς κακουργίας τὴν ταλαιπωρίαν προβάλλωνται. Οὐκ εἰς πάντας δὲ αὐτῶν τὰ τῆς εὐθείας διαβιβάζεται, ἵνα μὴ ἡ τῆς κακίας τρίβος, ἐπὶ πλέον ἀνευρυνομένη, πολλοὺς ἑλκύσῃ πρὸς βάραθρον· καὶ ἵνα μὴ πρὸς ἀναλγησίαν ἔτι μᾶλλον οἱ φιλαμαρτήμονες ἀποκλίνωσι, καὶ ἡ θεία ψῆφος τοῖς πολλοῖς εἰς χλεύην νομίζοιτο. Καὶ μυρία ἄλλα δι' ὧν τῆς προνοίας τὸ ἀγαθουργόν τε καὶ σοφὸν καὶ ὑπὲρ ἀνθρωπίνην κρίσιν τε καὶ μεθοδείαν καὶ ἔρευναν ἔστι θεάσασθαι. Τούτοις καὶ τοῖς τοιούτοις ἐμμελετῶν, καὶ τοὺς λογισμοὺς ἐγγυμναζόμενος, τῆς δοκούσης ἐν τοῖς παροῦσιν ἀνωμαλίας καὶ συγχύσεως σαυτὸν ἀναλάμβανε, καὶ τὰ περὶ ἡμᾶς πάθη, καὶ τῶν πειρασμῶν ἡ συνέχεια, μηδέν σε κατὰ τῆς προνοίας ὁπλιζέτω. Εἴτε γάρ, ὡς ἡμεῖς εὐχόμεθα, δι' αὐτῶν τοῦ πλείστου ῥύπου καθαιρόμεθα, ἐντεῦθεν μᾶλλον τὸ ὑπέρσοφον καὶ φιλάνθρωπον τῆς προνοίας λαμπρῶς διαφαίνεται· εἴτε καθάπερ αὐτὸς νομίζεις, ἄθλους καὶ ἀγῶνας ὑπερχόμεθα, μητε τῶν ἐκεῖθεν ἡμᾶς στεφάνων φθονήσῃς καὶ τῆς προνοίας τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον ἐκθειάζων μᾶλλον ἐπιγίνωσκε. Εἴη δὲ τὰ ἡμέτερα πάθη Χριστοῦ τοῦ Θεοῦ ἡμῶν περὶ ἡμᾶς σπλαγχνιζομένου, τῶν προειρημένων τὸ ἕτερον· ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαράκλητου προοίμιον.

(Ἐκ τῶν τοῦ Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως).

Τίς δὲ ὁρῶν τὰς μορφὰς τῶν ἀνθρώπων, ἐν τοσαύταις μυριάσι διαλλαττούσας, καὶ μηδαμοῦ κατὰ πάντα συμπιπτούσας οὐ θαυμάσειε μὲν τὸ ἔργον, ἀναλογιζόμενος δὲ τὴν αἰτίαν, εὑρήσει προνοίας ἕνεκα τὴν διαφορὰν τῆς μορφῆς παρηλλαγμένην ἐν τοῖς καθ' ἕκαστα; Σκόπει γάρ, εἰ τὸν αὐτὸν ἅπαντες ἔσωζον ἀπαράλλακτον χαρακτῆρα, πόση σύγχυσις τῶν πραγμάτων ἐγίνετο! πόση δὲ ἄγνοια καὶ σκότος κατεῖχε τὸν ἄνθρωπον, οὔτε τὸν οἰκεῖον γνωρίζοντα, οὔτε τὸν ἀλλότριον ἢ πολέμιον ἢ φαῦλον ἀπὸ τοῦ φίλου καὶ χρηστοῦ διακρίνοντα! Πάντα δὲ ἦν ὁμοῦ ἀληθῶς χρήματα κατὰ Ἀναξαγόραν. Τούτου γὰρ οὕτως ὄντος, οὐδὲν ἐκώλυεν ἀδελφαῖς καὶ μητράσι συγγίνεσθαι, οὐδὲ ἁρπάζειν, οὐδὲ ἄλλο τι ἀδικεῖν ἐμφα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῶς, εἰ πρὸς τὸ παρὸν μόνον διέφυγεν· οὐ δὲ γὰρ ἂν ὁ ὀφθεὶς ἐγνωρίσθη μετὰ ταῦτα.

Οὐδ' ἂν νόμος ἢ πολιτεία συνετάττετο· οὐδὲ πατέρες καὶ παῖδες ἀλλήλους ἐγνώριζον· οὐδὲ ἄλλο τι συνέστη τῶν κατὰ τὸν ἄνθρωπον· τυφλὸς γὰρ ἦν ἕνεκα τῶν ἀνθρώπων ὁ ἄνθρωπος, μικρὰ τοῦ βλέπειν αὐτῷ παρεχομένου· πλὴν γὰρ ἡλικίας καὶ μεγέθους οὐδὲν ἄλλο διεγίνωσκε. Τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονεν ἡ πρόνοια, ποικίλλουσα τὴν μορφὴν τῶν ἀνθρώπων διὰ παντὸς καὶ πανταχῆ, καὶ μηδένα χρόνον τοῦ ποιεῖν τοῦτο παραλείπουσα· ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ τυγχάνειν προνοίας καὶ τὰ καθ' ἕκαστα, εἰ μέχρι καὶ τοῦ τύπου τῆς διαπλάσεως τοῦ χαρακτῆρος καὶ τῆς φωνῆς ἕκαστος γνωρίζεται, εἰ καὶ μὴ δι' ἀκριβείας τοιοῦτον φυλάττεται, ὡς τῆς μορφῆς ἀρκούσης. Ἐξ ἐπιμέτρου γὰρ καὶ τοῦτο προσέθηκεν ἡμῖν ἡ πρόνοια, καὶ τὴν τῶν χρωμάτων διαφοράν, ἵνα πολυτρόπως βοηθεῖται τῆς ἀνθρωπίνης φύσεως ἡ ἀσθένεια. Οἶμαι δὲ καὶ τὰ πολλὰ τῶν ζώων, τῶν κατ' εἶδος ὁμοσχήμων, οἷόν ἐστι κορώνη καὶ κόραξ, ἔχει τινὰς κατὰ τὴν πρόσοψιν διαφορὰν αἷς γνωρίζει κατὰ συζυγίαν ἄλληλα. Κορώνη γοῦν καὶ κόρακες συναγελάζονται μὲν πολλοῖς πολλάκις· γνωρίζονται δὲ κατὰ συζυγίαν, ἑκάστης καὶ ἑκάστου γνωριζόντων τὸν σύζυγον. Πῶς δ' ἂν ἐγίνωσκον ἀλλήλους, εἰ μή τις ἦν ἑκάστῳ φυσικῶς χαρακτὴρ ἴδιος, ἡμῖν μὲν οὐκ εὐκρινής, εὐσύνοπτος δὲ φυσικῶς τοῖς ὁμοειδέσι; Καὶ τὰ σύμβολα δὲ καὶ φῆμαι καὶ κληδόνες καὶ διοσημεῖαι (πρὸς Ἕλληνας γὰρ ὁ λόγος), κατὰ τὸν οἰκεῖον λόγον, ὡς αὐτοί φασι, τῶν θηλουμένων ὑπ' αὐτῶν τὰς ἐκβάσεις διασώζουσαι, πάντως που πρόνοιαν εἶναι κατασημαίνουσι, καὶ τοῖς σημαινομένοις τὰς ἐκβάσεις ἐπαληθεύουσιν.

Δίκη, ὦ τί σε καλέσας ἀξίως προσείπω; τὰ θνητῶν πράγματα ἐποπτεύει, τιμωρὸς τῶν ἄδικα πραττόντων. Καὶ οὐκ ἔστιν ἀνεπιτρόπευτα τὰ τῇδε. Τοῦτο οὖν γνούς, φεῦγε τὸ ἀδικεῖν, ἵνα καὶ τὴν τιμωρίαν διαφύγῃς. (1)

(Ἐκ τῶν τοῦ Ἰσιδώρου τοῦ Πηλουσιώτου).

## § 17. Ὅτι ὑπὸ θείου νοῦ τὰ πάντα ἔκτισται καὶ διακυβερνᾶται.

(Σωκράτους πρὸς Ἀριστόδημον).

Εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕστινας ἀνθρώπους τε-

(1) Ἀπόσπασμα ἐκ τῶν τοῦ Νεμεσίου Ἐπισκόπου Ἐμέσης περὶ φύσεως ἀνθρώπου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ', ἔφη· καὶ ὅς. Λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ ἀνδριαντοποιίᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν. Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι ἢ οἱ ζῷα ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ νὴ Δία οἱ ζῷα, εἴπερ γε μὴ τύχῃ τινί, ἀλλ' ὑπὸ γνώμης ταῦτα γίγνεται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γιγνόμενα γνώμης ἔργα εἶναι. Οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα, ὀφθαλμοὺς μὲν ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων καὶ ὁριμέων καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη; πρὸς δὲ τούτοις οὐ δοκεῖ σοι καὶ τάδε προνοίας ἔργοις ἐοικέναι, τό, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται, ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἡθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ· τὸ δὲ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίμπλασθαι δὲ μήποτε καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζῴοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μέν, δι' οὗ ὧν ἐπιθυμεῖ τὰ ζῷα εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι, ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς ἧ δυνατὸν προσωτάτω ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα ἀπορεῖς πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν; Οὐ μὰ τὸν Δί', ἔφη, ἀλλ' οὕτω γεσκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. Τὸ δὲ ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιίας, ἐμφῦσαι δὲ ταῖς γειναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου; Ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί τινος ζῷα εἶναι βουλευσαμένου. Σὺ δ' ἐν σαυτῷ φρόνιμόν τι δοκεῖς ἔχειν; Ἐρώτα γοῦν καὶ ἀποκρινοῦμαι. Ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἶει φρόνιμον εἶναι; καὶ ταῦτ' εἰδὼς ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος, λαβόντι τὸ σῶμα συνήρμοσται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοι· νοῦν δὲ μόνον ἆρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πῶς δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν; Μὰ Δι' οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ σύγε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατάγε τοῦτο ἔξεστί σοι λέγειν, ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις· καὶ ὁ Ἀριστόδημος. Οὗτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ὃν ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό. Εὖ ἴσθι, ἔφη, ὅτι, εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίμην αὐτῶν. Ἔπειτ' οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾶν πλέον ποιεῖ δύνασθαι καὶ τὰ ὑπερθεν μᾶλλον θεᾶσθαι καὶ ἧττον κακοπαθεῖν.

Ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν ἐξεργάζονται· καὶ μὴν γλῶτταν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος ἀρθροῦν τε τὴν φωνὴν καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. Οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ' ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε· τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτον μὲν θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ ἄνθρωποι θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα φυλάττεσθαι ἢ λιμὸν ἢ δίψος ἢ ψύχη ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ ἢ ἴδῃ ἢ μάθῃ ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι; οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τἆλλα ζῶα ὥσπερ θεοὶ ἄνθρωποι βιοτεύουσι; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην ἐδύνατ' ἂν πράττειν ἃ ἐβούλετο, οὐδ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστὶ πλέον οὐδὲν ἔχει· σὺ δ' ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τί ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν;

Ὅταν πέμπωσιν, ὥσπερ σοὶ σὺ φῂς πέμπειν αὐτούς, συμβούλους ὅ,τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς, οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λείᾳ κατατίθενται; οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν, καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώτατα ἡλικίαι θεῶν ἐπιμελέστατα; ἀγαθέ, ἔφη, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα ὅπως βούλεται μεταχειρίζεται. Οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ οὕτω τίθεσθαι, καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι· ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένοις καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους, οὕτω καὶ τῶν θείων πεῖραν λαμβάνῃς, θεραπεύων, εἴ τί σοι θελήσουσι περὶ τῶν ἀδήλων ἀνθρώποις συμβουλεύειν, γνώσει τὸ θεῖον ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν ὥσθ' ἅμα πάντα ὁρᾶν καὶ πάντα ἀκούειν καὶ πανταχοῦ παρεῖναι καὶ ἅμα πάντων ἐπιμελεῖσθαι. Ἐμοὶ μὲν οὖν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπείπερ ἡγήσαιντο μηδὲν ἂν ποτε ὧν πράττοιεν θεοὺς διαλαθεῖν (*Ξενοφ. Ἀπομν.* IV. 23-28).

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα (*Ἰακώβου Κεφ. α'* στιχ. 17).

## § 18. Περὶ τελειότητος τοῦ Θεοῦ.

— Ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε, καὶ τελέων
τελειότατον κράτος, ὅλβιε Ζεῦ,
πείθου τε καὶ γενέσθω (*Αἰσχύλ.* Suppl. 524).

— . . . ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο
οὐδὲ μάλ' ἰφθιμος· ἐπεὶ πολὺ φέρτερός ἐστιν
(*Ὁμ. Ἰλ.* 8,143).

## § 19. Περὶ θείων μυστηρίων.

— Ἀλλ' οὐ γὰρ τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν (*Σοφοκλ. Ἀποσπ.* 659).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ἐπίσταμαι δὲ καὶ τάδ', οὖσά περ γυνή,*
*ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν*
*ζητεῖ, τοσούτῳ μᾶλλον ἥσσον εἰσεται* (Ioph. Gtob. Ec. II. 1. 9).

## § 20. Ὅτι ὁ Θεὸς δίδωσι τὰ ἀγαθά.

— *Ἀρετάν γε μὲν ἐκ Διὸς αἰτεῖ* (*Θεοκρ. Εἰδύλ.* XVII [XVI] 137).
— *Εἰ μάλα κάρτερός ἐσσι, Θεὸς πού σοι τό γ' ἐδωκεν* (*Ὅμ. Ἰλ. Α 178*)
— *Εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν* (*Αἰσχ. Ἑπτ. ἐπὶ Θήβ.* 4)
— *Θεοῖς ἀρέσκου, πᾶν γὰρ ἐκ θεῶν τέλος* (*Εὐριπ. Ἀποσπ. 218 Ἀνθολ.*)
— *Θεοῦ δὲ δῶρόν ἐστιν, εὐτυχεῖν βροτούς* (*Αἰσχ. Ἑστ. ἐπὶ Θηβ. 625*).
— *Ἂν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν*
*οὐκ ὄντα κεκτήμεθα τἀγάθ', ὦ γύναι,*
*ἃ δ' ἂν διδῶσ' ἑκόντες ὠφελούμεθα* (*Εὐριπ. Ἰον. 378*).
— *Ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν,*
*ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς* (*Αἰσχύλ. Ἀποσπ.* 358).
— . . . *ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν*
*τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν* (*Σοφοκ. Φιλοκ. 1316*).

*Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων* (*Ἰακώβ. α'. 17*).

*Καὶ σὲ νῦν παρακαλέσω, Σιών, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς ὡς παράδεισον καὶ τὰ πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον Κυρίου* (*Ἡσαΐου ΝΑ'. 3*).

## § 21. Περὶ Θείας μακροθυμίας.

*Διὰ τοῦτο ἐμακροθύμησε Κύριος ἐπ' αὐτοῖς, καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ* (*Σιραχ. ιη. 10*).

*Οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μακροθυμῶν ὁ δεσπότης μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν κολάσῃ, οὕτως καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι' ἵνα μὴ πρὸς τέλος ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστερον ἡμᾶς ἐκδικᾷ* (*Β'. Μακαβ. Ϛ'. 14*).

*Τάδε λέγει Κύριος ὁ ὕψιστος, ὁ ἐν ὑψηλοῖς κατοικῶν εἰς τὸν αἰῶνα, ὁ ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, (Κύριος) ὕψιστος ἐν ἁγίοις*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν· καὶ οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν Πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα (Ἡσαΐου ΝΖ' 15 16).

Ὁ Θεὸς οἰκτίρμων ἐστὶ καὶ ἐλεήμων, καὶ μακρόθυμος (Ἐξόδ. ΛΔ'. 6).

Κύριος μακρόθυμος καὶ πολυέλεος (Ἀριθ. ΙΔ' 8)

Καὶ σὺ ὁ Θεὸς ἐλεήμων, καὶ οἰκτίρμων, καὶ μακρόθυμος (Νεεμ. Θ'. 17).

Καὶ σὺ Κύριε ὁ Θεός μου μακρόθυμος καὶ πολυέλεος (Ψαλ. ΠΕ' 14).

Καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος (Ψαλ. ΡΒ'. 8. Παραβαλε 144.8).

Ὁ Κύριος ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος (Ἰωήλ. Β'. 13. Παράβαλ. Ἰωάν. δ' 3).

Κύριος μακρόθυμος καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ (Ναοὺμ Α'. 3).

Σὺ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς μακρόθυμος (Σοφ. ΙΕ'. 1).

Ὁ γὰρ Κύριος ἐστὶ μακρόθυμος (Σιράχ. Ε'. 4).

Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς (Λουκ. ΙΗ'. 7).

— Θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις εἰς τὸ μαίνεσθαι τραπῇ (Σοφοκλ. Οἰδίπ. ἐπι Κολ. 1536).

## § 22. Περὶ τοῦ ὅτι ἄνευ αἰτίας Θεοῦ οὐδέν ἐστι περαινόμενον.

κβ'. Μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος, αἰτίας μὲν ἄνευ Θεοῦ οὐδέν, ὡς ἔπος εἰπεῖν, ὑποτιθέμενος περαινόμενον, οὐ μὴν πᾶσι πρὸς πάντα χρώμενον ποιῶν τὸν Θεόν, ἀλλ' ἑκάστῳ καθ' ἣν ἔχει τέχνην ἢ δύναμιν. Ἦ γὰρ οὐχ ὁρᾷς, εἶπεν, ὦ φίλε Διογενειανέ, τὴν Ἀθηνᾶν, ὅτι πεῖσαι βούλεται τοὺς Ἀχαιούς, τὸν Ὀδυσέα παρακαλοῦσαν; ὅτε συγχέαι τὰ ὅρκια, τὸν Πάνδαρον ζητοῦσαν; ὅτι τρέψασθαι τοὺς Τρῶας, ἐπὶ τὸν Διομήδην βαδίζουσαν; ὁ μὲν γὰρ εὔρωστος καὶ μάχιμος· ὁ δέ, τοξικὸς καὶ ἀνόητος· ὁ δέ, δεινὸς εἰπεῖν καὶ φρόνιμος. Οὐ γὰρ εἶχεν Ὅμηρος τὴν αὐτὴν Πινδάρῳ διάνοιαν εἴ γε Πίνδαρος ἦν ὁ ποιήσας, Θεοῦ θέλοντος, κἂν ἐπὶ ὀλίγοις πλέοις· ἀλλὰ ἐγίνωσκε ἄλλας πρὸς ἄλλα δυνάμεις καὶ φύσεις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεγενημένας, ὧν ἑκάστη κινεῖται διαφόρως, κἂν ἓν ᾖ τὸ κινοῦν ἁπάσας. Ὥσπερ οὖν τὸ κινοῦν τὸ πεζόν, οὐ δύναται πτητικῶς, οὐδὲ τορῶς τὸ τραυλόν, οὐδὲ εὐφώνως τὸ ἰσχνόφωνον· ἀλλὰ καὶ τὸν Βάττον, οἶμαι διὰ τοῦτο, ἐπὶ τὴν ῥώμην παραγενόμενον, εἰς Λιβύην ἔπεμψαν οἰκιστήν, ὅτι τραυλὸς μὲν ἦν καὶ ἰσχνόφωνος, βασιλικὸς δὲ καὶ πολιτικὸς καὶ φρόνιμος· οὕτως ἀδύνατον διαλέγεσθαι ποιητικῶς τὸν ἀγράμματον καὶ ἀνήκοον ἐπῶν. Ὥσπερ ἡ νῦν τῷ Θεῷ λατρεύουσα γέγονε μὲν εἴ τις ἄλλος ἐνταῦθα νομίμως καὶ καλῶς καὶ βεβίωκεν εὐτάκτως· τραφεῖσα δὲ ἐν οἰκίᾳ γεωργῶν πενήτων, οὔτε ἀπὸ τέχνης οὐδέν, οὔτε ἀπ' ἄλλης τινὸς ἐμπορίας καὶ δυνάμεως ἐπιφερομένη, κάτεισιν εἰς τὸ χρηστήριον, ἀλλ' ὥσπερ ὁ Ξενοφῶν οἴεται δεῖν, ἐλάχιστα τὴν νύμφην ἰδοῦσαν, ἐλάχιστα δὲ ἀκούσασαν εἰς ἀνδρὸς βαδίζειν, οὕτως ἄπειρος καὶ ἀδαὴς ὀλίγου δεῖν ἁπάντων, καὶ παρθένος ὡς ἀληθῶς τὴν ψυχήν, τῷ Θεῷ σύνεστιν. Ἀλλ' ἡμεῖς ἐρωδιοῖς οἰόμεθα καὶ τροχίλοις καὶ κόραξι χρῆσθαι φθεγγομένοις σημαίνοντα τὸν Θεόν, καὶ οὐκ ἀξιοῦμεν, εἰ θεῶν ἄγγελοι καὶ κήρυκές εἰσι, λογικῶς ἕκαστα καὶ σοφῶς φράζειν· τὴν δὲ τῆς Πυθίας φωνὴν καὶ διάλεκτον ὥσπερ ἐκ θυμέλης, οὐκ ἀνήδυντον, οὐδὲ λιττήν, ἀλλ' ἐν μέτρῳ καὶ ὄγκῳ καὶ πλάσματι καὶ μεταφοραῖς ὀνομάτων, καὶ μετ' αὐλοῦ φθεγγομένην παρέχειν ἀξιοῦμεν. (*Περὶ τοῦ μὴ χρᾶν ἔμμετρα Πλουτάρ.*)

## § 23. Περὶ σπουδῆς πρὸς τὸν Θεὸν καὶ ἑνώσεως μετ' αὐτοῦ.

*Ἐκ τοῦ Εὐαγγελ. κήρυκος Α Σπαθάκη περίοδ. β', ἔτος γ', τεῦχ. 1 σελ. 79).*

— *Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ γῆς (Παύλ. Κολ. γ'. 2).*

— *Φύσει εἶναι θεὸν πάσης σπουδῆς ἄξιον (Πλάτ. Νόμ. 4,716).*

— Ipsa cogitatio de vi et natura deorum studium incendit illius aeternitatis imitandae (Cicer. Tusc. disp. v, 25).

— *Φιλοσοφία ὄρεξις τῆς θείας σοφίας (Πλάτ. παρὰ Διογ. Λαερτ. 3, 1, 38).*

— *Ἐδίψεσεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; (Ψαλμ. μα'. 3).*

— Dum omnia quaerimus, aliquando ad verum, si minime expectavimus, perveniens (Quintil. Instit. XII, 8, 11).

— *Ζητήσατε τὸν Κύριον καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε (Προφήτ. Ἡσ. ΝΕ'. 6).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Διὰ δὲ τὴν πρὸς τὸ δαιμόνιον γνώμην, ἰσχυρὸς ἔρως πᾶσιν ἀνθρώποις ἐγγύθεν τιμᾶν καὶ θεραπεύειν τὸ θεῖον, προσιόντας καὶ ἁπτομένους μετὰ πειθοῦς θύοντας καὶ στεφανοῦντας· ἀτεχνῶς γὰρ ὥσπερ νήπιοι παῖδες, πατρὸς ἢ μητρὸς ἀπεσπασμένοι, δεινὸν ἵμερον ἔχοντες καὶ πόθον, ὀρέγουσι χεῖρας οὐ παροῦσι πολλάκις ὀνειρώττοντες· οὕτω καὶ οἱ ἄνθρωποι, θεοὺς ἀγαπῶντες δικαίως, διά τε εὐεργεσίαν καὶ συγγένειαν, προθυμούμενοι πάντα τρόπον συνεῖναί τε καὶ ὁμιλεῖν. (Δίων. Χρυσόστ. λόγ. ιβ'. 24 περὶ τῆς πρώτης τοῦ Θεοῦ ἐννοίας).*

— *Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου (Ψαλμ. κδ'. 1).*

— *Εἰς ὅσον δυνατὸν ὁμοιοῦσθαι Θεῷ (Πλάτ. περὶ πολιτ. 10, 613).*

— *Πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι (Πλάτ. Θεαίτ.)*

— *Ἵνα πάντες ἓν ὦσι· καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν (Ἰωάν ιζ'. 21).*

— *Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι (Ματθ. ε'. 48).*

— (Haec tractanti animo) existit illa a deo Delphis praecepta cognitio, ut ipsa se mens agnoscat, conjunctamque cum divina mente se sentiat, ex quo insatiabili gaudio completur (Cicer. Tusc. disp. V, 25).

— *Τὸ ἕπεσθαι Θεῷ (Πλούταρχ.)*

— Satis deos coluit qui imitatus est (Seneca ep. 95, 50).

— *Γίνεσθαι οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά (Ἐφ. ε'. 1).*

## § 24. Περὶ τῆς ἀξίας τῆς εὐσεβείας.

(*Ἐκ τοῦ Εὐαγγελ. κήρυκ. Α. Σπαθάκη περιόδ. β'. ἔτους γ'. τεῦχ. 3. σελ. 266.*)

— *Μεῖζον μὲν γὰρ ἀρετῆς μηθεὶς ἡμᾶς ποτε πείθῃ τῆς εὐσεβείας εἶναι τῷ θνητῷ γένει (Πλάτ. Ἐπινομ. σ 989).*

— *Τοὺς ἀρίστους καὶ θεοφιλεστάτους ἔφη Σωκράτης εἶναι (Ξενοφ. Ἀπομ. γ'. 9, 15).*

— *Τὰ σαυτοῦ κάθαρον· ἐντεῦθεν ἐκ τῆς διανοίας, ἔκβαλε ἀντὶ Προκρούστου καὶ Σκίρωνος λύπην, φόβον, ἐπιθυμίαν, φθόνον, ἐπιχαιρεκακίαν, φιλαργυρίαν, μαλακίαν, ἀκρασίαν. Ταῦτα δ' οὐκ ἔστιν ἄλλως ἐκβαλεῖν, εἰμὴ πρὸς μόνον τὸν Θεὸν ἀποβλέποντα, ἐκείνῳ μόνῳ προσπεποιθότα, τοῖς ἐκείνου προστάγμασι καθωσιωμένον (Ἀρριαν. Ἐπικτ. διατρ. β'. 16, 45 ἐκδ. Κορ.).*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης (Τιμ. Α'. δ'. 8).

— Τὼς βουλομένως καὶ πράττοντάς τι ἀπὸ θεῶν ἄρχεσθαι χρή· τὸ γὰρ ἄριστον ὥσπερ ἁ παροιμία φατί, τὸν Θεὸν ἦμεν αἴτιον πάντων τούτων (Χαρώνδας παρὰ Στοβ. Ἀνθ. 44. 40).

— Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν πάντας πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειν θεοὺς εἶναι καὶ ἀναβλέποντας εἰς οὐρανὸν καὶ τὸν κόσμον καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν· οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾶν ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγων γιγνομένων. Ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὐτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται Θεὸς ὑπ' ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος· ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων (Ζάλευκος παρὰ Στοβ. Ἀνθολ. 44, 20).

— Ut deos colere debet communitus civitas, sic singulas familas debere (Terent Varro).

— Ἐγὼ δὲ καὶ ἡ οἰκία μου λατρεύσομεν Κυρίῳ, ὅτι ἅγιός ἐστι (Ἰησ. Ναυῆ κδ'. 15).

— Θεοσεβῆ φῶτα κεδνὰ πράξειν (Εὐρ. Ἄλκ. 605).

— Ἀρχὴ σοφίας φόβος Κυρίου (Ψαλμ. ρι'. 10).

— Εἰ τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς. (Ξενοφ. Ἀπομν. β'. Ι, 28.)

— Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. (Ψαλμ. ρμδ'. 18).

— Tam sponsiones quam foedera sancta esse apud eos homines, apud quos juxta divinas religiones fides humana colatur (Livius IX. 9).

— Λόγις Κυρίου παραμένει εὐσεβέσι (Σοφ. Σειρ. ια'. 15).

## § 25. Περὶ θείων τοῖς ἀνθρώποις ἀποκαλύψεων.

(Εὐαγγελ. κήρυκ. Ἀρ Σπαθάκη περιοδ. β. ἔτος γ'. τεῦχ. 3. σελ 268.)

— Οὐδ' ἂν διδάξειν, εἰ μὴ Θεὸς ὑφηγοῖτο (Πλ. Ἀπολ. Σωκρ. 1. 69).

— Ὁ Θεὸς ἐξαιρούμενος τῶν ποιητῶν τὸν νοῦν, τούτοις χρῆται ὑπηρέταις καὶ τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα λέγοντες οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ' ὁ Θεὸς αὐτός

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς. (Πλάτ. Ἴων, 65—66.)*

*— Τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας, θεία μέντοι δόσει διδομένης· ἥ τε γὰρ ἐν Δελφοῖς προφῆτις αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι μανεῖσαι πολλά τε καὶ καλὰ τὴν Ἑλλάδα εἰργάσαντο (Πλάτ. Φαῖδρ. σ. 244).*

*— Ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι Θεοῦ ἄνθρωποι (Β'. Πέτρ. α'. 21)*

*— Σοφοὺς θείους εἶναι (Ζήνων παρὰ Διογ. Λαερτ. 7, 1).*

*— Οὔτοι γὰρ (οἱ ἀγαθοὶ) οὔτε φύσει τοιοῦτοι γίγνονται, οὔτε τέχνῃ, ἀλλ' ἐπίπνοοι ἐκ τῶν θεῶν γινόμενοι τοιοῦτοί εἰσιν· οὕτω δὲ καὶ οἱ ἄνδρες οἱ ἀγαθοὶ λέγουσι ταῖς πόλεσι ἑκάστοτε τὰ ἀποβησόμενα καὶ τὰ μέλλοντα ἔσεσθαι ἐκ Θεοῦ ἐπιπνοίας, πολὺ μᾶλλον καὶ ἐναργέστερον ἢ οἱ χρησμῳδοί.(Σωκρ. παρὰ Στοβ. Ἀνθ.1,97.)*

— Nemo vir magnus sine aliquo afflatu divino unquam fuit (Cicer. de nat. deor II, 66).

*— Αὐτὸς (ὁ Θεὸς) ἀλλοιοῖ καιροὺς καὶ χρόνους. καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν (Δανιήλ. β'. 21).*

— Poeta bonus nemo sine inflammatione animorum existere potest et sine quodam afflatu quasi furoris (Cicer. de orat. II. 46, 194).

— Negat sine furore Democritus quemquam poëtam magnum esse posse (Cicer. de divin. I. 37, 80).

— Suo jure noster ille Ennius sanctos appellat poëtas quasi deorum aliquo dono atque munere commendati nobis esse videantur (Cicer. pro Arch. poët. 8. 18).

*— Ἐν στήθεσσι τιθεῖσι (νόον) θεοί. (Ὀδυσ. β'. 125).*

*— Θάρσει, μαῖ', ἐπεὶ οὔτοι ἄνευ Θεοῦ ἥδε γε βουλή. (Ὀδύσ. Β. 372.)*

— Deus dat consilia magnifica et erecta (Seneca Eq. 41).

*— Εἰ δὲ ἐκ Θεοῦ ἐστιν (τὸ ἔργον), οὐ δύνασθε καταλῦσαι αὐτὸ μήποτε καὶ θεομάχοι εὑρεθῆτε (Πράξ. Ἀποστ. ε'. 39).*

— Elementorum omnium spiritus participat nobiscum munera divinandi et substantiales potestates velut ex perpetuis fontium venis vaticina mortalitati seppeditant verba (Ammian. Marcell. XXI, 1).

— Non mirum, homines profutura discernere nonunquam et nocentia, quorum mentes cognatas coelestibus arbitramur (Ammian. Marcell. XVIII, 3).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὡς δὲ ἐπανεπαύσατο πνεῦμα ἐπ' αὐτοὺς καὶ ἐπροφήτευσαν (Ἀριθμ. ιά. 25).

— Εἷς ἐκ τῶν πολλῶν ἀναστὰς ὠνόμασε Τιμολέοντα .... θεοῦ τινος, ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ ἀνθρώπῳ. (Πλουτ. Τιμολ. 3).

— Ἂν δὲ δι' ἀνθρωπίνης φωνῆς σημαίνῃ τι (ὁ Θεός), τὸν ἄνθρωπον οὐ ποιήσει λέγειν σοι ταῦτα, ἵνα γνοίης τὴν δύναμιν τοῦ δαιμονίου, ὅτι τοῖς μὲν οὕτως, τοῖς δ ἐκείνως σημαίνει (Ἀρριαν. Ἐπικτήτ. διατριβ γ'. κεφ 1, 37).

— Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν (ὁ Καϊάφας), ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους (Ἰωάν. ιά. 51).

— Ζεὺς δὲ μεγάλ' ἔκτυπε σήματα φαίνων (Ὀδύσ. Φ. 412).

— Ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ Κυρίου, καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται. Ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ, καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς. Ὀπίσω αὐτοῦ βοήσεται φωνῇ, βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ· καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ. Βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια (Ἰὼβ λξ'. 2—5).

—Haec deorum immortalium vox, haec oratio judicanda est, cum ipse mundus, cum aër atque terrae moto quodam novo contremiscunt et inusitato aliquid sono incredibilique praedicunt (Cicer. de harusp resp. 28, 63).

— Ὁ δὲ δῆμος ἐπεφώνει, Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου (Πράξ. Ἀποστ. ιβ'. 22).

— Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτεΐνῃσι πολλῇσι (Ἡροδ. 4, 67).

— Εἰ ὧν ὁ Θεός ἐστι ὁ ἐπιπέμπων καὶ οἱ πάντως ἐν ἡδονῇ ἐστι γενέσθαι στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτήσεται καὶ σοὶ τωὐτὸ τοῦτο ὄνειρον, ὁμοίως ὡς καὶ ἐμοὶ ἐντελλόμενοι (Ἡρ. 7, 15).

— Καὶ εἶπε πρὸς αὐτούς· Ἀκούσατε τῶν λόγων μου Ἐὰν γένηται προφήτης ὑμῶν Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ (Ἀριθμ. ιβ' 6).

— Θεόπνευστοι ὄνειροι (Πλούταρχ. 9, 583 ἔκδ. Reiske).

— Καὶ εἶπεν Ἰωσὴφ τῷ Φαραώ· Τὸ ἐνύπνιον Φαραὼ ἓν ἐστιν· ὅσα ὁ Θεὸς ποιεῖ, ἐδειξε τῷ Φαραώ (Γένεσ. μα'. 25).

— Εἴρετο Λευτυχίδης, εἴτε κληδόνος εἵνεκεν ἐθέλων πυθέσθαι εἴτε καὶ κατὰ συντυχίην Θεοῦ ποιεῦντος (Ἡροδ. 9, 91).

— Τὸ τοῦ Σόλωνος, ὡς οἱ εἴη σὺν Θεῷ εἰρημένον (τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον) (Ἡροδ. 1, 86).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω ὃ μέλλεις λαλῆσαι* (*Ἐξόδ. δ'. 12*).

— *Καὶ τοῦτο μέν κου τέρας ἀνθρώποισι τῶν μελλόντων ἔσεσθαι κακῶν ἔφηνε ὁ Θεός.* (*Ἡροδ. 6, 98*).

— *Καὶ ἐθάμβησεν ἡ γῆ, καὶ ἐγεννήθη ἔκστασις παρὰ Κυρίου.* (*Βασιλ. Α'. ιδ'. 15*).

— *Φιλέει κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι* (*Ἡροδ. 6, 27*).

— *Ταῦτα μέν σφι σημήϊα ὁ Θεὸς προέδεξε* (*Ἡροδ. 6, 27*).

— *Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ* (*Λουκ. β'. 12*).

— *Οὐκ ἐκαλλίρεε ὥστε μάχεσθαι* (*Ἡροδ. 9, 38*).

— *Οἱ μάγοι ἔφραζον ὡς Ἕλλησι προδεικνύει ὁ Θεὸς ἔκλειψιν τῶν πλοίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέκτορα* (*Ἡρ. 7,37*).

— *Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε* (*Ὀδύσ. Σ. 136*).

— *Αὐτοδίδακτος δ' εἰμί, Θεὸς δέ μοι ἐν φρεσὶν οἵμας παντοίας ἐνέφυσεν* (*Ὀδυσ. Χ. 347*).

— *Σωκράτης δ' ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων* (*Ξενοφ. Ἀπομν. 1, 1, 19*).

— *Εἰ δέ τι δόξειεν αὐτῷ* (*τῷ Σωκράτει*) *σημαίνεσθαι παρὰ τῶν θεῶν, κτλ.* (*αὐτόθι 1, 3, 4*).

— *Ὥρετο Νουμᾶς χρῆναι τοὺς πολίτας μήτε ἀκούειν τι τῶν θείων μήτε ὁρᾶν ἐν παρέργῳ καὶ ἀμελῶς κτλ.* (*Πλούτ Νουμ. 14 πρβλ. 8*).

*Ὁ Πλούταρχος μεταχειρίζεται τὰς ἑξῆς ἐκφράσεις· «Μαντικὸν ῥεῦμα καὶ πνεῦμα, ἐνθουσιαστικὸν πνεῦμα, ἡ τοῦ πνεύματος δύναμις».*

— *Ἐν αὐτῷ* (*τῷ Θεῷ*) *ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· Τοῦ γὰρ καὶ γένος ἐσμέν.* (*Πράξ. ιζ'. 28*).

*Παραβληθήτωσαν καὶ τὰ ἑξῆς χωρία: Ἡσιόδ. Θεογον. 5, 22. 30. Αἰσχύλ. Ἀγαμεμ. 1207. Εὐριπ. Ἰφ. ἐν Αὐλ. 762. Ὀδύσ. Α. 347. Ἰλ. Β, 484. Διονυσ. Ἁλικαρν. 2, 63.* Cicero de div. I, 37. II, 22 *καὶ* 28 pro Sext. 10. pro Arch. 8. Tusc. disp. 1, 49. V, 4 Quint. instit. orat. X. 1, Horat. Od. IV, 6, 29. Virg. Aen. VI, 46. Ovid. Met. II. 640 de arte amat. III. 549. *κτλ.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## § 26. Περὶ συνειδήσεως ὡς ἀγράφου τοῦ Θεοῦ νόμου παρὰ πᾶσιν ἀνθρώποις.

(*Εὐαγγ. κήρυκ. Ἀρ. Σπαθάκη περιοδ. β'. ἔτος γ'. τεῦχ. 4 σελ. 366.*)

— *Ἐγὼ μὲν θεοὺς οἶμαι τοὺς νόμους τούτους (ἀγράφους) τοῖς ἀνθρώποις θεῖναι (Ξενοφ. Ἀπομν. δ'. 4, 19 προβλ. 3, 16).*

— *Πᾶς ἐστι νόμος εὕρημα καὶ δῶρον θεῶν (Δημοσθ. κατὰ Ἀριστογ. Α, 771).*

— *Δικαιοσύνην Θεοῦ νόμου ὑπελάμβανεν (ὁ Πλάτων).— Νόμοι διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ γεγραμμένος, ὁ δὲ ἄγραφος. —Ὁ κατὰ ἔθη γενόμενος ἄγραφος καλεῖται. (Διογ. Λαερτ. γ'. 45, 48, 51, πρβλ. Ρωμ. β'. 15.)*

— *Ὧν (λόγων καὶ ἔργων) νόμοι πρόκεινται ὑψίποδες, οὐρανίαν δι' αἰθέρα τεκνωθέντες, ὧν Ὄλυμπος πατὴρ μόνος, οὐδέ νιν θνατὰ φύσις ἀνέρων ἔτικτεν, οὐδὲ μήποτε λάθα κατακοιμάσῃ· μέγας ἐν τούτοις Θεὸς οὐδὲ γηράσκει (Σοφ. Οἰδ. Τύραν. 865).*

— *Ἄγραφον καὶ ἀνομοθέτητον φύσεως δίκαιον (Διον. Ἁλικ.).*

— Jura non scripta, sed omnibus scriptis certiora (Seneca controv. 1).

— *Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων (Ρωμ. β'. 14. 15).*

— *Οἱ αὐτοὶ νόμοι πᾶσι, ὑφ' ἑνὸς τάγματος καὶ μιᾶς ἡγεμονίας τροπαὶ βόρειοι, τροπαὶ νότιοι, ἰσημερία, πλειάς, ἀρκτοῦρος, ὧραι σπόρων, ὧραι φυτειῶν· εἷς δὲ βασιλεὺς καὶ ἄρχων, Θεός, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντός, εὐθεία περαίνει κατὰ φύσιν περιπορευόμενος. τῷ δὲ ἕπεται Δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός. ᾗ χρώμεθα πάντες ἄνθρωποι φύσει πρὸς πάντας ἀνθρώπους, ὥσπερ πολῖται (Πλουτάρχ. περὶ φυγῆς ε'.).*

— *Εἷς ἐστιν ὁ νομοθέτης ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ τις εἶ, ὃς κρίνεις τὸν ἕτερον; (Ἰακώβ δ'. 12).*

— Legem neque hominum ingeniis excogitatam neque scitum aliquod esse populorum, sed aeternum quiddam quod universum mundum regeret imperandi prohibendique sapientia. Ita principem legem illam et ultimam mentem esse dicebant omnia ratione aut cogentis aut vetantis dei: ex qua illa lex, quam dii humano generi dede-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

runt, recte est laudaua; est enim ratio mensque sapientis ad jubendum et ad deterrendum idonea. — Quae vis non modo senior est, quam aetas populorum et civitatum, sed aequalis illius coelum atque terras tuentis et regentis dei (Cicer. de legib. IIIV, 8, 9).

— *Βροτοῖς ἅπασιν ἡ συνείδησις Θεός.* (*Γνώμ. ποιητ. 139*).

— Sacer intra nos spiritus sedet, malorum bonorumque nost orum observator et custos; hic prout a nobis tiractatus est, ita nos ipse tractat (Seneca ep. 41).

— *Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ* (*Ρωμ. θ'. 1*).

— Si honesta facis, omnes sciant, si turpia, quid refert, neminem scire, quum tu scias? O te miserum, si contemnis hunc testem (Seneca, ep. 43).

— Est vera lex recta ratio, naturae congruens, diffusa in omnes, constans, sempiterna, quae vocet ad officium jubendo, a fraude deterreat, quae tamen neque probos frustra jubet aut vetat, nec improbos jubendo aut vetando movet. Huic legi nec abrogari fas est, neque derogari ex hac aliquid licet, neque tota abrogari potest; nec vero aut per senatum aut per populum solvi hac lege possumus; neque est quaerendus explanator aut interpres ejus alius; nec erit alia lex Romae, alia Athenis, alia nunc, alia posthac, sed et omnes gentes et omni tempore una lex et sempiterna et immutabilis continebit, unusque erit communis quasi magister et imperator omnium deus, ille legis hujus inventor, disceptator, lator; cui qui non parebit, ipse se fugiet, ac naturam hominis aspernatus hoc ipso luet maximas poenas, etiamsi cetera supplicia, quae putantur, effugerit. (Cicero, de republ. III, 22. *πρβλ. καὶ* Lactant. divin. institut. VI, 8).

— *Ὁ νόμος τοῦ Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια* (*ψαλμ. ιθ'. 8*).

— Magna vis est conscientiae et magna in utramque partem, ut neque timeant, qui nihil commiserint, et poenam semper ante oculos versari putent, qui peccarint. (Cicero, pro Mil. XXIII, 61).

— Conscia mens ut cuique sua est, ita concipit intra pectora pro facto spemque metumque suo (Ovid. Fast. I, 485).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Β'.

### ΠΕΡΙ ΨΥΧΗΣ

### Καὶ ὅτι περὶ αὐτῆς μᾶλλον ἢ περὶ τοῦ σώματος δεῖ φροντίζειν.

*Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ ; (Ματθαῖος ις'. 26).*

*— Τέκνον ἐν πραότητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. (Σειράχ.)*

*— Ψυχῆς θησαύρισμα, σώματος ἐνδεια· τούτου γὰρ πλουτοῦντος, ἐκείνη πένεται. — Λέχεται μὲν γὰρ ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα, μεταλαμβάνει δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή — Οὐδεὶς περιορᾷ τὸ ἑαυτοῦ τέκνον, μέλλον καταπίπτειν εἰς βόθυνον, ἢ ἐμπεσὸν ἀφίησι τῷ πτώματι· πόσον δὲ δεινότερον, ψυχὴν εἰς βάθος κακῶν ἐμπίπτουσαν, ἐναφεῖναι τῇ ἀπωλείᾳ ; (Βασιλείου).*

*— Σῶμα μὲν εὐεκτεῖ καμνούσης ψυχῆς· ψυχὴ δὲ θάλλει καὶ ἄνω βλέπει, τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι. (Γρηγορίου τοῦ Θεολόγου).*

*— Πάντα διπλᾶ δέδωκεν ἡμῖν ὁ Θεὸς τῇ φύσει· ὀφθαλμοὺς δύο, χεῖρας δύο, πόδας δύο κλπ., ἐὰν ὁπότερον βλαβῇ, διὰ τοῦ ἑτέρου τὴν χρείαν παραμυθούμεθα· ψυχὴν δὲ μίαν δέδωκεν ἡμῖν· ἂν ταύτην ἀπολέσωμεν, μετὰ τίνος ἐμβιοτεύσομεν ; (Χρυσοστόμ.)*

*— Ἄρκετόν σοι ὅτι συντρίβῃς ὑπὲρ τῆς σήμερον· εἰ δὲ καὶ ὑπὲρ τῆς αὔριον μεριμνήσεις, πότε σχολάσεις τῷ Θεῷ, ἀεὶ συντρίβων σεαυτὸν ὑπὲρ τῶν σωματικῶν ; (Θεοφύλακτ.)*

*— Ἀθάνατοι πᾶσαι αἱ ψυχαὶ καὶ τῶν ἀσεβῶν, οἷς ἄμεινον ἦν μὴ ἀφθάρτοις εἶναι· κολαζόμεναι γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ καὶ μὴ θνήσκουσαι, ἐπὶ κακῷ τῷ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσι. — Ἆροῦ, πάντα τὰ θνητὰ καὶ γήϊνα ἀπολέσας, ἕνα ἀθάνατον καὶ οὐράνιον κτήσασθαι. (Κλήμεντος.)*

*— Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ δὲ σώματος ὡς στρατιώτου προνόει. — Ψυχὴν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος. (Κλειτάρχου.)*

*— Ἀνθρώποις ἁρμόδιον, ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι. (Δημόκριτος.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.* (*Ἐπικτήτου.*)

— *Ψυχὴ μὲν γὰρ τελεωτάτη σκήνεος μοχθηρίαν ὀρθοῖ· σκήνεος δὲ ἰσχύς, ἄνευ λογισμοῦ, ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.* (*Μοσχίωνος.*)

— *Ψυχῆς καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς Θεὸς οὐκ ἔχει.* (*Πυθαγόρας.*)

— *Ὅσῳ οὖν κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότεροι.* (*Ξενοφ.*)

— *Μὴ περιίδῃς τὴν σεαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν.* (*Ἰσοκράτους.*)

— *Οὐχ οὕτω μικρὸς ὁ Θεὸς καὶ καινόσπουδός ἐστιν, ὥστε μηδὲν ἡμῶν ἐχόντων θεῖον ἐν αὐτοῖς, μηδὲ προσόμοιον ἀμωσγέπως Ἐκείῳ, καὶ διαρκὲς καὶ βέβαιον, ἀλλὰ φύλλοις παραπλησίως ἀπομαραινομένοις παντάπασι καὶ φθίνουσιν ἐν ὀλίγῳ, ποιεῖσθαι λόγον τοσοῦτον. Ἐφημέρους δὲ ψυχὰς ἐν σαρκὶ τρυφερᾷ καὶ βίου ῥίζαν ἰσχυρὰν οὐ δεχομένῃ βλαστανούσας, εἶτα ἀποσβεννυμένας εὐθὺς ὑπὸ τῆς τυχούσης προφάσεως.* (*Πλουτάρχου.*)

— *Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας αὐτὴν ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ.* (*Ματθ. ι'. 39.*)

— *Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ.* (*Σολμ.*)

— *Ἡ καταστροφὴ τῶν παρανόμων κακὴ· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.* (*Σολμ.*)

— *Αἵματι καὶ πνοῇ κρατεῖται ἡ ψυχή· τούτων γὰρ ἐκλειπόντων ἀναχωρεῖ καὶ ἡ ψυχή.* (*Βασιλείου.*)

— *Οὐ μόνον Ἄγγελοι τὰ καθ' ἡμᾶς βλέπουσιν, ἀλλὰ καὶ πάντων ἁγίων αἱ ψυχαί.* (*»*)

— *Τί σοι θέλεις γενέσθαι; ψυχὴν ἐμὴν ἐρωτῶ· Τί σοι μέγα, ἢ τί μικρόν;* (*Θεολόγου.*)

— *Ὑποχωροῦσα τοῦ σώματος ἡ ψυχή, ἐν συναισθήσει γίνεται τοῦ μέλλοντος αὐτὴν διαδέχεσθαι ἀγαθοῦ ἢ κακοῦ, ἀλλὰ καὶ αἰσθάνεται τῶν ἐντεῦθεν εἰς αὐτὴν τελουμένων, αἱ δὲ τῶν δικαίων καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν δύνανται.* (*Θεολόγου.*)

— *Εἰκόνα καὶ ὁμοίωσιν ἀποσώζει ψυχή, ὡς λογική, ὡς ἀθάνατος καὶ ὡς νοῦς ἀπαθὴς ἐν ἀνθρώπου φύσει.* (*Εὐσεβ. 45.*)

— *Ὀπίσω ἐπιθυμιῶν ψυχῆς σου μὴ πορεύου, καὶ ἀπὸ ὀρέξεών σου κωλύου.* (*Σειραχ. ιη'.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μολύνεται ψυχὴ ἐν παραπτώμασι κυλινδουμένη· καὶ οὐχ ἕξει ἐλπίδα ἐπὶ ἐπισκοπῆς ψυχῶν.* (»)

— *Κάτεισιν εἰς Ἅιδου ψυχὴ ἀπεγνωσμένη.* (ι) *Ῥῦσαι τὴν ψυχήν μου ἀπο ἀσεβοῦς.* (*Ψαλμ. ις'.*)

— *Ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ.* (*Ψλμ. λη'*) *Θανάτῳ κατακρίνεται ψυχὴ ἀκόλαστος.* (*Χρυσ.*)

— *Ὥσπερ ὗς ἐγκυλινδούμενος βορβόρῳ ἥδεται, οὕτω καὶ ἡ ψυχὴ ἀπὸ κακῆς συνηθείας ἁμαρτίαις καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας.* (*Χρυστμ. Τμ. 1Β'. 486.*)

— *Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται.* (*Ἰεζεκιὴλ ιη'.*)

— *Φύσει καλὸν ἡγεῖσθαι χρὴ τὸ τῆς ψυχῆς ἀγαθόν.* (*Βασιλ.*)

— *Ῥιζα τῶν περὶ τὸν βίον πλημμελημάτων ἐστὶν ἡ περὶ ψυχῆς ἀμεριμνία.* (*Ἰωάν. Κλίμ.*)

— *Ἡ ψυχὴ εἰς προσώπου μορφὴν παρίστησι τὰς ἁμαρτίας αὐτῆς ἁμαρτάνουσα* (τοῦ αὐτοῦ.)

— *Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν.* (*Ἰωάν. ιβ'. 25.*)

— *Μοιχὸς τὴν ἑαυτοῦ ψυχὴν εἰς κρίσιν αἰώνιον παραπέμπει.* (*Ἰωάν. Κλίμ.*)

— *Μακάριοι οἱ μὴ ὀξύρροποι πρὸς τὰς ἐμπαθεῖς τῆς ψυχῆς κινήσεις, ἀλλὰ κατεσταλμένοι τῷ λογισμῷ καὶ ἀφ' ὧν λογισμός, καθάπερ τις χαλινός, ἀναστομῶν τὰς ὁρμάς, οὐκ ἐᾷ τὴν ψυχὴν πρὸς ἀταξίαν ἐκφέρεσθαι.* (*Βασιλει. Τμ. Α'. 81.*)

— *Δύναται πολλάκις μία κερδηθεῖσα ψυχὴ μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι, καὶ γενέσθαι ἡμῖν ἀντίψυχον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.* (*Χρστμ.*)

— *Ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ.* (*Ψλ. Θ.*)

— *Νόσος ψυχῆς τὰ τῆς σαρκὸς παραπτώματα· σώματος δὲ νεκρουμένου ψυχὴ ἀνακαινοῦται.* (*Γρ. Θεολ.*)

— *Σωματικῶν ἀρετῶν δίχα οὐδ' αἱ ψυχικαὶ ἀρεταὶ γίνονται.* (*Δαμ. Φιλκλ 575.*)

— *Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μέλλοντος αὐτῇ καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος, ἢ οὐκ οἶδ' ὅ,τι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ δεσμωτήριον χαλεπὸν τὸν ἐντεῦθεν βίον ἀποφυγοῦσα, καὶ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα. (Θεολόγου.)

— Σὴν γράψαι ψυχὴν χαλεπόν· μορφὴν δὲ χαράξαι ῥᾴδιον εἰς ψυχῆς ἀπόδειξιν (Χρυσοστόμου).

— Θεοῦ εἰκὼν καὶ ὁμοίωσις ἡ ψυχὴ ἡμῶν· κατὰ δύναμιν ἄρα ἀνθρωπίνην ὅμοιοι γινόμεθα τῷ Θεῷ, κατὰ τὸ ἧμερον, λέγω, καὶ πρᾷον ἐξομοιοῦσθαι ὀφείλομεν αὐτῷ. (Χρυστμ.)

— Χωρίζουσιν ἀπὸ Θεοῦ σκολιοὶ σκολιᾶς ψυχῆς λογισμοί. (Σοφ. Σολμντ. ι'.)

— Ἅπαξ τῆς οἰκείας ἡ ψυχὴ ἀπογνοῦσα σωτηρίας, εἰς αὐτὰ τῆς ἀπωλείας τὰ βάραθρα φέρουσα κατακρημνίζει ἑαυτήν. (Χρυστμ.)

— Ἰδοὺ ὁ μεθύων Θεοῦ κατεφρόνησε, καὶ ψυχὴν ἀπώλεσεν ἑαυτοῦ. (Βασιλείου.)

— Ψυχὴ σοφοῦ ἁρμόζεται πρὸς θεόν· ψυχὴν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος. (Φιλιστίωνος).

— Ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν ἑαυτοῦ ψυχὴν πάντων καθαρὰν τῶν κακῶν . . . Οὐ τιμᾶται Θεὸς ὑπ' ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ Τραγῳδίαις, ἀλλ' ἀγαθῇ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. (Ζαλεύκου).

— Μὴ τοίνυν ἀμεριμνῶμεν τῆς ψυχῆς· ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι, οὕτω καὶ ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργῶς τὰς πράξεις εἰκονίζουσαι. (Βασιλείου Τμ. Α'. 335.)

— Οὐκ ἔστι ψυχῆς ἀντάξιος οὐδὲ ὁ κόσμος ἅπας, ὥστε, κἂν μυρία θῶς χρήματα πένησιν, οὐδὲν τοιοῦτον ἐργάσῃ οἷον μίαν ψυχὴν ἐπιστρέφων. (Χρυστμ.)

— Ἐκεῖνοι οἱ μηδὲν ἀπολαύοντες ταύτης τῆς ἰατρείας, μηδὲ τῆς θείας ἀπολαύοντες διδασκαλίας, ποίαν σωτηρίαν ἕξουσιν; ὥσπερ γὰρ ὁ τοῦ λιμένος ἐξελθὼν πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς πολλοῖς περιπίπτει, οὕτω καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ Θεοῦ φροντίσι καὶ μερίμναις ἐκδίδοται διηνεκῶς. (Χρυστμ. Τμ. ΙΒ'. Ϛ'. 492.)

— Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. (Ψλμ. ξβ'.)

— Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ὑψηλὸν τὸν ζῶντα (» μα'.)

— [Ἐθεώρουν ἕως ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν Εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος, καὶ ὁ λίθος ὁ πατάξας τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Εἰκόνα ἐγεννήθη ὅρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. (Δανιὴλ β'. 24—25.)* ]

— *Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. (Κολ. α'. 17.)*

— *Εἴπερ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὲ δεῖται, οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός· καὶ ὁ κίνδυνος οὖν δὲ καὶ δόξειεν ἂν μάλιστα δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσειεν. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι, καὶ τῆς αὐτοῦ κακίας μετὰ τῆς ψυχῆς, νῦν δέ, ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν, οὐδὲ σωτηρία, πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς ᾅδου ἡ ψυχὴ ἔρχεται, πλὴν τῆς παιδείας τε καὶ τροφῆς· ἃ δὴ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα. (Πλάτ. Φαίδων LVII 107.)*

*Φασὶ δ' ὅσοι θεῖοί εἰσι, τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον· καὶ τοτὲ μὲν τελευτᾶν (ὃ δὴ ἀποθνήσκειν καλοῦσι,), τοτὲ δὲ πάλιν γίγνεσθαι· ἀπόλλυσθαι δ' οὐδέποτε. Δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον. (Πλάτ. Μένων.)*

— *Ἀντὶ τῆς ἐμῆς ψυχῆς οὐδ' ἂν τὴν πάντων Ἑλλήνων καὶ βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείην ἄν μοι γενέσθαι. (Πλάτ. Ἀλκιβ. Β'.)*

— *Ἐμοὶ μὲν οὐ φαίνεται, ὃ ἂν χρηστὸν ᾖ σῶμα, τοῦτο τῇ αὐτοῦ ἀρετῇ ψυχὴν ἀγαθὴν ποιεῖν, ἀλλὰ τοὐναντίον, ψυχὴ ἀγαθὴ τὸ αὐτῆς σῶμα παρέχειν ὡς οἷόν τε βέλτιστον. (Πλάτ. Πολιτ. Γ'.)*

— *Πᾶς οὗτος ὁ ἐκ παιδὸς μέχρι πρεσβύτου χρόνος πρὸς τὸν πάντα ὀλίγος ἐστί. Τί γοῦν; οἴει ἀθανάτῳ πράγματι ὑπὲρ τοσούτου δεῖν χρόνου ἐσπουδακέναι, ἀλλ' οὐχ ὑπὲρ τοῦ παντός; (Πλάτ. Πολιτεία ι'.)*

— *Ἡμεῖς μὲν ἐσμὲν ψυχή, ζῶον ἀθάνατον, ἐν θνητῷ καθειργμένον φρουρίῳ· τὸ δὲ σκῆνος τουτὶ πρὸς κακοῦ περιήρμοσεν ἡ φύσις. (Πλάτ. Ἀξίοχος.)*

— *Ἡ ψυχὴ συναλγοῦσα τῷ σώματι, τὸν οὐράνιον ποθεῖ καὶ σύμφυλον αἰθέρα, καὶ διψᾷ, τῆς ἐκεῖσε διαίτης ὀρεγομένη, ὥστε ἡ τοῦ ζῆν ἀπαλλαγὴ κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή (»).*

— *Ὅστις ψυχῇ μὴ ἐπίσταται χρῆσθαι, τούτῳ τὸ ἄγειν ἡσυχίαν τῇ ψυχῇ καὶ μὴ ζῆν κρεῖττον, ἢ ζῆν· εἰ δέ τις ἀνάγκη ζῆν εἴη,*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον. (Πλάτ. Ἐρυξίας.)

— Ψυχή, τὸ αὐτὸ ἑαυτὸ κινοῦν αἰτία κινήσεως ζωτικῆς ζώων. (Πλάτ. Ὅροι.)

— Ἐὰν καλὸν ἔχῃς σῶμα καὶ κακὴν ψυχήν, καλὸν ἔχεις πλοῖον καὶ κακὸν κυβερνήτην.

— Εὑρίσκεται ἡ ψυχὴ εἰς τὸ σῶμα καθὼς τὸ πῦρ εἰς τὸν πεπυρακτωμένον σίδηρον· κατοικεῖ δὲ εἰς τὸ σῶμα ὥσπερ βασιλεὺς εἰς παλάτιον, θρόνον ἔχων τὴν πυξίδα τῆς φαντασίας διὰ νὰ γράφῃ τὰ διὰ τῶν παραθύρων τῶν πέντε αἰσθήσεων εἰσερχόμενα (Δαμασκηνός).

— Ὥσπερ ἀνήρ τις τοῦ ἑαυτοῦ οἴκου ἀπόδημος, ἐπὰν ἐπιστρέψῃ, οὐκ ἔχει ὅ,τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ὅτι κατηξιώθη τοῖς τέκνοις καὶ τῇ γυναικὶ ἐντυχεῖν· οὕτω καὶ ὁ νοῦς, ἐὰν μετὰ τῆς ψυχῆς ἑνωθῇ, ἀρρήτου ἡδονῆς καὶ εὐφροσύνης ἐμπίμπλαται. (Νικηφ.)

— Κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν (Ξενοφ. Ἀπομν. 1, 5, 3.).

— Τοῖς φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; (Ξενοφ. Κύρ. Παιδ. 8, 7, 17).

— Ἡ ψυχή, ὅσον περ ἂν χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίγνεται. (Ξενοφ Συμπόσ. 13.)

— Ἡ ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς διανοίας (Ἰσοκρ. πρὸς Δημόν. 32).

— Ἀνδρὸς δὲ ψυχὴ πάλιν οὔτε λεϊστὴ
Οὔθ' ἑλετή, ἐπεὶ ἆρ κεν ἀμείψεται ἕρκος ὀδόντων (Ἰλ. 9,408).

— Ἀθάνατος ψυχή, κοὐ χρῆμα σὸν ἀλλὰ προνοίης
Ἢ μετὰ σῶμα μαρανθέν, ἅτ' ἐκ δεσμῶν θοὸς ἵππος,
Ῥηϊδίως προθοροῦσα κεράννυται ἠέρι κούφῳ,
Δεινὴν καὶ πολύτλητον ἀποστέρξασα λατρείην.
(Φιλοστρ. ἐν βίῳ Ἀπολλωνίου 8, 31)

— Ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν (Πλάτ. Φαίδ. 70. Β.).

— Ψυχὴ καὶ σῶμα ὁ ἄνθρωπος, τὸ μὲν αὐτοῦ ἄρχον, τὸ δὲ ἀρχόμενον (Μάξιμ Τύριος).

— Ψυχῆς πείρατα οὐκ ἂν ἐξεύροις πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει (Ἡράκλειτ. παρὰ Διογ Λαερτ. 9, 7).

— Δοκεῖ καὶ πρὸς ἀλήθειαν ἅπασαν ἡ γνῶσις τῆς ψυχῆς μεγάλα συμβάλλεσθαι, μάλιστα δὲ πρὸς τὴν φύσιν (Ἀριστοτέλ. περὶ ψυχῆς 1, 1, 1).

— Ἄτοπον τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν ἔχει λόγον ἡ μῖξις τῶν στοιχείων καθ' ἣν σάρξ, καὶ καθ' ἣν ὀστοῦν (αὐτόθι)

— Ψυχὴ δ' ἐστὶν ἄημα Θεοῦ καὶ μίξιν ἀνέτλη
Οὐρανίη χθονίοιο, φάος σπήλυγγι καλυφθέν·
Ἀλλ' ἔμπης θείη τε καὶ ἄφθιτος· οὐ γὰρ ἔοικεν
Εἰκόνα τὴν μεγάλοιο Θεοῦ λύεσθαι ἀκόσμως
Ἑρπηστῆρσιν ὁμοῖα βροτοῖσί τε ἀφραδέεσιν,
Εἰ καί μιν θνητὴν γε βιήσατο θεῖναι ἁμαρτάς
(Γρηγ. Ναζιανζ περὶ ψυχῆς).

— Ψυχή ἐστιν οὐσία ζῶσα ἁπλῆ καὶ ἀσώματος, σωματικοῖς ὀφθαλμοῖς κατ' οἰκείαν φύσιν ἀόρατος, ἀθάνατος, λογική τε καὶ νοερά, ἀσχημάτιστος, ὀργανικῷ κεχρημένη σώματι, καὶ τούτῳ ζωῆς, αὐξήσεώς τε καὶ αἰσθήσεως καὶ γεννήσεως παρεκτική. (Ἰωάν' Δαμασκ. ὀρθ. πίστις, βιβλ. β', σελ. 119).

— Χρημάτων μὲν οὐκ αἰσχύνῃ ἐπιμελόμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ ψυχῆς, ὅπως σοι ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελῇ οὐδὲ φροντίζεις; Μητε σωμάτων ἐπιμελεῖσθαι (δεῖ), μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τἆλλα τἀγαθὰ τοῖς ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ (Πλάτ. Ἀπολ. Σκυρ.).

— Ἐπιόντος θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητὸν αὐτοῦ ἀποθνήσκει τὸ δ' ἀθάνατον σῶον καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. Παντὸς μᾶλλον ἄρα ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον. (Πλάτ Φαίδ.)

— Ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται ἡ ψυχὴ μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο — τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε. Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι πλάνης καὶ ἀνοίας φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ τῶν θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; (Πλάτων. Φαίδων Ε'. 81.)

— Ἀλλὰ τούτων δὴ ἕνεκα θαρρεῖν χρὴ περὶ τῇ ἑαυτοῦ ψυχῇ ἄνδρα, ὅστις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τοὺς κόσμους εἴασε χαίρειν, ὡς ἀλλοτρίους τε ὄντας καὶ πλέον

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

θάτερον ἡγησάμενος ἀπεργάζεσθαι, τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ ἐλευθερίᾳ καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. (*Πλάτ. Φαίδων Ε'. 115.*)

— *Οὐδὲ τοῦτο πώποτε ἐπείσθην ὡς ἡ ψυχὴ ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν· ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ, ἡ ψυχή, ζῶντα παρέχεται, οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι· διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται· ἐννοήσατε δ', ἔφη, ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται καὶ τότε τι τῶν μελλόντων προορᾷ· τότε γάρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται.* (*Ξενοφ. Κύρου Παιδείας Βιβλ.* VIII *κεφ.* VII *19—22.*)

— *Τρέφεται μὲν διὰ ψυχῆς σῶμα, κοινωνεῖ δὲ διὰ σώματος πάθους ἡ ψυχή* (*Θεολόγου*).

— *Ψυχή ἐστιν οὐσία τις ἀσώματος καὶ ἀθάνατος.* (*Τοῦ αὐτοῦ.*)

— *Ψυχή ἐστιν οὐσία γεννητή, οὐσία ζῶσα νοερά.* (*Τοῦ αὐτοῦ.*)

— *Θανάτῳ κατακρίνεται ψυχὴ ἀκόλαστος.* (*Τοῦ αὐτοῦ.*)

— *Εἰκόνα καὶ ὁμοίωσιν ἀποσώζει ψυχή, ὡς λογική, ὡς ἀθάνατος καὶ ὡς νοῦς ἀπαθὴς ἐν ἀνθρώπου φύσει.* (*Εὐσεβίου.*)

— *Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίας, ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε κτλ.* (*Δαυΐδ.*)

— *Σωματικῶν ἀρετῶν δίχα οὐδ' αἱ ψυχικαὶ ἀρεταὶ γίνονται.* (*Δαμασκηνοῦ.*)

— *Ὁ μεθύων Θεοῦ καταφρόνησε καὶ ψυχὴν ἀπώλεσεν ἑαυτοῦ.* (*Βασιλείου.*)

— *Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν ἀεικίνητον ἢ αὐτοκίνητον.*

— *Πυθαγόρας ἀριθμὸν αὐτὸν κινοῦντα, τὸν δ' ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει. Ὁμοίως δὲ καὶ Ξενοκράτης.*

— *Ἀλκμαίων φύσιν αὐτοκίνητον κατ' ἀΐδιον κίνησιν, καὶ διὰ τοῦτο ἀθάνατον αὐτὴν καὶ παρεμφερῆ τοῖς θείοις ὑπολαμβάνει.*

— *Δικαίαρχος ἁρμονίαν τῶν τεττάρων στοιχείων.*

— *Ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἀριστοτέλης ἐντελέχειαν πρώτην σώματος· τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τοῦ εἴδους καὶ τῆς ἐνεργείας.

— Ἀναξιμένης, Ἀναξαγόρας, Ἀρχέλαος, Διογένης, ἀερώδη.

— Οἱ στωϊκοὶ πνεῦμα νοερὸν θερμόν

— Παρμενίδης δὲ καὶ Ἵππαρχος πυρώδη.

— Δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι.

— Ἡρακλείδης φωτοειδῆ τὴν ψυχὴν ὡρίσατο.

— Λεύκιππος ἐκ πυρὸς εἶναι τὴν ψυχήν.

— Διογένης ὁ Ἀπολλωνιάτης ἐξ ἀέρος εἶναι τὴν ψυχήν.

— Ἵππων ἐξ ὕδατος τὴν ψυχήν.

— Ξέναρχος ὁ περιπατητικὸς καί τινες ἕτεροι τῆς αὐτῆς αἱρέσεως τὴν κατὰ τὸ εἶδος τελειότητα καὶ ἐντελέχειαν, καθ' ἑαυτὴν οὖσαν ἅμα καὶ μετὰ τοῦ σώματος συντεταγμένην.

— Ἐπίκουρος κρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ ἀερώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου· τοῦτο δ' ἦν αὐτῷ τὸ αἰσθητικόν· ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον τὴν ἐν ἡμῖν ἐμποιεῖν αἴσθησιν· ἐν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων εἶναι αἴσθησιν.

— Ψυχὴ τοίνυν ἐστὶν οὐσία ἄϋλος νοητική, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον (Ἑρμοῦ Πατρι 41.)

— Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως ψυχῆ. (Πλάτ. Φαίδρ. 247).

— Ἔστι τοίνυν ἡ ψυχὴ ἀσώματος οὐσία. (Ἑρμοῦ Πατρ. 40.)

— Παρέχει δὲ ἡ ψυχὴ ζωὴν νοεράν. (αὐτόθι).

— Ψυχὴ ἄρα ἀσώματος, ἀμετάπτωτον ἔχουσα τὴν δύναμιν. (αὐτόθι)

— Ψυχὴ τοίνυν ἐστίν, ὦ Ἄμμων, οὐσία αὐτοτελής, ἐν ἀρχῇ ἑλομένη βίον τὸν καθ' εἱμαρμένην καὶ ἐπεσπάσατο ἑαυτῇ λόγον ὅμοιον τῇ ὕλῃ. (αὐτόθι 51).

— Ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος (αὐτόθι.)

— Φαμὲν δὲ τὴν ψυχὴν ἐξ οὐσίας τινὸς οὐχ ὕλης γεγενῆσθαι ἀσώματον οὖσαν καὶ αὐτῆς ἀσωμάτου οὔσης. (αὐτόθι.)

— Ὅσων μὲν οὖν τῇ γενέσει φθορὰ ἐπακολουθεῖ, τούτοις δύο κινήσεις ἐπακολουθεῖν ἀνάγκη, τήν τε ψυχῆς, ὑφ' ἧς κινεῖται, καὶ τὴν τοῦ σώματος, ὑφ' ἧς αὔξεται καὶ φθίνει, ἔτι δὲ καὶ ἀναλυθέντος ἀναλύεται. (αὐτόθι).

— Ταύτην ὁρίζομαι τὴν κίνησιν τῶν φθαρτῶν σωμάτων, ἡ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψυχὴ ἀεικίνητος, ὅτι ἀεὶ αὐτὴ κινεῖται καὶ ἄλλοις κίνησιν ἐνεργεῖ. (αὐτόθι.)

— Κατὰ τοῦτον οὖν τὸν λόγον ἐστί ψυχὴ πᾶσα ἀθάνατος καὶ ἀεικίνητος ἔχουσα κίνησιν τὴν αὑτῆς ἐνέργειαν. (αὐτόθι.)

— Ψυχὴ τοίνυν ἐστὶν ἀΐδιος νοητικὴ οὐσία νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον, συννοοῦσα δὲ διάνοιαν τῆς ἁρμονίας ἐπισπᾶται. (αὐτόθι.)

— Τοῦτο γὰρ ἴδιον ψυχῆς τὸ παρέχειν ἑτέροις ὅμοιον τῇ ἰδιότητι αὐτῆς. (αὐτόθι.)

— Ἀριστοτέλης ἀκίνητον τὴν ψυχὴν πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ τὰ σχήματα καὶ τὰ πέρατα καὶ καθάπαξ τὰ περὶ τοῖς σώμασιν εἴδη.

— Πλάτων ἄφθαρτον καὶ ἀεικίνητον.

— Οἶμαι τοιοῦτόν τι νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα, ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δύναμιν παρέχον καὶ ἀναψῦχον, ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος, τὸ σῶμα ἀπόλλυται καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσι ψυχὴν αὐτὸ καλέσαι. (Πλάτωνος Κρατ. 399)

— Ψυχὴ πᾶσα ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον. (Πλ. Φαίδρ. 245.

— Ὃ δ' ἂν θάνατον μὴ δέχηται, τί καλοῦμεν; Ἀθάνατον, ἔφη. Οὐκοῦν ἡ ψυχὴ οὐ δέχεται θάνατον; Οὔ. Ἀθάνατον ἄρα ἡ ψυχή; Ἀθάνατον (Πλάτ. Φαίδ. 105.)

— Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ περὶ τὰ σώματα μεριστῆς οὐσίας μέσον τι, ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον, τὰ δὲ σώματα μεριστὰ μόνον, αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα μεριστά. (Πορφυρίου.)

— Ψυχὴ καταδείται πρὸς σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη τὰ ἀπ' αὐτοῦ, καὶ λύεται πάλιν διὰ τῆς ἀπ' αὐτοῦ ἀπαθείας. (αὐτόθι.

— Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους, ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς τὴν προχείρησιν ἐκκαλουμένη ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὰ εἴσω. (αὐτόθι.)

— Ἡ ψυχὴ οὐσία ἀμεγέθης ἄϋλος ἄφθαρτος, ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσῃ τὸ ζῆν κεκτημένη τὸ εἶναι. (αὐτόθι.)

— Τοῦ διψῶντος ἄρα ἡ ψυχή, καθ' ὅσον διψῇ, οὐκ ἄλλο τι βούλεται ἢ πιεῖν, καὶ τούτου ὀρέγεται καὶ ἐπὶ τοῦτο ὁρμᾷ. (Πλάτ. Πολιτεία δ'. 439).

— Καὶ γὰρ τὸ ζῆν ἀπὸ τοῦ ἀναζεῖν ὑπὸ τοῦ θερμοῦ καὶ τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὠνομάσθαι ἀποφαί-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νονται καὶ ἅμα ἐπ' ἀμφοτέρων καὶ τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν. (Ἰαμβλίχου περὶ ψυχῆς.)

— Τινὲς μὲν τῶν Ἀριστοτελικῶν αἰθέριον σῶμα τὴν ψυχὴν τίθενται· ἕτεροι δὲ τελειότητα αὐτὴν ἀφορίζονται κατ' οὐσίαν τοῦ θείου σώματος (αὐτόθι.)

— Σῶμα λυθὲν ψυχήν τε λιπὸν καὶ γαῖα γενηθὲν
οὐκ ἔτι πρὸς βιότοιο παλίνδρομον οἶδε κέλευθον,
ἀλλὰ τὸ μὲν λυθέν ἐστι κενὴ κόνις, ἡ δὲ πρὸς αἶθραν σκίδναται ὀπόθεν ἦλθε μετήορος εἰς αἰθέρ' ἁπλοῦν. (Στοβαίου Φυσικὰ κεφ. 41,46.

— Ψυχὴ δὲ ἀνθρωπίνη πᾶσα μὲν οὔ, ἡ δ' εὐσεβής, δαιμονία τίς ἐστι καὶ θεία· καὶ ἡ τοιαύτη μετὰ τὸ ἀπαλλαγῆναι τοῦ σώματος, τὸν τῆς εὐσεβείας ἀγῶνα ἀγωνισαμένη (ἀγὼν δὲ εὐσεβείας τὸ γνῶναι τὸ θεῖον καὶ μηδένα ἀνθρώπων ἀδικῆσαι) ὅλη ἰοῦς γίγνεται· ἡ δὲ ἀσεβὴς ψυχὴ μένει ἐπὶ τῆς ἰδίας οὐσίας ὑφ' ἑαυτῆς κολαζομένη. (Ἑρμοῦ πρὸς Τάτ. Πατρ. 11).

## § 2. Περὶ τῆς ψυχῆς ὅτι ἀθάνατος.

— Τῷ θείῳ ἄρα τοῦτο ἔοικεν αὐτῆς (τῆς ψυχῆς)· καί τις εἰς τοῦτο βλέπων καὶ πᾶν τὸ θεῖον γνοὺς θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα. (Πλάτ. Α'. Ἀλκιβ. 37.)

— Συγγενὴς τῷ τε θείῳ καὶ ἀθανάτῳ καὶ ἀεὶ ὄντι (ἡ ψυχή). Πλ. Πολιτεία Γ' 517.

— Ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν. (Πυθαγ. παρὰ Διογ. Λαερτ. 584.

— Ἓν ἀνδρῶν, ἓν θεῶν γένος. (Πίνδαρ. Νεμ. 5'. 1.)

— Τὸ δὲ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον, ὀρθότατα λέγοντες. (Πλάτ. Τίμαιος 90.)

— Καὶ ἀνθρώπου γε ψυχή, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρώπων, τοῦ θείου μετέχει· ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν φανερόν. (Ξεν. ἀπομν. δ', 3, 14.)

— Εἰ μὲν οὖν ἅμα τοῖς σώμασι διαλυομένοις καὶ τὸ τῆς ψυχῆς ὅ,τι δή ποτέ ἐστι διαλύεται, οὐκ οἶδα ὅπως μακαρίους ὑπολάβω τοὺς μηδὲν ἀπολαύσαντας τῆς ἀρετῆς ἀγαθόν, δι' αὐτὴν δὲ ταύτην ἀπολλυμένους. (Κοριολ. παρὰ Διονυσ. Ἀλικαρν. ζ'. 532.)

— Πρῶτοι καὶ τόν δε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπόντες, ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι, τοῦ σώματος δὲ καταφθίνοντος εἰς ἄλλο ζῷον αἰεὶ γινόμενον εἰσδύεται* (Ἡρόδ. *β'. 123.*)

— *Λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν . . . . . τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον.*

— *Ἡ ψυχὴ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα . . . . ᾤκησε τὸν αὐτῇ ἑκάστη τόπον προσήκοντα.* (*Πλάτ. Φαίδων. 108.*)

— *Ὅρα καὶ τῇδε, ὅτι, ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν.* (*Πλάτ. Φαίδων. 80.*/

## Ἡρακλείτου περὶ ψυχῆς.

*63. Ἀνθρώπους μένει ἀποθανόντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσι.* (*Κλήμ. Στρ.* IV, *21.*)

*64. Ἀρηΐφατους οἱ θεοὶ τιμῶσι καὶ ἄνθρωποι.* (*Θεοδώρ. Τομ.* IV *σελ. 913 ἔκδ.* Hal.)

*65. Μόροι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσι* (*Κλημ. Στρωμ.* IV. *7.*/

*68. Ἦθος ἀνθρώπῳ δαίμων.* (*Στοβ Ἀνθολ. 104,23.*)

*70. Ἀνὴρ ὁπόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκῃ βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων.* (*Στοβ. Ἀνθ.* V, *120* /

*72 Αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη.* (*Στοβ. Ἀνθ.* V, *120*).

*72. Αὔη γὰρ ψυχὴ ξηρή, ἀρίστη καθ' Ἡράκλειτον, ὥσπερ ἀστραπὴ νέφους, διαπταμένη τοῦ σώματος.* (*Πλούτ. Ῥωμ. κεφ. 28.*)

*79. Ψυχῆσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή.* (*Κλήμ. Στρ.* VI, *2.*)

# ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ Ἀγγέλων.

— *Οἱ δὲ ἄγγελοι δυσκίνητοι ὄντες πρὸς τὸ κακόν· ἀλλ' οὐκ ἀκίνητοι, μετὰ τὴν τοῦ Χριστοῦ ἀνάστασιν ἐγένοντο ἀκίνητοι ὅλως οὐ φύσει ἀλλὰ χάριτι εἴη ἂν αὐτοῖς σωτηρία ἡ ἀτρεψία μηκέτι φοβουμένοις τὴν ἐπὶ τὸ χεῖρον μεταβολὴν καὶ τὴν ἐκτάκτως ἀπώλειαν. Ἐντεῦθεν ἄγγελοι νῦν τὸ ἀπερίτρεπτον ἔλαβον, ἔργῳ παρὰ τοῦ Δεσπότου μαθόντες ὁδὸν σωτηρίας καὶ ὑψώσεως καὶ τῆς πρὸς αὐτὸν ὁμοιώσεως, οὐ τὴν ἔπαρσιν, ἀλλὰ τὴν ταπείνωσιν.* (*Διονυσίου Ἀρεοπαγίτου*/.

Ὥσπερ γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἐξελαύνει δυσωδία, οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἁμαρτία. (Συνεσίου.)*

*Ὡς οὐ χρὴ τῆς ἐνδεχομένης τῶν θείων γνώσεων ἀμελεῖν, καὶ τοῦτο ἡμᾶς ἔπεισεν, οὐ μόνον αἱ κατὰ φύσιν ἐφέσεις τῶν νόων ἐρωτικῶς ἀεὶ γλιχόμεναι τῆς ἐγχωρούσης τῶν ὑπερφυῶν θεωρίας, ἀλλὰ καὶ αὐτῆς τῶν θείων θεωριῶν ἡ ἀρίστη διάταξις. (α) Διονυσίου Ἀρεοπ. Κεφλ. γ'.)*

*Θεοῦ ἐπιποσὸν ἐφάψασθαι, μεγίστη μακαριότης ἐστί. (Αὐγουστῖνος)*

*Ἐπὶ γὰρ τῶν φύσει καλῶν, κἂν μὴ τοῦ παντὸς τυχεῖν δυνατὸν ᾖ, τὸ καὶ μὴ τοῦ μέρους ἀποτυχεῖν, κέρδος ἂν εἴη μέγα, τοῖς γε νοῦν ἔχουσι· πᾶσαν τοίνυν ἐπιδεικνυτέον σπουδὴν μὴ παντελῶς ἐκπεσεῖν τῆς ἐνδεχομένης τελειότητος. (Γρηγορίου Νύσσ.)*

## § 1. Περὶ τῶν ἐννέα ταγμάτων τῆς Οὐρανίου Ἱεραρχίας.

*(Κατὰ τὸν σοφὸν Διονύσιον, ὁ Γεράσιμος Βλάχος ἐν τῇ τῶν ὄντως ὁριστικῇ ἁρμονίᾳ Κεφ. Ε'.)*

*Σεραφείμ εἰσι, τὰ ἔχοντα ὑπεροχικῶς τὴν ἀγάπην.*
*Χερουβίμ, τὰ πλουτοῦντα τὴν ἄκραν σοφίαν.*
*Θρόνοι, οἱ ὑπερβαίνοντες τῇ δικαιοσύνῃ.*
*Κυριότητες, αἱ φέρουσαι τὸ αὐτοκρατορικόν.*
*Δυνάμεις, αἱ τὴν ἀνδρείαν χαριζόμεναι.*

---

(α) Ὁ θεῖος Ἱερομάρτυς Ἀναστάσιος ὁ Ἀντιοχείας διερμηνεύει τὸ ρητὸν τοῦτο τοιουτοτρόπως ἀποκρ. ογ'.

Οἱ μὲν φασίν, ὅτι ταῦτά εἰσι τὰ ἀγαθὰ (τὰ ὑπὸ τοῦ Χριστοῦ δωρηθέντα ἡμῖν, εἰς ἃ ἐπιθυμοῦσι παρακύψαι οἱ Ἄγγελοι), ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἄλλοι δὲ λέγουσιν, ὅτι τὸ μυστήριόν ἐστι τῆς θείας Μεταλήψεως· ἐμοὶ δὲ δοκεῖ, ὅτι ἐπιθυμοῦσιν οἱ Ἄγγελοι (παρακύψαι), ἵνα καὶ ἐν τῇ φύσει αὐτῶν, ὥσπερ καὶ ἐν τῇ ἡμετέρᾳ σαρκί, ἐνοικῇ κατ' οὐσίαν ὁ θεοῦ λόγος, ὁ ποιήσας αὐτήν. Ἐπιθυμοῦσι πάλιν ἵνα καὶ ἡ φύσις αὐτῶν ὑφ' ἡμῶν προσκυνῆται, καὶ δοξολογῆται καθεζομένη ἐν τῷ θρόνῳ τῷ χερουβικῷ, ἐν τοῖς κόλποις τοῦ πατρός, ὡς καὶ ἡ ἡμετέρα φύσις ἐν Χριστῷ προσκυνεῖται ὑπ' αὐτῶν, καὶ ὑπὸ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως. Ἄλλην δὲ ἐπιθυμίαν αὐτοὺς ἔχειν, δοθῆναι αὐτοῖς, τὰς κλεῖς τῆς βασιλείας τῶν Οὐρανῶν, καὶ καθεσθῆναι ἐπὶ δώδεκα θρόνους, κρίνοντες ὡς ὁ Χριστὸς ἐν ἡμέρᾳ κρίσεως, καθὼς μέλλουσι κρίνειν οἱ ἁλιεῖς· λέγω δὲ ἐγὼ ὅτι ἐπιθυμοῦσι τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ πρὸς Χριστὸν παρρησίαν τοιαύτην ἔχειν, οἵαν ἔσχεν ὁ ἀνακλιθεὶς ἐπὶ τοῦ στήθους αὐτοῦ· εἶπω σοι τί πάντων μεῖζον; εἰρήκεν ὁ Χριστός, ὅτι ὅταν ἔλθῃ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, αἱ δυνάμεις τῶν Οὐρανῶν σαλευθήσονται, τῷ φόβῳ καὶ τῷ τρόμῳ αὐτοῦ, τοὺς δὲ δικαίους ἀνακλινεῖ, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

(Ἐκ τοῦ Ἱερογραφικοῦ Ἀνθρωπίνου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ἐξουσίαι, αἱ τὴν ἐξοχὴν ἐπὶ πάντα ἐπιδεικνύμεναι.
Ἀρχαί, αἱ τὰ θαύματα ἐνεργοῦσαι.
Ἀρχάγγελοι, οἱ τὰ Εὐαγγέλια, καὶ τὰς πρεσβείας ἄγοντες.
Ἄγγελοι, οἱ τὰς λειτουργίας τελοῦντες.
Ἄλλως.
Τὰ Σεραφείμ, πρὸς τὸν θεῖον πόθον ἐκκαίουσι τοὺς ἀνθρώπους.
Τὰ Χερουβίμ, διδάσκουσι.
Οἱ Θρόνοι, κρίνουσιν.
Αἱ Κυριότητες, οἰκονομοῦσιν.
Αἱ Δυνάμεις, παρίστανται.
Αἱ Ἐξουσίαι, χαλιναγωγοῦσιν.
Αἱ Ἀρχαί, θεραπεύουσιν.
Οἱ Ἀρχάγγελοι, εὐαγγελίζονται.
Καὶ οἱ Ἄγγελοι, φυλάττουσι.
Ἄλλως.
Τὰ Σεραφείμ, τελειοῖ.
Τὰ Χερουβίμ, εἰδοποιεῖ.
Οἱ Θρόνοι, διατίθενται.
Αἱ Κυριότητες, κελεύουσι.
Αἱ Δυνάμεις, ἐνεργοῦσι
Αἱ Ἐξουσίαι διατηροῦσι
Αἱ Ἀρχαί, τὸ κοινὸν τῶν ἐθνῶν ἀγαθὸν περισκέπτονται.
Οἱ Ἀρχάγγελοι, τὰ τῆς πίστεως διοικοῦσι.
Οἱ Ἄγγελοι, τῶν καθ' ἕκαστα ἀνθρώπων τὸ χρήσιμον καθορῶσι.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

### Περὶ διαβόλου καὶ δαιμόνων.

Ἡ δύναμις τοῦ Σατανᾶ ἐπ' ὀμφαλοῦ γαστρὸς αὐτοῦ· ἔστησεν οὐρὰν αὐτοῦ ὥσπερ κυπάρισσον, τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται ὥσπερ σχοινία. (Ἰώβ μ'. 11.)

Δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται. (Δανιήλ ηι' 25).

Φθόνῳ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. (Σοφ. Σολ. β'. 24).

Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ ἐν πίστει. (Α'. Πέτρου. ε'. 8.)

Πονηρὸς ὁ διάβολος, καὶ κακίας παντοίας δημιουργός· καὶ ὥσπερ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία (Βασιλείου.)

Ἐν τῷ τῆς βασκανίας ὅπλῳ ἀπὸ καταβολῆς κόσμου μέχρι συντελείας αἰῶνος, πάντας τιτρώσκει καὶ καταβάλλει ὁ λυμεὼν τῆς ζωῆς ἡμῶν διάβολος, καὶ ὁ χαίρων τῇ ἀπωλείᾳ, ὁ καταπεσὼν διὰ τοῦ φθόνου, καὶ ἡμᾶς ἑαυτῷ διὰ τοῦ ἴσου ὅπλου καταβαλών. (τοῦ αὐτοῦ).

Ἔστη διάβολος ἐν τῷ Ἰσραήλ, καὶ ἐπέσεισε τὸν Δαυῒδ τοῦ ἀριθμῆσαι τὸν Ἰσραήλ. (Α. Πρλ. κα'.)

Ἐγεννήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαούλ, καὶ ἐλάμβανε Δαυῒδ τὴν κινύραν καὶ ἔψαλεν ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε Σαούλ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν. (Α. Βασιλ. ις'. 23.)

Ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, ἡ δὲ καρδία αὐτοῦ πέπηγεν ὥσπερ σίδηρος· τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι ; πύλας στόματος προσώπου αὐτοῦ τίς ἀνοίξει ; κύκλῳ ὀδόντων αὐτοῦ φόβος· τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαί· ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι καὶ διαρρίπτονται ἐσχάραι πυρός· ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων, ἡ ψυχὴ αὐτοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται· ἔμπροσθεν αὐτοῦ προστρέχει ἀπώλεια· ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς, πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτόν, ὥσπερ πηλὸς ἀμύθητος. (Ἰώβ. μα'. 3-32.)

Ἔδειξέ μοι ὁ Κύριος τὸν Ἰησοῦν τὸν Ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου, καὶ ὁ Διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. Καὶ εἶπε Κύριος πρὸς τὸν Διάβολον ἐπιτιμήσαι Κύριος ἐν σοί, ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. (Ζαχαρ. γ' 1)

Πῶς ἐξέπεσεν ἐκ τοῦ Οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων ; συνετρίβη εἰς τὴν γῆν, ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ Οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. Νῦν δὲ εἰς ᾅδου καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς. Οἱ ἰδόντες σε θαυμάσουσιν ἐπὶ σοί, καὶ ἐροῦσι περὶ σοῦ· οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλείας, ὁ θεὶς τὴν Οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε τοὺς ἐν ἐπαγωγῇ αὐτοῦ οὐκ ἔλυσεν εἰς τὰς οἰκίας αὐτῶν. Πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἕκαστος ἐν τῷ οἴκῳ αὐτοῦ· σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νε-

Δημόσια Κεντρική Βιβλιοθήκη Πέρασις

κρὸς ἐβδελυγμένος, μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίραις, καταβαινόντων εἰς ᾅδου. Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένου οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός· διότι τὴν γῆν μου ἀπώλεσας· καὶ τὸν λαόν μου ἀπέκτεινας, λέγει Κύριος. (Ἡσαΐου ιδ'. 12-20.)

Ἀντίστητε τῷ Διαβόλῳ καὶ φεύξεται ἀφ' ὑμῶν, οὐκ ἐξ ἰδίας αὐτοῦ προαιρέσεως, ἀλλ' ἐκ θελήματος καὶ δυνάμεως Θεοῦ. (Ἰακώβ. δ'. 7.)

Τί ἐν δαίμοσι κακόν; θυμὸς ἄλογος· ἄνους ἐπιθυμία, καὶ φαντασία προπετής. Νόες γὰρ ὄντες ποτὲ καὶ αὐτοὶ καὶ τῆς ἀϋλίας ἐκείνης καὶ λεπτότητος ἐκπεσόντες ὑλικήν τινα παχύτητα ἕκαστος κέκτηται. (Μαξίμου.)

— Αὐτὴ τοίνυν ἡ φαντασία ἡ ποικιλόμορφος ὡς ὁ μυθευόμενος Δαίδαλος καὶ πολυκέφαλος κατὰ τὴν Ὕδραν, οἷόν τις γέφυρα τῶν δαιμόνων τοῖς ἁγίοις προείρηται· δι' αὐτῆς γὰρ διερχόμενοι καὶ διαπερῶντες οἱ φόνιοι ἀλάστορες κοινωνοῦσί πως καὶ συμμίγνυσθαι τῇ ψυχῇ, σύμβολον κηφήνων ταύτην ἀπεργαζόμενοι, καὶ ἐννοιῶν ἀκάρπων καὶ ἐμπαθῶν οἰκητήριον (Κάλλιστος.)

— Εἴδωλον ἔστη πεῖραν ἐκπεφεύγαμεν, ὡς διὰ γεφύρας τῇ ψυχῇ οἱ δαίμονες ἔρχονται. (Γρηγ. Θεολόγ.)

— Δεῖ μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι· γέγραπται γὰρ ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον εἰς τὴν καρδίαν σου μὴ ἀφῇς. Ἡ γὰρ πρὸς ταῦτα συγκατάθεσις ἐφάμιλλός ἐστι τῇ πορνείᾳ.

— Ὁ τὰς ἐμπαθεῖς νικῶν φαντασίας καὶ τῶν πραγμάτων ὧν αἱ φαντασίαι καταφρονεῖ. (Μάξιμος.)

— Τόπος ἅγιος καὶ ναὸς Θεοῦ ὁ νοῦς ὑπάρχει τοῦ ἀνθρώπου· ἐν ᾧ οἱ δαίμονες διὰ τῶν ἐμπαθῶν λογισμῶν τὴν ψυχὴν ἐρημώσαντες, τὸ εἴδωλον τῆς ἁμαρτίας ἔστησαν. (Μάξιμος.)

— Πρὸ μὲν τοῦ βαπτίσματος ἔξωθεν ἡ χάρις πρὸς τὰ καλὰ προτρέπεται τὴν ψυχήν, ὁ δὲ Σατανᾶς ἐν τοῖς αὐτοῖς ἐμφωλεύει βάθεσιν· ἀπὸ δὲ τῆς ὥρας, ἐν ᾗ περ ἀναγεννώμεθα, ἔξωθεν μὲν ὁ Δαίμων γίνεται, ἔσωθεν δὲ ἡ χάρις. (Μακάριος).

— Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται διὰ τῶν ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν καὶ οὐχ εὑρίσκει καὶ λέγει· ἐπιστρέψω εἰς τὸν οἰκόν μου, ὅθεν ἐξῆλθον, καὶ ἐλθὼν εὑρίσκει σχολάζοντα καὶ σεσαρωμένον καὶ κεκοσμημένον· τότε πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα, πονηρότερα ἑαυτοῦ καὶ εἰσελθόντα, κατοικεῖ ἐκεῖ καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. (Ματθαίου.)

— Τρεῖς ἡμῶν βοθύνους οἱ δαίμονες ὀρύσσουσι, καὶ πρῶτον μὲν παλαίοισιν ἵνα τὸ ἀγαθὸν κωλύσωσι γενέσθαι· δεύτερον δὲ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τὴν πρώτην αὐτῶν ἦτταν, ἵνα μὴ κατὰ Θεὸν τοῦτο γένηται· ὅταν δὲ καὶ τούτου οἱ κλέπται τοῦ σκοποῦ ἀποτύχωσι, τότε λοιπὸν ἡσύχως ἐπιστάντες ἐν τῇ ἡμετέρᾳ ψυχῇ μακαρίζουσιν ἡμᾶς ὡς κατὰ Θεὸν πολιτευομένους. (Ἰωάν. Κλίμακ. περὶ κατακρίσεως.)

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### Περὶ ἀνθρώπου.

— *Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο*
*πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει*
*οὐ μὲν γὰρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω.*
*ὅφρ' ἀρετὴν παρέχωσι θεοὶ μάκαρες ὀρώρῃ·*
*ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,*
*καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.* (Ὅμ. Ὀδύσ. ιή. 129)

— *Εἰδέναι ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον ; δοκέω μὲν οὐδαμῶς.* (Ἡροδ. ξ. 50).

— *Οἱ ἄνθρωποι γεγόνασιν ἕνεκεν ἀλλήλων. — Πρὸς κοινωνίαν γεγόναμεν.* (Ἀντωνῖνος η'. 24, 59. ε'. 16.)

— *Μέρη εἰσὶν αἱ ὑμέτεραι φύσεις τῆς τοῦ ὅλου.* (Διογ. Λαερτ. ζ'. 1. 87.

— *Κήδεσθαι πάντων ἀνθρώπων κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν.* (Μ. Ἀντωνῖνος γ', 4.

### § 1. Ὅτι ἐπλάσθη καθ' ὁμοίωσιν Θεοῦ.

*Εἰκὼν μὲν γὰρ Θεοῦ λόγος θεῖος καὶ βασιλικός. ἄνθρωπος ἀπαθής, εἰκὼν δὲ εἰκόνος ἀνθρώπινος νοῦς. Ἑτέρῳ δ' εἰ βούλει παραλαβεῖν ὀνόματι τὴν ἐξομοίωσιν, εὕροις ἂν παρὰ τῷ Μωϋσεῖ τὴν ἀκολουθίαν ὀνομαζομένην θείαν· φησὶ γάρ, «Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν, πορεύσεσθε, καὶ αὐτὸν φοβηθήσεσθε καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε.* (Δευτ. ιγ'. 4). *Ἀκόλουθοι δ' οἱμαι καὶ θεραπευταὶ Θεοῦ πάντες οἱ ἐνάρετοι* (Κλήμεν. Ἀλεξ.)

— *Εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι Θεῷ.* (Πλάτ. πολιτ. ι' 613).

— *Πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι.* (Πλατ. Θεαίτητ. 176.)

— *Τὸ ἕπεσθαι Θεῷ ὁμοιοῦσθαί ἐστι Θεῷ.* (Πλουτ.)

— *Τέλος ἐστί τὸ ἕπεσθαι θεοῖς.* (Ἐπικτητ. βιβλ. α. λογ. 20.)

— *Τελευταῖόν ἐστι τὸ ἕπεσθαι τῷ λόγῳ καὶ τῷ Θεῷ.* (Ἀντωνίου ιβ' 31.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— .... εἰς θεοκρασίαν τινὰ καὶ τὴν πρὸς τὸν Θεὸν ἕνωσιν. (*Βίος Πυθαγ.* 33.)

— Ζηλοῦν τοὺς θεοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἀΐδιον. (*Πλουτ. Ἀριστ.* 6).

## ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

### Περὶ ζωῆς καὶ θανάτου.

— Βίος οὐκ ἐκ λόγων ἀλλ' ἐξ ἔργων γνωρίζεται. (*Κλήμ. Ἀλεξ. η'. 1145*).

— «Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος, οἷου ἂν θέλῃ ὁ διδάσκαλος, ἂν βραχύ, βραχέος, ἂν μακρὸν μακροῦ· ἂν πτωχὸν ὑποκρίνεσθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γὰρ τοῦτό ἐστι τὸ δοθὲν ὑποκρίνεσθαι πρόσωπον καλῶς» (*Ἐπικτήτου παρὰ Κλήμεν. Ἀλεξ. Θ'.488—496*).

— Ἐπιχάρμου εἰπόντος,
«Ὡς πολὺν ζήσων χρόνον χὡς ὀλίγον οὕτω διανοοῦ.»
Εὐριπίδης γράφει·
»Τί δήποτ' ὄλβῳ με σαφῶς βεβηκότες
Οὐ ζῶμεν ὡς ἥδιστα, μὴ λυπούμενοι.,
Εὐμετάβολός ἐστιν ἀνθρώπων βίος.
Οὐδεὶς ἀλύπως τὸν βίον διήγαγεν
Ἄνθρωπος ὤν· οὐδ' ἄχρι τοῦ τέλους πάλιν.
Ἔμεινεν ἀτυχῶν.»
»Αὖθις Εὐριπίδου εἰπόντος,
Ὦ πολύμοχθε βιοτὰ θνητοῖς,
Ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι
Καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις·
Καὶ οὐκ ἔστιν ὅρος κείμενος, οὐδ
Εἷς, ὃν τινα χρὴ τελέσαι θνητοῖς.
Πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν,
Θανάτου πεμφθεῖσα τελευτή»
Δίφιλος γράφει·
«Οὐκ ἔστι βίοτος, ὃς οὐ κέκτηται κακά,
Λύπας, μερίμνας, ἁρπαγάς, στρέβλας νόσους.
Τούτων ὁ θάνατος, καθάπερ ἰατρός, φανείς,
Ἀνέπαυσε τοὺς ἔχοντας ἀναπαύλης ὕπνῳ.
Ἔτι τοῦ Εὐριπίδου εἰπόντος·
Πολλαὶ μορφαὶ τῶν δαιμονίων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·*
*Μοσχίων ὁ κωμικὸς γράφει·*
*Ἐκεῖνος δ' ἁπάντων ἐστὶ μακαριώτατος,*
*Ὃς διὰ τέλους ζῶν ὁμαλὸν ἤσκησε βίον.*
*(Παρὰ Κλήμ. Ἀλεξ. Θ'. 225—228).*

— *Ὁ βίος τῶν ἀνθρώπων βραχὺς καὶ ὀλιγοχρόνιος, τῆς ἐπιμόχθου ζωῆς ἡ φαιδρότης ἰστὸς ἀράχνης, εὐδιάλυτος ἡ δόξα, ἡ φαντασία τοῦ βίου ὄναρ αἱ ἡδοναὶ τὸ στερρὸν ὑπεκλύουσιν, αἱ τρυφαὶ τὸ ἀνδρεῖον μεταλλάττουσι (γρ. μαλάττουσιν), αἱ ἀθυμίαι τὸν τόνον ἐκνευρίζουσιν, αἱ συκοφαντίαι τὰς ὕβρεις καταχέουσιν, αἱ κολακεῖαι τὰς ἐπιβουλὰς προφυλάττουσιν, οἱ φόβοι εἰς ἀπόγνωσιν σκελίζουσι (ὀλισθαίνειν ποιοῦσι). Καὶ ἐν τοιαύτῃ ζάλῃ χειμάζεται ἀπαύστως ἡ φύσις* (*Μ. Βασιλ. λα'. 1713—1722*).

*Πέρας μὲν ἅπασιν ἀνθρώποις τοῦ βίου ὁ θάνατος, δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἅπασιν ἀεὶ τοῖς καλοῖς ἐγχειρεῖν τῶν ἀγαθῶν προβαλλομένους ἐλπίδας, φέρειν δέ, ὅ,τι ἂν ὁ θεὸς διδῷ, γενναίως.* (*Δημοσθ. περὶ τοῦ στεφ.*)

— *Συνεκρίθη καὶ διεκρίθη καὶ ἀπῆλθεν ὅθεν ἦλθε πάλιν, γᾶ μὲν εἰς γᾶν, πνεῦμα δὲ ἄνω.* (*Ἐπίχαρμ. παρὰ Πλουτάρχ.*)

— *Πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται* (*Εὐριπίδ. Ἄλκ. 433*).

— *Οὐ γὰρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν* (*Ὁμ. Ἰλ ξ'. 52*).

— *Ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονεν, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐὼν* (*Ἡρόδ. ζ' 46*).

— *Ἀλλὰ θανεῖν με ξυντυχία κρείσσων ἐκύρησεν.* (*Εὐριπ. Ἑβ. 212*).

— *Τὸ θάνατον δεδιέναι οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα* (*Πλάτ. Ἀπολ. 29*).

— *Κινδυνεύουσιν ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λελῆθέναι τοὺς ἄλλους, ὅτ. . . . οὐδὲν ἄλλο ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι* (*Πλάτ. Φαίδ. 64*).

— *Διογένης πρὸς τὸν εἰπόντα· οὐδέν σοι μέλει τῆς πατρίδος· εὐφήμει, ἔφη· ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν.* (*Διογ. Λαερτ. β', 3, 2.*)

— *Μεταβολή τις τοῦ τόπου καὶ μετοίκησις ἐνθένδε εἰς ἄλλον τόπον* (*ὁ θάνατος*). (*Πλάτ. ἀπολογ.*)

— *Τὸ παιδίον ἀπέθανεν· ἀπεδόθη· ἡ γυνὴ ἀπέθανεν· ἀπεδόθη... ὁ δοὺς ἀπήτησεν* (*Ἐπικτ. ἐγχειρ. 11*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖ ἀφικόμενος μετὰ θεῶν οἰκήσει (Πλάτ. Φαίδων 80).

— Ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς (Σεφοκλ. Αἴας 1344).

— Πάτροκλον κλαίωμεν. ὅ γὰρ γέρας ἐστὶ θανόντων. (Ὅμ. Ἰλ. κγ'. 9).

— Κρεῖττον λιμῷ ἀποθανεῖν ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον (Ἐπικτ. ἐγχειρ. 12).

— Δεῖ τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι πράξεων ἀλλὰ πρᾶξιν (Πλουτάρχ. Κλεομ. 31).

— Οὗ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν (Ὅμ. Ἰλ. XV, 496).

Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; (Ψαλ. 88, 47).

Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν. (Παροιμ. 24, 27).

«Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός, ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἦκει, καὶ οὐδὲν οὐ λήψεται ἐν μόχθῳ αὐτοῦ, ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ· καί γε τοῦτο πονηρὰ ἀρρωστία· ὥσπερ γὰρ παρεγενετο, οὕτω καὶ ἀπελεύσεται. Καὶ τίς ἡ περίσσεια αὐτοῦ ᾗ μοχθεῖ εἰς ἄνεμον; Καί γε πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἐν ὀκότει, καὶ ἐν πένθει, καὶ ἐν ποροξυσμῷ, καὶ θυμῷ πολλῷ, καὶ ἀρρωστίᾳ καὶ χόλῳ» (Ἐκκλ. Ε. 14)

«Πατέρες ἡμῶν καὶ οἱ προφῆται ποῦ εἰσι; μὴ εἰς τὸν αἰῶνα ζήσονται;»

«Μια πάντων εἴσοδος εἰς τὸν κόσμον, ἔξοδός τε ἴση» (Σοφ. Σολ. 7. 6).

«Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμαρτήσῃς»

«Μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ, καὶ διαθήκη ᾅδου οὐκ ἀπεκαλύφθη σοι.»

«Μνήσθητι τὰ ἔσχατά σου, καὶ παῦσαι ἐχθραίνων.» (Σειρὰχ 28. 6).

«Μὴ εὐλαβοῦ κρῖμα θανάτου. Μνήσθητι προτέρων σου καὶ ἐσχάτων· τοῦτο κρῖμα παρὰ Κυρίου πάσῃ σαρκί· καὶ τί ὑπεναίνῃ ἐν εὐδοκίᾳ Ὑψίστου; Εἴτε δέκα, εἴτε ἑκατόν, εἴτε χίλια ἔτη· οὐκ ἔστιν ἐν ᾅδῃ ἔλεγμὸς ζωῆς.» (Σειρὰχ 41. 7).

«Ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ. (Σειράχ. 11. 27).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

«Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.» (Ματθ. κδ'. 42).

«Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι. Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι. Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.» (Λουκ. ιβ'. 35—40).

Μὴ δείς σε ἐξαπατάτω κενοῖς λόγοις. Ἐπιστήσεται, γάρ σοι αἰφνίδιος ὄλεθρος καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται, ἡνίκα ἂν ἐκλείπωσιν αἱ τοῦ ζῆν ἀφορμαί· ἀπορία δὲ πάντοθεν καὶ θλῖψις ἀπαραμύθητος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων, ὅτε τῷ πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμήχοντος, καὶ στενάξεις μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις καὶ φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανές, ὁ δὲ ἀκούων οὐκ ἔσται· πᾶν δὲ τὸ λαλούμενον παρὰ σοῦ, ὡς παραφροσύνη καταφρονήσεται. Ἴσως καὶ ἰατρὸς ὑπισχνεῖται ὥρας, καὶ σεαυτὸν οὐκ ἀπογινώσκεις διὰ τὸ φύσει φιλόζωον· ὁ δὲ θάνατος παρέστηκεν· οἱ ἀπάγοντες κατεπείγουσιν. Τίς ὁ ἐξαιρούμενος; Θεὸς ὁ καταφρονηθείς; Ἀλλ' εἰσακούσεται τότε; σὺ γὰρ αὐτοῦ νῦν οὐκ εἰσακούεις. Προθεσμίαν δώσει; καλῶς γὰρ ἐχρήσω τῇ δεδομένῃ;

Νὺξ βαθεῖα, καὶ νόσος βαρεῖα, καὶ ὁ βοηθῶν οὐδαμοῦ· ὁ ἐφεδρεύων τῷ κλήρῳ ἕτοιμος, πάντα πρὸς τὸ αὐτοῦ χρήσιμον διοικούμενος Ἄπρακτος ὁ ποιῶν τὰ βουλεύματα. Εἶτα περιβλεψάμενος ὧδε καὶ ὧδε, καὶ ἰδὼν τὴν περιεστῶσάν σε ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας· τότε στενάξεις τὴν ἄνοιαν, εἰς οἷον καιρὸν ἐταμεύσω τὴν ἐντολήν· ὅτε ἡ μὲν γλῶσσα παρεῖται, ἡ δὲ χεὶρ ὑπότρομος, κλονουμένη ταῖς συνολκαῖς, ὡς μήτε φωνῇ, μήτε γράμματι σημᾶναι τὴν γνώμην.

Διδάσκει ἡμᾶς ὁ Κύριος, μὴ καταμελεῖν τῶν ἀναγκαίων, ἀλλὰ πρὸ καιροῦ παρεσκευασμένους τῆς ζωῆς τὰ ἐφόδια, ἐν τῇ ἑτοιμασίᾳ τῆς καρδίας ἀναμένειν τοῦ νυμφίου τὴν παρουσίαν. Αἱ φρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νιμοι γάρ, φησί, παρθένοι, διὰ τὸ ἔχειν ἐν ταῖς λαμπάσι τὸ ἔλαιον, συνεισῆλθον τῷ νυμφίῳ· αἱ δὲ μωραί, διὰ τὸ ἀνέτοιμον αὐτῶν, τῆς χαρᾶς τοῦ νυμφῶνος ἠλλοτριώθησαν.

Οὐ φιλοπονεῖς περὶ σεαυτόν, ἄνθρωπε; Οὐκ ἐν τῷ παρόντι αἰῶνι προαποτίθεσαι τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας, ὃς ἐν τῷ θέρει τὴν χειμερινὴν τροφὴν ἑαυτῷ θησαυρίζει· καὶ οὐχ εἰ μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρά, διὰ ῥᾳθυμίαν παραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινι ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπόθηται τοῖς ταμείοις;

Μακαρία ψυχή, ἡ νυκτὸς καὶ ἡμέρας μηδεμίαν ἄλλην μέριμναν στρέφουσα, ἢ πῶς ἐπὶ τῆς μεγάλης ἡμέρας, καθ' ἣν πᾶσα ἡ κτίσις περιστήσεται τῷ κριτῇ, τὰς εὐθύνας τῶν πεπραγμένων ἀποδιδοῦσα. Ὁ γὰρ ἐκείνην τὴν ἡμέραν καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος, καὶ ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου κριτηρίου ἀπολογίαν, ὁ τοιοῦτος, ἢ οὐδέν, ἢ παντελῶς ἐλάχιστα ἁμαρτήσεται, διότι τὸ ἁμαρτάνειν ἡμῖν κατὰ ἀπουσίαν τοῦ θείου φόβου γίνεται. Ὃ δ' ἂν ἐναργὴς παρῇ τῶν ἀπαιτουμένων ἡ προσδοκία, οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις ὁ σύνοικος φόβος εἰς ἀβουλήτους πράξεις ἢ ἐνθυμήσεις ἐκπίπτειν.

Ἀνόνητα μεταγινώσκει τις ἐπὶ ταῖς τελευταίαις ἀναπνοαῖς, ἡνίκα εὐγνώμων τῶν ἑαυτοῦ κριτὴς διὰ τὸ ἐκεῖ δικαστήριον.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα, καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐντεῦθεν ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μέλλοντος αὐτῇ καλοῦ γενομένη, ὅτε τοῦ ἐπισκοτοῦντος ἀποκαθαρθέντος, ἢ οὐκ οἶδα ὅ τι καὶ λέγειν χρὴ, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ ἡδέως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφεύγουσα καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα (Γρηγ. τοῦ Θεολόγ.)

Ἐκδέξαι τὴν διάλυσιν, ὥσπερ προθεσμίαν ἀναγκαίας ἐλευθερίας, καὶ τοῦ ἡδέως πρὸς τὰ ἕξῆς μεταβήσεσθαι, ἔνθα οὐκ ἔστιν ἄωρος, οὐδὲ πρεσβύτης, ἀλλὰ πάντες τὴν πνευματικὴν ἡλικίαν τέλειοι.

Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν·
Καιρὸς δὲ δὴ μάλιστα τοῦ βίου λύσις.
Τὸ γῆρας ἦλθεν, ἔξοδον κήρυξ βοᾷ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέμιας

*Πᾶς εὐτρεπίζου· πλησίον γὰρ ἡ κρίσις.*
*Βίου κέρδος, ἐκβιοῦν καθ' ἡμέραν.* (*Γρηγ. Θεολόγ.*)

*Τίς οὐκ οἶδε τὸ αἴνιγμα τῆς θείας Γραφῆς τῆς λεγούσης, διὰ θυρίδος εἰσεληλυθέναι τὸν θάνατον; Τὰς γὰς αἰσθήσεις, δι' ὧν ἐκκαλύπτουσα ἡ ψυχὴ πρὸς τὰ ἔξω πράγματα, τῶν κατὰ γνώμην ἀντιλαμβάνεται, θυρίδας ἡ Γραφὴ προσηγόρευσεν· ἃς ὁδοποιεῖν τῷ θανάτῳ τὴν εἴσοδον ὁ λόγος φησίν.*

*Ἑτοιμάζου πρὸς τὰ λυπηρά, καὶ κερδανεῖς τὰ πλείονα.*

*Ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν θάνατον· ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόλις οὕτως ἐστὶν ἀρχή.*

(*Ἐκ τῶν τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ*).

*«Ὅταν προσεγγίσῃς τῇ στρωμνῇ σου, εἰπὲ αὐτῇ· ὦ στρωμνή, ἴσως ἐν τῇ νυκτὶ ταύτῃ τάφος μοι γένῃ, καὶ οὐ γινώσκω, μήπως ἀντὶ τοῦ προσκαίρου ὕπνου, ἐκεῖνος ὁ αἰώνιος ὁ μέλλων εἰσέλθῃ ἐν ἐμοὶ ἐν ταύτῃ τῇ νυκτί. Ἐν ὅσῳ οὖν ἔχεις πόδας, δράμε ὀπίσω τῆς ἐργασίας, πρὸ τοῦ δεσμευθῆναι ἐν ἐκείνῳ τῷ δεσμῷ, τῷ μὴ ἐνδεχομένῳ πάλιν λυθῆναι· ἐν ὅσῳ ἔχεις δακτύλους, σταύρωσον σεαυτὸν ἐν προσευχῇ, πρὸ τοῦ ἐλθεῖν τὸν θάνατον· ἐν ὅσῳ ἔχεις ὀφθαλμούς, πλήρωσον αὐτοὺς δακρύων, πρὸ τοῦ σκεπασθῆναι αὐτοὺς ὑπὸ τοῦ κονιορτοῦ· καθάπερ γὰρ τὸ ῥόδον, τὸ ὑπὸ ἀνέμου ἐμπνεόμενον καὶ μαραινόμενον, οὕτως ἔσωθέν σου ἓν τῶν στοιχείων τῶν ἐν σοί, καὶ ἀποθνήσκεις· θοῦ ἐν τῇ καρδίᾳ σου τοῦ ἀπελθεῖν, ὦ ἄνθρωπε, ἐν τῷ λέγειν σε ἀεί, ἴδε ἔφθασε τὴν θύραν ὁ ἀπόστολος, ὁ ἐρχόμενος ὀπίσω μου· τί κάθημαι; ἀποδημία ἐστὶν αἰώνιος, μὴ ἔχουσα πάλιν ἐπάνοδον.»*

(*Ἐκ τῶν τοῦ Ἰσαὰκ τοῦ Σύρου· ἐκ τοῦ περιοδ. ὁ «Σωτήρ»*.)

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

### Περὶ αὐτοχειρίας.

— *Ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων, οὐκ ἐγκλημάτων, ἀλλὰ καὶ στεφάνων ἄξιος· οὕτω καὶ ὁ βιαίῳ θανάτῳ καὶ δι' ἀγχόνης ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν ἐγκληματίας ἐστὶ καὶ βδελυρός. Νῦν δὲ καὶ ὁ Θεὸς τοὺς τοιούτοπς κολάζει τῶν ἀνδροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα καὶ εἰκότως. Εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλόν, πολλῷ μᾶλλον ἑαυτόν.* (*Χρυσ. ξα'. 618 619*).

— *Εἰ ἐπ' ἀνδρὸς καὶ γυναικός, δυοῖν ὄντοιν, λέλεκται, «Ἃ ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω» ὁ τὴν ψυχὴν βιαίως τοῦ σώματος χωρίζων καὶ ἡ ἀγχόνη ἑαυτὸν παραδιδούς, ἢ σφαγῇ, πῶς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συγγνωσθήσεται ; Τοὺς τοιούτους γοῦν καὶ ἐπαράτους καὶ ἀτίμους καὶ μετὰ θάνατον οἱ παλαιοὶ ἡγοῦντο· καὶ τὴν χεῖρα ἀποκόψαντες τοῦ ἑαυτὸν χειρωσαμένου, ἔξω που τοῦ ἄλλου σώματος καὶ μακρὰν ἔθαπτον οὐχ ὅσιον εἶναι νομίζοντες, τὴν διακονησαμένην τῷ φόνῳ τῷ λοιπῷ σώματι συνοσιοῦν. Εἰ δὲ χεὶρ παρὰ ἀνθρώποις δίκην καὶ μετὰ θάνατον ἀπῃτήθη, ἡ ψυχὴ ἡ καὶ τὴν χεῖρα παρορμήσασα ποίας τεύξεται συγγνώμης ; (Ἰσίδ. Πηλουσ. υη'. 1504).

— Καὶ γὰρ ἂν εἴη δεινόν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ τὰ ἀγνώμονα, ἐάν τινα ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἂν τις αὐτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, Δημοσθένην δέ . . . (Αἰσχίν. κατὰ Κτησ.)

— Οὐδὲ γὰρ μὴ προσταττόμενον χρή τινα ἑαυτὸν ὑπεξάγειν, ἀλλὰ προσμένειν ἢ τὸν αὐτόματον, ἢ τὸν βίαιον θάνατον . . . (Θεοδωρ. πγ. 1177—7180.

— Οὔτε γὰρ αὐτὸς συγχωρήσοιτο Πλάτων, ἐν τῷ Φαίδωνι διδάσκων, ὡς οὐδεῖ ἀναπίμπλασθαι τῆς τοῦ σώματος φύσεως ἀλλὰ καθαρεύειν ἀπ' αὐτοῦ, ἕως ἂν αὐτὸς ὁ Θεὸς ἀπολύσῃ ἡμᾶς. Ὅς καὶ ἐν ὅλῃ τῇ συνουσίᾳ τὸ μὴ δεῖν ἐξάγειν ἑαυτὸν διὰ Σωκράτους ἐφιλοσόφησε, μήτε φεύγειν τὸν δεσμώτην ἐκ τοῦ δεσμωτηρίου, ἀλλὰ ἀναμένειν τὸν συνδέσαντα ἵνα καὶ λύσῃ (Ἡλιοδωρ. παρὰ Ζαχ. Μυτιλ. πε'. 1044—1048.)

— Ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι, καὶ οὐδεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν ᾠήθη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐδεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν. (Πλάτων Φαίδ.)

— Ἵνα μή τις εὐαγὲς ὑπολάβῃ τὸ βίᾳ τινὶ καὶ ἀνάγκῃ ἑαυτὸν ἐντεῦθεν ἐξαγαγεῖν (Πλάτων παρὰ Θεοδωρήτῳ πγ'. 1024).

— Τὸ θεήλατον τοῦ κακοῦ μὴ φέρων, ἐμαυτὸν μὲν οὐκ ἐξάγω τοῦ βίου τοῖς θεολογοῦσιν ὡς ἀθέμιτον τὸ πρᾶγμα πειθόμενος· ὑπεράνω δὲ τῆς ἐνεγκούσης, καὶ τὴν ἐρημίαν τῆς οἰκίας ἀποδιδράσκω. (Ἡλιόδωρ. παρὰ Ζαχ. Μιτυλ. πε'. 1045 σημ).

— Μὴ ἐξάξῃς (τὴν ψυχὴν) ἵνα μὴ ἐξίῃ ἔχουσά τι. Ζωροάστρης. Μὴ ἐξάξῃς, φησί, τουτέστι μὴ προανέλῃς σαυτὸν τοῦ φυσικοῦ θανάτου κἂν πάνυ πεφιλοσόφηκας· οὔπω γὰρ τῆς τελειοτάτης καθάρσεως ἔτυχες· ἔνθεν καὶ ἀφιπταμένη ἡ ψυχὴ τοῦ σώματος διὰ τῆς τοιαύτης ἐξαγωγῆς, ἔχουσά τι τῆς θνητοειδοῦς ζωῆς ἐξεισιν. Εἰ γὰρ καὶ ὡς ἐν φρουρᾷ τῷ σώματί ἐσμεν οἱ ἄνθρωποι, ὥσπερ δὴ καὶ Πλάτων εἰρήκει ἐν ἀπορρήτοις λόγοις ἄνωθεν τὴν γλῶσσαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεμαθηκώς, ἀλλ' οὐ δεῖ ἑαυτὸν ἀποκτεῖναί τινα, πρὶν ἀνάγκην ὁ Θεὸς ἐπιπέμψῃ. Καὶ κρείττων ἡ ἐξήγησις αὕτη τῆς προτέρας, καὶ τῷ χριστιανικῷ λόγῳ συμβαίνουσα. (Μιχ. Ψελλὸς ρκβ'. 1128).

— Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος; Ἀπόκρισις. Διακρῖναι ὀφείλει ὁ κληρικὸς εἰ τὸ ἀληθὲς ἐκφρενὴς ὢν πεποίηκε τοῦτο. Πολλάκις γὰρ οἱ δημογέροντες τῷ πεπονθότι θέλοντες ἐπιτυχεῖν τῆς προσφορᾶς τῆς ὑπὲρ αὐτοῦ, ψεύδονται, καὶ λέγουσιν, ὅτι οὐκ εἶχεν ἑαυτόν. Ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποίηκε τοῦτο, καὶ οὐ χρὴ προσφορὰν ἐπάνω αὐτοῦ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστι. Δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ ἀκριβείας ἀνερευνῆσαι, ἵνα μὴ ὑπὸ κρίματι πέσῃ (Καν. Τιμοθέου, ΙΔ' παρὰ Φωτίῳ. ρδ'. 673.

— Ὁ πολιτικὸς νόμος τὸν ἑαυτὸν ἀνελόντα, ἢ ἀνελεῖν ἐπιχειρήσαντα διὰ φόβον ἐγκλήματος, οὐ μὴν διὰ νόσον ἢ μῖσος τῆς ζωῆς, τιμωρεῖται, ὡς τὸν ἕτερον ἀνελόντα, καὶ δημεύει τὴν οὐσίαν αὐτοῦ. (Φώτιος αὐτοθ. 613).

— Κάτων ὁ πρεσβύτερος πρός τινας ἐπαινοῦντας ἄνθρωπον ἀλογίστως παράβολον καὶ τολμηρὸν ἐν τοῖς πολεμικοῖς διαφέρειν ἔφη τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν καὶ τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν. — Οὔτε γὰρ φυγὴ θανάτου μεμπτόν, ἂν ὀρέγηταί τις τοῦ βίου αἰσχρῶς, οὔτε ὑπομονὴ καλόν, εἰ μετ' ὀλιγωρίας γίνοιτο τοῦ ζῆν. — Τοῦ μὴ παθεῖν κακῶς πρότερον ἢ τοῦ ποιῆσαι τοὺς πολεμίους ἑκάστῳ μέλειν προσήκει, μάλιστα ἄρχοντι πόλεως ἢ στρατεύματος (Πλουτάρχ.

— Τὸ δὲ ἀποθνήσκειν φεύγοντα πενίαν, ἢ ἔρωτα, ἤ τι λυπηρόν, οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα· καὶ οὐχ ὅτι καλὸν ὑπομένει, ἀλλὰ φεύγει κακόν. — Φαῦλοι βροτῶν γὰρ οὐ πονεῖν δυνάμενοι θανεῖν ἐρῶσι. (Ἀριστοτέλους).

## ΚΕΦΑΛΑΙΟΝ Η'.

### Περὶ μελλούσης ζωῆς καὶ ὑπακοῆς εἰς τὰ θεῖα προστάγματα.

Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν. Πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμέλιωτο γὰρ ἐπὶ τὴν πέτραν· ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν εἰς γῆν χωρὶς θεμελίων· ᾗ προσέρραξεν ὁ ποταμός, καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα. Ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας πρὸς τὸ θέλημα Αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. (Λουκᾶς ιβ'. 47.)

Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστι ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. (Ἰωάν. ιδ'. 21). Ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (Ἰωάννου ε'. 24).

Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. (Παῦλος Φιλιπ. γ'. 29).

Μακάριος ἄνθρωπος ὃς οὐ παρέβη ἐντολήν· οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. (Σημ. τοῦ Μεταφραστοῦ.)

Ὁ γὰρ τοιοῦτος ἐν τῷ νόμῳ Κυρίου μελετήσει ἡμέρας καὶ νυκτός, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· καὶ καρποφορήσει ἐν καιρῷ αὐτοῦ. Μακάριος οὖν ὅστις τηρήσει ἐντολήν, ὅτι θάνατον οὐ γεύσεται ἀλλὰ μεταβήσεται ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (Τοῦ αὐτοῦ)

Πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς ἢ ὡς αὐτοὶ κελεύουσιν οὕτω ποιῶν ; (Σωκράτους).

Οὐ γὰρ νομοθετήσοντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων θεῶν, καὶ τοῖς τῆς εἱμαρμένης καὶ Προνοίας θεσμοῖς.

Πολλάκις ἄνθρωποι ἁμαρτωλοὶ ἀπολαύουσι πάντων ..... τῶν ἀγαθῶν ἐπὶ τῆς γῆς, καὶ κέκτηνται νέα διὰ νέων ἀδικιῶν, ἐν ᾧ οἱ εὐσεβῶς ζῆν ἐπιθυμοῦντες ὑποφέρουσι διωγμοὺς καὶ παντοίας δυστυχίας, εἰ καὶ αἱ πράξεις αὐτῶν φαίνονται ἄξιαι μεγάλων ἀμοιβῶν. Δυνάμεθα ὑπακούοντες εἰς τὸν ὀρθὸν λόγον, καὶ εἰς τὰς ὑγιεῖς περὶ τοῦ Θεοῦ ἰδέας ἡμῶν ἐμμένοντες νὰ πιστεύσωμεν ὅτι δὲν θέλει ὑπάρξει ἄλλη ζωή, ἐν ᾗ ὁ οὐράνιος κριτὴς οὕτινος ἄπειρος ἡ δικαιοσύνη θέλει ἀνταμείψει ἕκαστον κατὰ τὰ ἔργα αὐτοῦ ;

Τὸ πάντων παραδοξότατον φαινόμενον εἶναι, ὅτι ὁ ἐναρετώτερος πάσχει καὶ ἀποθνήσκει παρεγνωρισμένος καὶ ἄνευ ἀμοιβῆς. Ἐκ τούτου ἕπεται ἀναγκαίως, ὅτι ὑπάρχει ἄλλο τι βασίλειον, ὑψηλότερός τις φωτισμὸς ἐν τῷ μεγάλῳ τοῦ παντὸς συστήματι κείμενος, ἠθική τις τάξις, ἥτις θέτει τὸν κόσμον τοῦτον εἰς σύνδε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σμον μετ' ἄλλου τινος. Ἄνευ τούτου, τὸ σχέδιον τοῦ Αἰωνίου ἀπέτυχεν ἀπὸ τῆς πρώτης τῆς δημιουργίας ἡμέρας.

Ὁ ἐπιθυμῶν ἀνάπαυσιν ἂς ἑνώσῃ τὸν χρόνον μὲ τὴν αἰωνιότητα. Μόνον πέραν τοῦ κόσμου τούτου εὑρίσκεται ὁ μέγας τοῦ ἀνθρώπου σκοπός.

Ὑπάρχουσι σπουδαῖαί τινες στιγμαὶ διὰ τὸν ἄνθρωπον, καὶ αὗται εἰσὶ τὰ ἥρεμα ἐκεῖνα βλέμματα, ἅπερ ἐκ τοῦ κόσμου ρίπτει τις εἰς ἑαυτόν, καὶ ἀφ' ἑαυτοῦ εἰς τὴν ἄπειρον αἰωνιότητα.

Κλαίει τὸ γεννώμενον παιδίον· διότι τὴν κοιλίαν τῆς μητρός του ἐγνώριζεν, ἐκείνην ἐθεώρει ὡς ἀληθῆ κόσμον. Ὅθεν ἐξελθὸν ἐκεῖθεν νομίζει ὅτι ἀπώλεσε τὸ πᾶν. Οὕτω θλιβόμεθα καὶ ἡμεῖς, ἐξ ἀνοησίας, ὅταν ἐξερχώμεθα τοῦ ματαίου τούτου κόσμου, πιστεύοντες ἀπιθάνως, μόνον τὰ παρόντα ὡς βέβαια, καὶ οὐδὲν ἄλλο κατόπιν αὐτῶν ὑπάρχει. Καὶ ὅμως ὁποία διαφορὰ τοῦ σκότους καὶ τῆς στενότητος τῆς κοιλίας, ὡς πρὸς τὴν φωτεινότητα καὶ τὴν εὐρυχωρίαν τοῦ περιέχοντος εἰς ὃ μεταβαίνει τὸ βρέφος! Ἀλλὰ τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ παροῦσα πρόσκαιρος καὶ τεθλιμμένη ἡμῶν ζωὴ ὡς πρὸς τὴν ἄλλην· ὑπάρχει δηλαδὴ ξοφερὰ φυλακὴ ὡς πρὸς λαμπρὸν δόξης θέατρον, ὡς κόλασις πρὸς παράδεισον, ὡς γῆ πρὸς οὐρανόν.

Πῶς πιστεύομεν ὅτι καταντῶμεν εἰς τὸ μηδέν..... ἐνῷ οὔτε δρόσου ῥανὶς ποτε πραγματικῶς ἐξαφανίζεται; Ἂν ἐκλείψῃ ἡ ἀτομικότης ἡμῶν, τοῦτο συμβήσεται, καθὼς ἐκλείπουσιν αἱ ἀκτῖνες τοῦ ἀστέρος εἰς τὸ φῶς τῆς ἡμέρας. Πῶς πιστεύσω ἔλλειψιν διανοίας τοῦ Δημιουργοῦ, ὅστις ἔδωκεν ἡμῖν ὡς ὁδηγὸν καὶ κανόνα τὴν διάνοιαν; Πῶς παραδεχθῶ ἔλλειψιν δικαιοσύνης Αὐτοῦ, ἐνῷ κατ' αὐτὴν φανερῶς διεπόμεθα; Πῶς φαντασθῶ ἔλλειψιν εὐσπλαγχνίας Ἐκείνου, ὅστις ἐμβάλλει ἐν τῷ βάθει τῆς ἡμετέρας καρδίας τὴν πρὸς τὸν πλησίον ἀγάπην; Ἡ δύναμις, ἥτις ἔπλασε τὴν καρδίαν τῆς μητρός, πῶς μὴ φαιδρὰ μητρική; Πῶς μὴ δειχθῇ προνοητική, ἐν ᾧ κινεῖ τὸν ἄφροντιν κάτοικον τοῦ ἀέρος τὸ πτηνόν, εἰς οἰκοδομὴν φωλεᾶς ὑπὲρ μελλόντων καὶ ἀγνοουμένων ἔτι ὑπ' αὐτοῦ νεοττίων; Αὕτη, ἥτις προλαμβάνουσα τὸ παιδίον προετοιμάζει ἐν τοῖς μαστοῖς τὴν τροφὴν αὐτοῦ, ἐν ᾧ ποδηγετεῖ αὐτὸ βαθμηδὸν εἰς τὸ φῶς τῆς ἡμέρας, ὑπάρχουσα τόσον ἄγρυπνος, ἔρριπτεν ἡμᾶς ὡς ἄτομα, μεταξὺ δύο ἀνυπαρξιῶν, πρὸ τῆς ζωῆς καὶ μετὰ θάνατον,

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

### Περὶ τοῦ κόσμου.

— Δύο εἴδη τῶν ὄντων, τὸ ὁρατὸν καὶ τὸ ἀειδές (Πλ. Φαιδρ. 79).

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

— *Δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον· τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην. τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν. (Διογ. Λαερτ. 7, 1, 134.)*

— *Ἐξ ἑνὸς τὰ πάντα γίγνεσθαι. (Μουσαῖος παρὰ Διογ. Λαερτ. ιε' προοιμ. 3.*

— *Γενόμενον μὲν οὖν τὸν κόσμον ἅπαντες εἶναί φασι (Ἀριστοτ. περὶ οὐραν. 1,10.*

— *Ἦν ποτέ τοι χρόνος οὗτος ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει. (Διογ, Λαερτ. βίος φιλοσόφ. προοίμ. 3).*

— *Σωτὴρ μὲν γὰρ ὄντως ἁπάντων ἐστί καὶ γενέτωρ τῶν ὅπως δήποτε κατὰ τόνδε τὸν κόσμον συντελουμένων ὁ Θεός. Ἀριστ. περὶ κόσμου. 6.*

— *Πάντα θνητὰ θεοῦ δημιουργοῦντος ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα.*

— *Κάλλιστος ὁ κόσμος· ποίημα γὰρ θεοῦ· (Θαλῆς παρὰ Διογ. Λαερτ. 1, 35.*

— *Κόσμος κάλλιστος τῶν γεγονότων. (Πλάτ. Τίμαιος.)*

— *Ὁ κόσμος εἰκὼν τοῦ νοητοῦ θεοῦ, μέγιστος καὶ ἄριστος, κάλλιστός τε καὶ τελειότατος γέγονεν. (Πλάτ. Τίμαιος. 920.)*

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### Περὶ ἐπισκόπων καὶ ἱερέων.

### § 1. Περὶ τοῦ τρόπου καθ' ὃν δέον ἐστὶ προχειρίζεσθαι τοὺς πνευματικοὺς ποιμένας.

*Οὐκ ἐπαινῶ γὰρ ἐγὼ τὴν παρ' ἡμῖν ἀταξίαν καὶ ἀκοσμίαν· ἔστιν ὅτε καὶ ἐπὶ τῶν προεδρευόντων ἐν βήμασιν· οὐ γὰρ ἁπάντων τολμήσω κατηγορεῖν, οὐδὲ δίκαιον. Ἐπαινῶ τὸν νηΐτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρίσας τῷ νῦν κυβερνήτῃ, κἀκεῖθεν ἐπὶ τὴν πρῴραν ἀγαγών, καὶ πιστεύσας τὰ ἔμπροσθεν, οὕτως ἐπὶ τῶν οἰάκων καθίζει, μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, καὶ τὴν τῶν ἀνέμων διάσκεψιν· ὡς δ' αὕτως κἂν τοῖς πολεμικοῖς ἔχει· στρατιώτης, ταξίαρχος, στρατηγός· αὕτη ἡ τάξις ἀρίστη καὶ λυσιτελεστάτη τοῖς ἀρχομένοις. Τὸ δὲ ἡμέτερον, πολλοῦ ἂν ἦν ἄξιον εἰ οὕτως εἶχε· νῦν δὲ κινδυνεύει, τὸ πάντων ἀγιώτατον τάγμα, τῶν παρ' ἡμῖν πάντων εἶναι καταγελαστότατον· οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον, ἢ κακουργίας ἡ προεδρία· οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρων οἱ θρόνοι . . . . καὶ ἰατρὸς μὲν οὐδείς, οὐδὲ ζωγράφος, ὅστις οὐ φύσεις ἀρρωστημάτων ἐσκέψατο πρότερον, ἢ πολλὰ χρώ·*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματα συνεκέρασεν, ἢ ἐμόρφωσεν· ὁ δὲ πρόεδρος εὑρίσκεται ῥᾳδίως, μὴ ποιηθείς, καὶ πρόσφατος τὴν ἀξίαν, ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθείς, ὡς ὁ μῦθος ποιεῖ τοὺς Γίγαντας· πλάττομεν αὐθημερὸν τοὺς ἁγίους, καὶ σοφοὺς εἶναι κελεύομεν, τοὺς οὐδὲν σοφισθέντας, οὐδὲ τοῦ βαθμοῦ προεισενεγκόντας τι. πλὴν τοῦ βούλεσθαι. Καὶ ὁ μὲν στέργει τὴν κάτω χώραν, καὶ ταπεινῶς ἕστηκεν, ὃς τῆς ὑψηλῆς ἄξιος, καὶ πολλὰ μὲν τοῖς θείοις λόγοις ἐμμελετήσας, πολλὰ δὲ τῇ σαρκὶ νομοθετήσας εἰς ὑποταγὴν πνεύματος· ὁ δὲ σοβαρῶς προκαθέζεται, καὶ τὴν ὀφρὺν αἴρει κατὰ τῶν βελτιόνων, καὶ οὐκ ἐπιτρέμει τοῖς θρόνοις, οὐδὲ φρίσσει τὴν ὄψιν, τὸν ἐγκρατῆ κάτω βλέπων· ἀλλ' ὁμοῦ τῷ κράτει καὶ σοφώτερον ἑαυτὸν ὑπολαμβάνει, κακῶς εἰδώς, καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος. (*Γρηγορ. τοῦ Θεολόγου. Ἐπιτάφ εἰς τὸν Μέγ. Βασίλ. Λόγ. μγ΄. παράγρ. κς΄.*)

— *Πολλὴν μὲν τὴν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν τὸν τῆς ἱερωσύνης ἀναδεχόμενον τὴν φροντίδα.— Τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν τοῦ ἱερέως τὴν ψυχὴν εἶναι δεῖ.—Πολλῆς τῆς ἐν λόγῳ δυνάμεως χρεία τῷ ἱερεῖ· ἀλλὰ καὶ σφόδρα ἔμπειρον εἶναι δεῖ τῆς διαλεκτικῆς.— Τοὺς ἱερέας τότε μάλιστα τιμᾶσθαι δεῖ, ὅταν καὶ ἀπὸ τῆς πολιτείας ὦσιν αἰδέσιμοι· εἰ γὰρ τοὺς τυχόντας, διὰ τὴν ἡλικίαν αἰδεσίμους εἶναι νομίζομεν, πολλῷ μᾶλλον τοὺς πνευματικοὺς πατέρας. — Ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν, ἢ δι' ἄλλην αἰτίαν, ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγεῖν, πάντων τῶν ὑπὲρ ἐκείνου πραττομένων, αὐτὸς δώσει τὰς εὐθύνας· «χεῖρας, φησὶν ὁ θεῖος Ἀπόστολος, ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις»· τί λέγεις; ἄλλος ἥμαρτε κἀγὼ κοινωνῶ τῶν ἐγκλημάτων καὶ τῆς ἁμαρτίας; ναί φησιν· ὅτι πονηρίᾳ τὴν ἐξουσίαν παρέσχες· καὶ καθάπερ τις μαινομένῳ καὶ παραπαίοντι ξίφος ἐγχειρίσας ἠκονημένον, ὃν ἂν ἐργάσηται φόνον ὁ μεμηνώς, ἐκεῖνος ὑφίσταται τὴν αἰτίαν, οὕτω καὶ ἀνθρώπῳ τις πονηρίᾳ συζῶντι τὴν ἀπὸ τῆς ἀρχῆς ταύτης ἐξουσίαν παρασχών, τὸ πῦρ ἁπάντων ἁμαρτημάτων ἐκείνου καὶ τῶν τολμημάτων, ἐπὶ τὴν οἰκείαν ἕλκει κεφαλήν· ὁ γὰρ τὴν ῥίζαν παρασχὼν πανταχοῦ, οὗτος τῶν ἐξ αὐτῆς φυομένων ἐστὶν αἴτιος.— Κἂν ἴδωσι μοναχὸν περισσὸν ἱμάτιον ἔχοντα, τὸν λόγον αὐτῷ προβάλλουσι τὸν Δεσποτικόν, αὐτοὶ μυρία ἁρπάζοντες καὶ καθεκάστην πλεονεκτοῦντες τὴν ἡμέραν· κἂν ἴδωσι δαψιλεστέρας τροφῆς ἀπολαύοντα, πικροὶ γίνονται κατήγοροι, αὐτοὶ καθ' ἑκάστην μεθύοντες καὶ κραιπαλῶντες* (*Χρυσοστόμ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

## § 2. Περὶ τοῦ μὴ διαλαλεῖν τὰ ἁμαρτήματα τῶν Ἱερωμένων.

*Οὐ χρὴ τῶν ἱερέων τὰ πλημμελήματα δῆλα γίνεσθαι τοῖς πολλοῖς, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες, ἀδεῶς ἁμαρτάνωσιν· εἰ γὰρ ἔγωγε αὐτόπτης ἐπισκόπου γάμον ἀλλότριον διορύττοντος ἐγεγόνειν, συνεκάλυψα ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψοι τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. (Κωνστ. τοῦ Μεγάλου).*

*— Εἰ γὰρ οἱ ἐπιτετραμμένοι εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ ἀνάξιοι τῆς τοῦ Θεοῦ ὑπηρεσίας εὑρεθείεν, πῶς ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων ἐξιλεοῦσθαι δυνήσονται τὸν Θεόν; (Ἰουστίνου).*

*— Δεῖ γὰρ δὴ τοὺς Δεσπότας, αὐτοῦ τούτου τοῦ ἀγερώχου καὶ ὀνόματος καὶ πράγματος πρῶτον ἀπαλλαγέντας, καὶ ἑαυτῶν γενομένους, τοῦτ' αὐτὸ Πατέρας ἁπλοῦς γενέσθαι, τὴν μὲν ἱερωσύνην τοῖς συμπρεσβυτέροις, ὡς μίαν οὖσαν, τὰ εἰκότα τιμῶντας· οὓς δὲ συμποιμαίνουσιν, ἀρετῇ, ἀλλ' οὐ βρέντῃ καταδυσωποῦντας καὶ διεξάγοντας· τούτῳ γὰρ τῷ τρόπῳ τιθασσεύοντες, μᾶλλον ἂν χειροήθεις ἐκείνους ποιήσαιντο πρὸς εὐσέβειαν (Νεοφ. Δούκα).*

*— Ἐπισκόπῳ γὰρ δόξα οὐκ ὄχλος ἱερέων ἀμαθεστάτων δίκην ἀνδραπόδων αὐτοὺς προπομπευόντων ἐν ταῖς ὁδοῖς, ἀλλὰ λόγος εὐσεβὴς καὶ πρᾶξις σὺν λόγῳ καθαρὰ ὑποκρίσεως. (Τοῦ αὐτοῦ).*

## § 3. Ὅτι βαθμηδόν, καὶ ἐκ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα προβαίνειν δεῖ.

*Οὐκ ἐνι ἐκ τοῦ παραχρῆμα λαμβάνειν τὰς ἀρετάς· σμικροῖς γὰρ τὰ μέγιστα πῶς ἄν τις ἕλοιτο πόνοις (Κυρίλλου).*

*Ὁρᾶτε τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν καὶ πολλὰ τῶν ἀθρόως ἁλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν. Ἄμαχον γὰρ τὸ ἐνδελεχές, ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δὲ ἀκαίρως ἐπειγομένοις πολεμιώτατος. (Πλουτάρχου).*

*Ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν. (Φιλοθέου).*

*Μὴ δίωκε μεγάλα μηδὲ τὰ πόρρω, ἵνα μὴ ἀπειρηκὼς ὑπολειφθῇς μεταξύ· ἀλλὰ τα μικρὰ πρῶτα καὶ τὰ παρὰ πόδας· τούτων δ' ἀεὶ ἐγκρατὴς γιγνόμενος, παράτεινε ἐπὶ τὰ λοιπὰ μέτρῳ καὶ τακτῷ διαστήματα· ἀεὶ γὰρ ἐκ τῶν ἐλαχίστων τὰ μέγιστα πόριμα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γίνεται τοῖς ἀνθρώποις. Οὐδεὶς αἴφνης ἄκρας, φησὶν ἡ παροιμία, οὔτ' ἐν ἀγαθοῖς οὔτ' ἐν κακοῖς· πάντα γὰρ χρόνῳ κτητά τε καὶ μαθητά. (Νεοφύτου Δούκα).

## § 4. Περὶ τῶν εἰσπηδώντων τῷ ἱερῷ βήματι.

— Καὶ γὰρ ἦν αἶσχος μέγα
Τούτων τίν' εἶναι τῶν καπήλων πίστεως.
Ὧν οἱ μὲν ὄντες ἔκγονοι φορογράφων,
Οὐδὲν φρονοῦντες τοῦ παραγράφειν πλέον.
Οἱ δ' ἐκ τραπέζης, τῶν τ' ἐκεῖσ' ἀγαλμάτων·
Οἱ δὲ ἀρότρων, ἡλίῳ κεκαυμένοι·
Οἱ δ' ἐκ δικέλλης καὶ σμινύης πανημέρου·
Ἄλλοι δὲ κώπην, ἢ στρατὸν λελοιπότες·
Ἄντλον πνέοντες, ἢ τὸ σῶμ' ἐστιγμένοι,
Λαοῦ κυβερνῆταί τε καὶ στρατηλάται
Πεφύκασιν . . .

(Γρηγ. Θεολ Ἐπισκ. εἰς ἑαυτὸν καὶ περὶ ἐπισκόπων στιχ. 156).

— Ὦ τῆς ταχείας τῶν τρόπων μεταστροφῆς!
Χθὲς ἦσθα μίμων καὶ θεάτρων ἐν μέσῳ,
Νῦν αὐτὸς ἡμῖν ἡ ξένη θεωρία.
Ὡς ἡμερός μοι σήμερον! Οὐδ' ἐσθῆτά τις
Οὕτως ἀμείβει ῥᾳδίως, ὡς σὺ τρόπον. (Αὐτόθ. στίχ. 395).

— Ἀλλ' οἱ τελῶναι χἀλιεῖς ἥξουσί μοι
Εὐαγγελισταὶ καὶ πένητες ἐν λόγῳ,
Κόσμον σαγηνεύσαντες εὐτελεῖ λόγῳ . . . .
Καὶ γὰρ πρόχειρον τοῦτο τοῖς πολλοῖς λέγειν,
Πρὸς οὓς βραχύς μοι καὶ σαφὴς ἅγαν λόγος.
Δύο μοι τὸ πιστὸν τῶν Ἀποστόλων ἑνός, . . .
Τούτων τις ἔστω, καὶ τὰ πάντα δέξομαι
Ἄφθογγον, αἰσχρόν, δυσγενῆ, βοηλάτην·
Ὁ γὰρ τρόπος κάλυμμα τῆς μοχθηρίας,
Τούτων τις εἴης, χἀλιεύεις βατράχους,
Ἔπειτα δώσομέν σοι ἀγγέλων χοροῖς. (Θεολ. Γρηγ. αὐτόθ. στίχ. 190).

— Ἤ διδάξοι τις οὐδ' ἂν διδάξειεν εἰ μὴ Θεὸς ὑφηγοῖτο. (Πλάτων).

— Δεῖ τὸν ἱερέα καθάπερ τισὶν ἀδαμαντίνοις ὅπλοις πεφράχθαι πάντοθεν, τῇ τε συντόνῳ σπουδῇ καὶ τῇ διηνεκεῖ περὶ τὸν βίον νήψει, πάντοθεν περισκοποῦντα, μὴ πού τις γυμνὸν εὑρὼν τόπον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παρημελημένου, πλήξῃ καιρίαν πληγήν· πάντες γὰρ περιεστήκασι τρῶσαι ἕτοιμοι καὶ καταβαλεῖν οὐ τῶν ἐχθρῶν μόνον καὶ πολεμίων ἀλλὰ καὶ αὐτῶν τῶν προσποιουμένων φιλίαν. (Χρυσ. περὶ Ἱερωσ. λόγ. δ'. κεφ. ιδ'.).

— Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς ὁ Ἰησοῦς τῷ πατρὶ καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς Ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε ὡς διαγγελεῖς τοῦ Θεοῦ· μηδεὶς χωρὶς ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων τῇ Ἐκκλησίᾳ. (Ὁ Θεοφόρος Ἰγνάτιος παρὰ Χρυσοστόμῳ).

— Τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὑμῖν ὁ Θεός· ἐγὼ ἀντίψυχον τῶν ὑποτασσομένων τῷ ἐπισκόπῳ πρεσβυτερίῳ καὶ διακόνοις. (Ἰγνάτιος ὁ Θεοφόρος πρὸς Πολύκαρπον παρὰ Χρυσοστόμῳ).

— Σπουδάσωμεν μὴ ἀντιτάσσεσθαι τῷ ἐπισκόπῳ, ἵνα ὦμεν Θεῷ ὑποτασσόμενοι (Θεοφόρ. Ἰγνάτιος πρὸς Ἐφεσίους).

## § 33. Περὶ τοῦ μὴ ὑπείκειν ταῖς τῶν φίλων προτροπαῖς.

— Δεῖ γάρ, κἂν μυρίοι καλῶσι καὶ ἀναγκάζωσι, μὴ πρὸς ἐκείνους ὁρᾶν, ἀλλὰ πρότερον τὴν ἑαυτοῦ βασανίσαντα ψυχήν, καὶ πάντα διερευνησάμενον ἀκριβῶς, οὕτως εἶξαι τοῖς βιαζομένοις. (Χρυσ περὶ Ἱερωσ. λογ. δ'. α'.).

— Ὡς οὖν βαρύτερον μέλλοντα κολάζεσθαι τῶν παραγαγόντων, οὕτως ἀκριβέστερον αὐτῶν χρὴ ποιεῖσθαι τὴν ἑαυτοῦ δοκιμασίαν· ἕλκουσιν ἐκεῖνοι, προσιόντα διδάσκειν ἀκριβῶς τὰς αἰτίας, δι' ὧν ἠπατημένους παύσει, καὶ ἀνάξιον ἑαυτὸν τῆς δοκιμασίας ἀποδείξας ἐκφεύξεται τοσούτων πραγμάτων ὄγκον. Διατί γὰρ περὶ στρατείας καὶ ἐμπορίας καὶ γεωργίας καὶ τῶν ἄλλων τῶν βιωτικῶν βουλῆς προκειμένης, οὔτε ὁ γεωργὸς ἕλοιτ' ἂν πλεῖν, οὔτε ὁ στρατιώτης γεωργεῖν, οὔτε ὁ κυβερνήτης στρατεύεσθαι, κἂν μυρίους τις ἀπειλήσῃ θανάτους; . . . Ὅπου μὲν ἡ ζημία περὶ μικρῶν, τοσαύτη χρησόμεθα προνοίᾳ, καὶ οὐκ εἴξομεν τῇ τῶν βιαζομένων ἀνάγκῃ. Ὅπου δὲ ἡ κόλασις αἰώνιος τοῖς οὐκ εἰδόσι μεταχειρίζειν ἱερωσύνην, ἁπλῶς καὶ ὡς ἔτυχε τοσοῦτον ἀναδεξόμεθα κίνδυνον, τὴν ἑτέρων προβαλλόμενοι βίαν; (Χρυσ. περὶ Ἱερωσ. αὐτόθ. β'.).

— Ἕως μὲν γὰρ ἂν πανταχόθεν ἡρμοσμένος ᾖ καλῶς ὁ τοῦ ἱερέως βίος, ἀνάλωτος γίνεται ταῖς ἐπιβουλαῖς. Ἂν δὲ τύχῃ μικρόν τι παριδών, οἷα εἰκὸς ἄνθρωπον ὄντα καὶ τὸ πολυπλανὲς τοῦ βίου τούτου περαιοῦντα πέλαγος, οὐδὲν αὐτῷ τῶν λοιπῶν κατορθωμάτων ὄφελος πρὸς τὸ δυνηθῆναι τὰ τῶν κατηγόρων στόματα δια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φυγεῖν, ἀλλ' ἐπὶ παντὶ τῷ λοιπῷ τὸ σμικρὸν ἐκεῖνο παράπτωμα. (Χρυσ. περὶ Ἱερωσ. λογ. γ'. ιδ'.).

— Μηδὲν ἐπεχέτω σε τοῦ πρόσω· μηδὲν ἀνθελκέτω σου τὴν προθυμίαν. Ἕως σφοδρὸς ὁ πόθος, λαβοῦ τοῦ ποθουμένου. Ἕως θερμὸς ὁ σίδηρος, τῷ ψυχρῷ στομωθήτω, μήτι παρεμπέσῃ μέσον, καὶ διακόψῃ τὸν πόθον.

— Δεῖ γὰρ εἰδέναι σε καὶ μὴ ἀμφιβάλλειν, ὅτι πρὶν μὲν κατασταθῇς, σεαυτῷ ἔζῃς· κατασταθεὶς δέ, οἷς κατεστάθης (Ἀθαν. ὁ Μέγ. πρὸς Δρακόντ. ἐπισκ. ἐπιστολ. β'.).

## § 6. Περὶ τοῦ πείθεσθαι τοῖς ἐπισκόποις καὶ ὑπείκειν αὐτοῖς.

Εἰς τιμὴν Θεοῦ τοῦ ποιήσαντος ἡμᾶς πρέπον ἐστὶν ὑπακούειν τῷ ἐπισκόπῳ κατὰ μηδεμίαν ὑπόκρισιν· ἐπεὶ οὐχὶ τὸν ἐπίσκοπον τοῦτον τὸν βλεπόμενον πλανᾷ τις ἀλλὰ τὸν ἀόρατον παραλογίζεται Θεόν. (Θεοφόρ. Ἰγνάτιος πρὸς Μαγνησίας).

— Ὅταν τῷ ἐπισκόπῳ ὑποτάσσησθε, φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες ἀλλὰ κατὰ Ἰησοῦν Χριστόν, τὸν δι' ἡμᾶς ἀποθανόντα. (Αὐτόθι)

— Τέκνα φωτὸς ἀληθείας φεύγετε τὸν μερισμὸν καὶ τὰς κακοδιδασκαλίας· ὅπου δὲ ὁ ποιμήν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. (Αὐτόθι).

— Εἴ τις τοῦ ἱερέως καταφρονήσει, ταχέως καταφρονήσει καὶ τοῦ Θεοῦ. (Μέγας Ἀθανάσιος).

— Εἴ γε πάντες φεύγοιεν ταύτην τὴν εἴτε λειτουργίαν χρὴ λέγειν, εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μείστῳ μέρει, καὶ οὐδ' ἂν καλὸν ἔτι μένοι τὸ καλὸν τῆς Ἐκκλησίας πλήρωμα. (Γρηγ. Θεολ. Ἀπολογ. δ'.).

— Δύο ταῦτα δέδωκεν ὁ Θεὸς τοῖς χριστιανοῖς δωρήματα, ἱερωσύνην καὶ βασιλείαν, δι' ὧν θεραπεύεται, δι' ὧν κοσμεῖται ὡς ἐν οὐρανῷ τὰ ἐπίγεια. (Θεόδ. Στουδ. πρὸς Νικηφ. Βασ. ἐπιστ. ις'.)

— Τὸ τῆς ἐπισκοπῆς καὶ ὄνομα καὶ πρᾶγμα θεῖον ὄν, καὶ κρεῖττον πάσης πολιτείας τε καὶ ἀξίας ὀλίγοις τισὶ πρέπει. (Ἰσίδ. Πηλουσ. βιβλ. β'. ἐπι Γρηγ.).

— Εἰ οἱ τὰς τῶν πόλεων ἀρχὰς πιστευθέντες, ὅταν μὴ συνετοὶ καὶ λίαν ὀξεῖς τυγχάνωσιν ὄντες, καὶ τὰς πόλεις ἀνέτρεψαν, καὶ ἑαυτοὺς προσαπώλεσαν, ὁ τοῦ Χριστοῦ τὴν Νύμφην κατακοσμεῖν λαχὼν πόσης σοι δοκεῖ δεῖσθαι δυνάμεως καὶ τῆς παρ' αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ καὶ τῆς ἄνωθεν πρὸς τὸ μὴ διαμαρτεῖν; (Χρυσοστ. περὶ Ἱερωσύν. λόγ. Γ'. Γ'. Ε'.).

## § 7. Περὶ πνευματικῶν ποιμένων.

Ὅτι Θεὸς ἐν τῇ οὐρανίῳ τῶν πρωτοπλάστων ἐκκλησίᾳ, καὶ ἥλιος ἐν τῷ κόσμῳ, τοῦτο ἕκαστος ἀρχιερεὺς ἐν τῇ κατὰ μέρος ἐκκλησίᾳ, δι' οὗ τὸ ποίμνιον λαμπρύνεται θάλπει καὶ ναὸς Θεοῦ γίνεται.

Λύχνου καὶ ὀφθαλμοῦ ὄντος τοῦ ἐπισκόπου, ἀνάγκη πᾶσα, ὥσπερ ἐκείνου, καθαρῶς μὲν ἔχοντος ὀρθῶς ἄγεσθαι τὸ σῶμα, μὴ καθαρῶς δέ, οὐκ ὀρθῶς, οὕτω συνδιακινδυνεύει ἢ συνδιασώζεται τὸ ὑπήκοον. (Γρηγόριος).

Ἐπειδὴ ὁ Ἀρχιερεὺς κεφαλὴ ἦν τοῦ λαοῦ, ἔδει τὸν πάντων κεφαλὴν γινόμενον ἔχειν κατὰ κεφαλῆς τὴν ἐξουσίαν (ἀπολελυμένη γὰρ αὐθεντία ἀφόρητός ἐστι, ἔχουσα δὲ ἐπικείμενον τὸ σύνθημα τῆς Δεσποτείας ὑπὸ νόμου ἄγεται)· κελεύει οὖν τὴν κεφαλὴν μὴ εἶναι γυμνὴν ἀλλὰ κεκαλυμμένην, ἵνα μάθῃ ἡ κεφαλὴ τοῦ λαοῦ ὅτι κεφαλὴν ἔχει. (Χρυσόστομος).

Διακόνου λόγον ἐπέχει ὁ πρὸς τοὺς ἱεροὺς ἀγῶνας ἀλείφων τὸν νοῦν καὶ τοὺς ἐμπαθεῖς λογισμοὺς ἀπελαύνων ἀπ' αὐτοῦ, πρεσβυτέρου δὲ ὁ εἰς τὴν γνῶσιν τῶν ὄντων φωτίζων καὶ τὴν ψευδώνυμον γνῶσιν ἐξαφανίζων, ἐπισκόπου δὲ ὁ τῷ ἁγίῳ μύρῳ τελῶν τῆς γνώσεως τῆς προσκυνητῆς καὶ ἁγίας Τριάδος, ὥστε τὸν ἀρχιερέα οὐ μόνον ἠθικὸν χρὴ εἶναι καὶ φυσικὸν ἥγουν θεωρητικὸν φιλόσοφον, ἀλλὰ καὶ Θεολόγον. (Μάξιμος).

— Ἀρκεῖ εἷς ἄνθρωπος ζήλῳ πεπυρακτωμένος ὁλόκληρον διορθώσασθαι δῆμον. (Χρυσοστ. πρὸς Ἀντιοχ. ὁμιλ. α'. ιβ'.).

— Ἄκουε δὲ καὶ τῷ Τίτῳ περὶ τῆς τῶν ἐπισκόπων καταστάσεως τί προστίθησιν (ὁ Παῦλος)· δεῖ γάρ, φησίν, εἶναι τὸν ἐπίσκοπον ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. (Χρυσ. περὶ Ἱερωσ. λογ. δ'. η'.).

— Πῶς οὖν ἰδιώτης τις ὤν, ὡς αὐτοί φασι, τοὺς ἀντιλέγοντας ἐλέγχειν δυνήσεται καὶ ἐπιστομίζειν; Τίς δὲ χρεία προσέχειν τῇ ἀναγνώσει καὶ ταῖς Γραφαῖς, εἰ δεῖ ἰδιωτείαν ἀσπάζεσθαι; Σκήψεις ταῦτα καὶ προφάσεις καὶ ῥᾳθυμίας καὶ ὄκνου προσχήματα. (Αὐτόθι).

— Τοῦτο γάρ, ἔφην, τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς ἀπώλεσε, καὶ ῥᾳθυμοτέρους περὶ τὴν ἀληθῆ διδασκαλίαν ἐποίησε. Μὴ γὰρ δυνηθέντες ἀκριβῶς ἐξετάσαι τῶν ἀποστολικῶν φρενῶν τὸ βάθος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*μηδὲ συνιέναι τὴν τῶν ῥημάτων διάνοιαν, διετέλεσαν τὸν ἅπαντα χρόνον χασμώμενοι, καὶ τὴν ἀμαθίαν τιμῶντες ταύτην, οὐχ ἣν ὁ Παῦλός φησιν (Α'. Κορινθ. ια'. 2) εἶναι ἀμαθής, ἀλλ' ἧς τοσοῦτον ἀπεῖχεν, ὅσον οὐδὲ ἄλλος τις τῶν ὑπὸ τὸν οὐρανὸν τοῦτον ἀνθρώπων. (Χρυσοστ.)*

## § 8. Ὅτι τὸν Πνευματικὸν ποιμένα δέον ἐστὶν εἶναι διδακτικόν.

*— Εἰ τῷ ἔχοντι χρήματα καὶ μὴ μεταδιδόντι, κόλασις κεῖται, τῷ δυναμένῳ παραινέσαι ὁπωσδήποτε καὶ μὴ τοῦτο ποιοῦντι πῶς οὐ μεγίστη κόλασις ἔσται ; ἐκεῖ σῶμα τρέφεται, ἐνταῦθα ψυχή· ἐκεῖ θάνατον κωλύεις τὸν πρόσκαιρον, ἐντεῦθα τὸν αἰώνιον· ἀλλ' οὐκ ἔχω λόγον, φησίν· ἀλλ' οὐ χρεία λόγου οὐδὲ εὐγλωττίας· ἐὰν ἴδῃς τὸν φίλον πορνεύοντα, εἰπὲ πρὸς αὐτόν· πονηρὸν πρᾶγμα ὃ μετέρχῃ, οὐκ αἰσχύνῃ· οὐδὲν οὕτω φιλίας τεκμήριον, ὡς τὸ μὴ περιορᾶν ἁμαρτάνοντας τοὺς φίλους καὶ ἀδελφούς· εἶδες ἐχθραίνοντας, διάλυσον· εἶδες πλεονεκτοῦντας, κώλυσον· εἶδες ἀδικουμένους, πρόστηθι· οὐκ ἐκείνοις ἀλλὰ σαυτῷ προτέρῳ ἐχαρίσω· διὰ τοῦτο φίλοι ἐσμὲν ἵνα ἀλλήλους ὠφελῶμεν· ἄλλως ἀκούσεται παρὰ τοῦ φίλου καὶ ἄλλως παρὰ τοῦ τυχόντος· τὸν τυχόντα ὑποπτεύσει ἴσως, καὶ τὸν διδάσκαλον ὁμοίως, τὸν δὲ φίλον οὐκ ἔτι. (Χρυσοστόμ. ὁμιλία ιθ'. εἰς τὴν πρὸς Ἐφεσίους).*

*— Τῇ καρτερίᾳ καὶ τῇ προσεδρίᾳ πολλάκις διὰ τῶν θρήνων καὶ τῶν δακρύων ψυχὴν ἀπεγνωσμένην δυνήσῃ ἐπισπάσασθαι καὶ ἀναστῆσαι· συνεβούλευσας καὶ οὐκ ἔπεισας ; δάκρυσον καὶ καθάψῃ πολλάκις· στέναξον πικρόν, ἵνα αἰδεσθείς σου τὴν κηδεμονίαν ἐπιστρέψῃ πρὸς σωτηρίαν· κάτασχε πόδας, μὴ ἐπαισχυνθῇς εἰγ' ἀληθῶς ἰατρεῦσαι βούλει· κἂν λοιδορῇ κἂν ὑβρίζῃ, κἂν ἀπειλῇ ἐχθρὸς γενέσθαι, κἂν ὁτιοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως ὅπως αὐτοῦ κερδάνῃς τὴν σωτηρίαν· ἐὰν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται σοι φίλος καὶ μεγάλως ἀνταμείψεται τοῦ ἀγαθοῦ. (Χρυσ. λόγ. β'.).*

*— Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς πάντα ὅσα ἐνετειλάμην ὑμῖν. (Ματθ.)*

*— Τὸ τῆς διδασκαλίας καὶ τῆς ἱερωσύνης ἀξίωμα μέγα ἐστὶ καὶ θαυμαστόν, καὶ ὄντως τῆς τοῦ Θεοῦ δεόμενον ψήφου, ὥστε τὸν ἄξιον εἰς μέσον ἀγαγεῖν. (Χρυσοστ. ἐν τῇ α'. πρὸς Τιμοθ. α'. 18).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τοσούτων ὄντων δυσχερειῶν καὶ κινδύνων (ἐν τῷ ποιμαντορικῷ ἐπαγγέλματι), τίς μὴ τῷ θείῳ Πνεύματι τὴν ψυχὴν φωτισθείς, ἐπαρκέσαι δυνήσεται ; (Ἰσιδ. Πηλουσ. βιβλ. δ'. ἐπιστ. ρμε'.)*

— *Ὁ Προφήτης, ὃς ἂν ἀσεβήσῃ λαλῆσαι ἐπὶ τῷ ὀνόματί μου ῥῆμα, ὃ οὐ προσέταξα λαλῆσαι, καὶ ὃς ἂν λαλήσῃ ἐν ὀνόματι Θεῶν ἑτέρων, ἀποθανεῖται ὁ Προφήτης ἐκεῖνος. (Δευτερ. ιη'. 20).*

— *Οὐκ ἰδοὺ οἱ λόγοι μου, ὥσπερ πῦρ, λέγει Κύριος, καὶ ὡς πέλεκυς κόπτων πέτραν ; . . . Ἰδοὺ ἐγὼ πρὸς τοὺς Προφήτας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ . . . Καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτούς· καὶ οὐκ ἐνετειλάμην αὐτοῖς. (Δευτερ. κγ'. 29).*

— *Καὶ σύ, εἶπεν ὁ Θεὸς πρὸς Μωϋσῆν, προσαγάγου πρὸς σεαυτὸν τόν τε Ἀαρών, τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ τοῦ ἱερατεύειν μοι (Ἐξόδ. κη'. 1).*

— *Ἐλάλησε Μωϋσῆς πρὸς Κορὲ καὶ πρὸς πᾶσαν αὐτοῦ τὴν συναγωγήν . . . αὔριον ἔσται ὁ ἀνήρ, ὃν ἐκλέλεκται Κύριος, οὗτος ἅγιος. (Ἀριθμ ις'. 5).*

— *Καὶ ἐγὼ εἴληφα τοὺς ἀδελφοὺς ὑμῶν, τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ δόμα δεδομένον Κυρίῳ, λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς τοῦ μαρτυρίου (Αὐτόθι ις'. 6).*

— *Ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη . . . Καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ Λευΐτας, εἶπε Κύριος. (Ἡσαΐας ξς'. 19).*

— *Οὐχ ὡς σάρκα περικειμένῳ, οὐδ' ἀνθρωπείαν λαχόντι φύσιν, ἀλλ' ὡς ἀγγέλῳ καὶ τῆς λοιπῆς ἀσθενείας ἀπηλλαγμένῳ, δικάζειν ἅπαντες ἐθέλουσι τῷ ἱερεῖ. (Χρυσόστ. περὶ Ἱερωσ. λογ. Γ'. ιδ'.).*

— *Ὁ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐμπεπιστευμένος, καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ ἀνεύθυνός ἐστιν. (Χρυσ. εἰς τὴν πρὸς Τίτ. ὁμιλ. α'. β'. τόμος ια'. σελ. 664).*

— *Εἰ δέκα μόνον ἐπείσθησαν, εἰ πέντε, εἰ εἷς, οὐχ ἱκανὸν ἡμῖν εἰς παραμυθίαν ; Ἐγὼ δὲ καὶ ὑπερβολὴν ἑτέραν ποιοῦμαι. Κείσθω μηδένα πεπεῖσθαι τοῖς ἡμετέροις λόγοις, ὅπερ ἀδύνατον εἰς τοσαύτας ἀκοὰς συρόμενον λόγον ἄκαρπον γενέσθαι ποτέ· Πλὴν ἀλλὰ κείσθω τοῦτο αὐτό· οὐδὲ οὕτως ἀκερδὴς ἡμῖν ὁ λόγος. (Χρυσ. εἰς Λάζαρ. ὁμιλ. α'. τομ α' σελ. 963)*

— *Ἐγὼ καταβάλλω τὰ σπέρματα· ἐὰν γῆ λιπαρὰ ᾖς δεχομένη τὰ σπέρματα, καὶ τὸν στάχυν ἀποδίδως· ἐὰν δὲ ᾖς πέτρα ἄγονος, οὐδὲν πρὸς ἐμέ. Ἐάν τε ἀκούσῃς, ἐάν τε μὴ ἀκούσῃς, οὐ παύσομαί σοι ἐπάδων ὠδὴν πνευματικήν, καταντλῶν τὰ τραύματα, ἵνα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἀκούσω κατὰ τὴν ἡμέραν ἐκείνην. «Πονηρὲ δοῦλε» (Χρυσόστ. τόμ. β. μέρ. α'. σελ. 703.

— Οὐδὲν παραβλάπτεται ὁ δεχόμενος, εἰ καὶ ὁ διδοὺς ἀνάξιος εἶναι δοκοίη, οὐδὲ τὰ ἄχραντα χραίνεται μυστήρια, εἰ ὁ ἱερεὺς πάντας ἀνθρώπους εἰς κακίαν παρελάσειεν. (Ἰσίδ. Πηλουσ. βιβλ. Γ ἐπιστλ. τμ'.)

— Ἐπὶ τῶν φρικωδεστάτων μυστηρίων ἐπεύχεται ὁ ἱερεὺς τῷ λαῷ, ἐπεύχεται καὶ ὁ λαὸς τῷ ἱερεῖ τὸ γάρ, μετὰ τοῦ πνεύματός σου, οὐδὲν ἄλλο ἐστι καὶ τοῦτο ἢ εὐχή. Τὰ τῆς εὐχαριστίας πάλιν κοινά· οὐδὲ γὰρ ἐκεῖνος εὐχαριστεῖ μόνος, ἀλλὰ καὶ ὁ λαὸς ἅπας πρότερον γὰρ αὐτῶν λαβὼν φωνήν, εἶτα συντιθεμένων, ὅτι ἀξίως καὶ δικαίως τοῦτο γίνεται, τότε ἄρχεται τῆς εὐχαριστίας. (Χρυσ. εἰς τὴν Β' πρὸς Κορινθίους ὁμιλ. ιη'.)

— Τὸ τῶν ἱερέων σχῆμα ..... εὖ μάλα φρονήματος πληροῦται, καὶ δόξαν σεμνὴν λαμβάνει διὰ τὸ μέγεθος τῶν ἐγχειρημάτων, ὥστε περὶ τὴν Αἴγυπτον οὐδ' ἔξεστι βασιλέα χωρὶς τοῦ ἱερατικοῦ ἄρχειν. (Πλάτ. πολιτικός.)

— Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται (Ψαλμός).

— Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. (Ψαλμ. 104.15)

— Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλησθε οἱ ἱερεῖς ἀπὸ τῶν καρδιῶν ὑμῶν καὶ ποιήσατε κρίσιν καὶ δικαιοσύνην, ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου, λέγει Κύριος ὁ Θεός. (Ιεζεκιήλ. νε'. 9).

— Τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμένας τοὺς ποιμαίνοντας τὸν λαὸν Αὐτοῦ· ὑμεῖς διεσκορπίσατε τὰ πρόβατα, καὶ ἐξώσατε αὐτὰ καὶ οὐκ ἐπεσκέψασθε αὐτά. Ἰδοὺ ἐγὼ ἐκδικῶ ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν. (Ἱερεμίου 23.2)

— Οὗτος ὅρος πάσης πνευματικῆς προστασίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾶν, πρὸς τὸ τῶν ἄλλων συμφέρον (Γρηγ. Θεολόγ.

— Καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι· σοφισθῆναι, καὶ σοφίσαι· γενέσθω φῶς, καὶ φωτίσαι· ἐγγίσαι Θεῷ, καὶ προσαγαγεῖν ἄλλους· ἁγιασθῆναι, καὶ ἁγιάσαι· χειραγωγῆσαι μετὰ χειρῶν συμβουλεῦσαι μετὰ συνέσεως. (Γρηγ. Θεολόγ.)

## § 9. Περὶ τοῦ πλούτου τῶν ἱερωμένων.

Τῷ Ἱερωμένῳ πλοῦτος μὲν ὁ τῆς ἀρετῆς κόσμος, ἡδονὴ δὲ ἡ σωφροσύνη, τρυφὴ δὲ ἡ αὐτάρκεια, εὐφροσύνη δὲ ἡ τῶν ὑπηκόων πρὸς ἀρετὴν ἐπίδοσις. Εἰ δέ τις τἀναντία τούτων ἐπιτηδεύων Ἱε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρωσύνης ὀνόματι ἐναβρύνεται, οὗτος ἀνιέρος τυγχάνει καὶ τῆς ἀρχῆς ἀνάξιος. (*Παύλῳ τῷ πρεσβυτέρῳ. Ἐκ τῶν Ἐπιστλ. Ἰωάν. τοῦ Χρυσοστ.*)

## § 10. Περὶ εὐλαβείας πρὸς τοὺς ἱερεῖς.

*Ὅταν γάρ τις πρὸς ἱερέα εὐλαβῶς διατεθῇ, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν· κἂν ὁ ἱερεὺς φαῦλος ᾖ, ὁ Θεὸς ὁρῶν, ὅτι διὰ τὴν πρὸς αὐτὸν τιμήν, καὶ τὸν οὔτε ἄξιον τιμῆς θεραπεύεις, καὶ αὐτὸς ἀποδώσει σοι τὴν ἀμοιβήν· καὶ γὰρ ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, φησίν, μισθὸν προφήτου λήψεται, καὶ ὁ τιμῶν, καὶ ὁ εἰκών, καὶ ὁ ὑπακούων, δηλονότι τῷ Ἱερεῖ.*

*— Κατηγορίαν μὴ δέχου κατὰ πρεσβυτέρου μηδὲ ἐπιπλήξῃς αὐτῷ ἀλλὰ παρακάλει ὡς πατέρα. (Νεῖλος.)*

*— Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰμὴ ἐπὶ δύο, ἢ τριῶν μαρτύρων. (Τιμόθεος.)*

*— Εἴ τις τιμήσει τὸν ἱερέα, οὗτος τιμᾷ τὸν Θεόν .... Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ δεχόμενος ἐμὲ δέχεται τὸν ἀποστείλαντά με.*

*— Ὁ μαθὼν ἱερέως καταφρονεῖν οὗτος βλασφημήσει κατ' αὐτοῦ τοῦ Θεοῦ*

*— Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. (Λουκᾶς.)*

*— Εἰ καὶ ἐγκλημάτων ὦσιν ὑπεύθυνοι οἱ Ἱερεῖς οὐδὲ οὕτω σοι θέμις τὸν ἐκείνων βίον κρίνειν· ὁ γὰρ τιμῶν τὸν ἱερέα τὸν ἀνέγκλητον τιμᾷ τὸ ὑποκείμενόν του, καὶ ὄχι τὸν τύπον τοῦ Χριστοῦ, ὁ δὲ τιμῶν τὸν ἀνάξιον οὗτος τὴν Ἱερωσύνην μόνον τιμᾷ καὶ τὸν ἴδιον Χριστὸν καὶ ὄχι τὸ ὑποκείμενόν του· ὁ τιμῶν τὸν ἱερέα καὶ τὸν Θεὸν τιμήσει, ὁ δὲ μαθὼν τοῦ ἱερέως καταφρονεῖν οὐδῷ προβαίνειν καὶ εἰς τὸν Θεὸν ὑβρίσει ποτέ· κἂν ὁ ἱερεὺς φαῦλος ᾖ ὁ Θεὸς ὁρῶν ὅτι διὰ τὴν πρὸς αὐτὸν τιμὴν καὶ τὸν οὐκ ἄξιον τιμῆς θεραπεύεις, αὐτὸς ἀποδώσει σοι τὴν ἀμοιβήν (Χρυσοστόμ. ὁμιλ. β', εἰς τὴν πρὸς Τιμόθεον.)*

*— Ἀγγέλων γὰρ ἔργον ἡ προσευχή, ὁ δὲ προσευχόμενος ἄγγελος κυρίου ἐστι. Μὴ γὰρ τὰ ἑαυτοῦ λέγει; εἰ καταφρονεῖς αὐτοῦ, οὐκ αὐτοῦ καταφρονεῖς, ἀλλὰ τοῦ χειροτονήσαντος αὐτὸν Θεοῦ. Καὶ πόθεν δῆλον ὅτι ὁ Θεὸς ἐχειροτόνησεν αὐτόν; φησί· οὐκοῦν, εἰμὴ ταύτην ἔχεις τὴν ὑπόληψιν, ἡ ἐλπίς σου κεκένωται· εἰ γὰρ μηδὲν ἐνεργεῖ ὁ Θεὸς δι' αὐτοῦ, οὔτε λουτρὸν ἔχεις, οὔτε μυστηρίων μετέχεις οὔτε εὐλογιῶν ἀπολαύεις· οὔτε ἄρα χριστιανὸς εἶ· τί οὖν; φησί, πάντας ὁ Θεὸς χειροτονεῖ, καὶ τοὺς ἀναξίους; πάντας μὲν*

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

*ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δ' αὐτὸς ἐνεργεῖ. (Χρυσο*
*λόγ. β'. εἰς τὴν πρὸς Τιμθ. Βαν ἐπιστλ.)*

## § 11. Ὅτι ὁ πνευματικὸς ποιμὴν ὀφείλει τὸν βίον πρὸς τὸ ἀξίωμα ἁρμόττειν.

— *Οὐ γὰρ λαλούντων, εὖ βιούντων δ' ἡ χάρις. (Γρηγ. Θεο*

— *Ὥσπερ λέων πρόβατα ποιμαίνειν οὐκ ἰσχύει,*
*ὥσπερ οὐκ ἔστιν εὐπρεπὲς ὄρνεις Κερδὼ ποιμαίνειν,*
*οὕτως οὐ δεῖ ψυχῶν ἡγεμονεύειν τοὺς ἐμπαθεῖς,*
*ἃς χρὴ προσάγειν τῷ Θεῷ παθῶν λελυτρωμένας.*

— *Εἰ δὲ ἄνθρωποι δώδεκα τὴν Οἰκουμένην ἅπασαν ἐξύμωσ*
*ἐννόησον ὅση ἡμῖν ἡ κακία, ὅταν τοσοῦτοι ὄντες τοὺς ὑπολει*
*μένους μὴ δυνηθῶμεν διορθοῦν, οἷς μυρίοις κόσμοις ἀρκεῖ*
*γενέσθαι ξύμηνον . . . . Διὰ τοῦτο ἀνέμιξεν ὁ Θεὸς τὰ πλήθη τ*
*αὐτῷ πιστεύουσιν ἵνα μεταδῶμεν ἀλλήλοις τῆς ἡμετέρας συνέσε*
*(Χρυσοστ.)*

— *Δεῖ ἕκαστον διὰ τῶν οἰκείων ἔργων πιστοῦσθαι τὸ ἑαυτ*
*ἐπάγγελμα. (Βασίλειος.)*

— *Ἡγούμενον σὲ κατέστησαν, μὴ ἐπαίρου, μὴ γίνου σκάνδ*
*λον, γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν· τὸν προεστῶτα μὴ ἐπαιρε*
*τὸ ἀξίωμα ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης .*
*ὅταν οἱ ἄρχειν λαχόντες ἀκλινῶς κατέχωσι τὴν τῆς δικαιοσύ*
*τρυτάνην . . . . παντοδαπῶν ἀγαθῶν τοῖς ἀρχομένοις προξενο*
*φοράν. Ἂν δὲ ὀλὴ καὶ σύνεσις ἀποχρῶσα καὶ φιλανθρωπίας*
*ταύτης δεομένῳ προστίθεται ψῆφος πολλαπλασίονα τοῖς ὑπηκό*
*ἐκ τῶν ἀρχείων ἀναβλαστάνει τὰ καλά. Ἐξαιρέτως τρεῖς εἰσιν*
*ἀρχῆς αἱ ἀρεταί, ἡ εὐσέβεια, ἡ φιλανθρωπία καὶ ἡ δικαιοσύνη.*

— *Τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγά*
*ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ . . . (Α. Τιμ. δ'. 1).*

— *Εἰς τὸν ἐπίσκοπον πᾶσαι ἐπηώρηνται τῶν ὑπηκόων αἱ χρεῖ*
*Τίνες δὲ αὗται; Τῶν ἱερωμένων αἱ δοκιμασίαι, τῶν πεινώντων*
*τροφαί, τῶν διψώντων τὰ πόματα, τῶν γυμνῶν τὰ ἄμφια, τ*
*ἀδικουμένων αἱ προστασίαι, τῶν ὀρφανίαν ὀδυρομένων αἱ κη*
*μονίαι, τῶν χηρῶν ἡ ἀντίληψις, τῶν ἀδικουμένων αἱ ἐπεξελεύσε*
*τῶν παρανόμως ἄρχειν πειρωμένων ἔλεγχοι, τῶν ἀρρωστούντων*
*θεραπεῖαι, τῶν σκανδαλιζομένων ἐκ πυρώσεως αἱ ἐπανορθώσε*
*τῶν ἐν δεσμωτηρίοις αἱ λύσεις, τῶν ἐν συμφοραῖς αἱ παραμυθί*
*τῶν πταιόντων οἱ σωφρονισμοί. (Ἰσιδ. Πηλουσ. βιβλ. Γ'. ἐπιστ. σι'*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τύπος πιστῶν, τουτέστι τὸ ἀρχέτυπον τοῦ βίου αὐτὸς ἔσο· ὥσπερ εἰκὼν προκείμενος, ὥσπερ νόμος ἔμψυχος, ὥσπερ κανὼν καὶ ὅρος τῆς εὐζωΐας. (Χρυσ. Τιμόθ. ὁμιλ. ιγ'.)*

— *Τῶν τοῦ πράου Δεσπότου καὶ σοφοῦ Διδασκάλου αὐχούντων εἶναι δούλων καὶ φοιτητῶν, καὶ τὴν τῆς ἱερωσύνης λειτουργίαν κεκληρῶσθαι ἐναβρυνομένων τινὲς μὲν εἰς τυραννίδα ἀπεχρήσαντο τῷ πράγματι, τινὲς δὲ εἰς χρηματισμόν, τινὲς δὲ εἰς τρυφήν. (Ἰσιδ. Πηλουσ. Βιβλ. β' ἐπιστ. ν'.)*

— *Τί ἀνθρώπου, προφήτευσον ἐπὶ τοὺς ποιμένας τοῦ Ἰσραήλ, προφήτευσον καὶ εἰπὲ τοῖς Ποιμέσι· τάδε λέγει Κύριος Κύριος· ὦ Ποιμένες Ἰσραήλ, μὴ βόσκουσι ποιμένες ἑαυτούς ; οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες ; Ἰδοὺ τὸ γάλα κατέσθετε,καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε. Τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε, καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, καὶ τὸ πλανώμενον οὐκ ἀπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ . . . Τάδε λέγει Κύριος Κύριος, ἰδοὺ ἐγὼ ἐπὶ τοὺς Ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν. (Ἰεζεκιήλ. λδ'. 2.)*

— *Χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. (Μαλαχ. β'. 7.)*

## § 12. Περὶ τοῦ προσέχειν ἑαυτῷ τὸν πνευματικὸν ποιμένα.

— *Οἱ δὲ ἐν τῇ κορυφῇ ταύτης καθήμενοι τῆς τιμῆς πρῶτον μὲν πᾶσιν εἰσὶ κατάδηλοι· ἔπειτα κἂν ἐν τοῖς μικροτάτοις σφάλλωνται, μεγάλα τὰ μικρὰ τοῖς ἄλλοις φαίνεται· οὐ γὰρ τῷ τοῦ γενόμενος μεγέθει, ἀλλὰ τῇ τοῦ διαμαρτόντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. (Χρυσ. λόγ. περὶ Ἱερωσύνης).*

— *Οὐ γὰρ ὑπὲρ στρατηγίας οὐδὲ ὑπὲρ βασιλείας ἡμῶν ὁ λόγος ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. Καὶ γὰρ τῶν ἀκτίνων τοῦ ἡλίου καθαρωτέραν τῷ ἱερεῖ τὴν ψυχὴν εἶναι δεῖ ἵνα μήποτε ἔρημον αὐτὸν καταλιμπάνῃ τὸ Πνεῦμα τὸ Ἅγιον ἵνα θύηται λέγειν· ζῶ δὲ οὐκ ἔτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός. (Χρυσ. λογ. περὶ Ἱερωσ.).*

— *Τὸ μὲν πταίειν τοῖς ὑπηκόοις τελοῦντα δεινόν, τὸ δὲ τὸν ἱερώμενον δεινότερον· τὸ δὲ τὸν τὴν ἀρχιερωσύνην κεκληρωμένον πάντων δεινότατον· ὅσῳ γὰρ ταῖς τιμαῖς προΰχουσι, τοσούτῳ καὶ τὸ ἁμάρτημα, εἰ γὰρ καὶ τὸ αὐτὸ εἴη, ἀργαλεώτερον γίνεται, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δράσαντος μετρούμενον. (Ἰσίδωρ. Πηλουσιώτης).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Πάλιν εἶπω, πάλιν λαλήσω· κἂν μὴ πάντες ἀκούσωσιν, οἱ ἡμίσεις ἀκούσονται· κἂν μὴ οἱ ἡμίσεις, τὸ τρίτον· κἂν μὴ τὸ τρίτον οἱ δέκα· κἂν μὴ δέκα πέντε· κἂν μὴ πέντε εἷς· κἂν μὴ εἷς, ἐγὼ τὸν μισθὸν ἀπηρτισμένον ἔχω. (Χρυσόστομος).

— Ἐγὼ ἀκόρεστος εἰμί, οὐ βούλομαι ὀλίγους σωθῆναι, ἀλλὰ πάντας, κἂν εἷς ἀπολεσθῇ ἐγὼ ἀπόλλυμαι· καὶ οἶμαι τὸν ποιμένα ἐκεῖνον μιμεῖσθαι, ὃς ἐννενήκοντα ἐννέα εἶχε πρόβατα καὶ ἐπὶ τὸ ἓν τὸ πεπλανημένον ἔδραμε . . . θέλεις με λιθάζειν; ἕτοιμος εἰμὶ τὸ αἷμα μου ἐκχέειν, μόνον τὴν ἁμαρτίαν σου κωλύω· ἐμοὶ οὐ μέλει μῖσος, οὐδὲ πόλεμος· ἑνὸς δὲ μόνου τῆς προκοπῆς τῶν ἀκουόντων. (Χρυσόστομ.)

— Χρὴ δὴ διαζῆν ἁγίως καὶ ὀρθοποδεῖν ἐν Ἐκκλησίᾳ τοὺς ἀπολέκτους ἱερουργούς, ἤτοι τοὺς κεκλημένους εἰς ἱερωσύνην. Ἔσονται γὰρ οὕτως εἰς ὑποτύπωσιν εὐκοσμίας καὶ πάσης ἀρετῆς τοῖς ὑπὸ χεῖρα λαοῖς, οἳ καὶ τὸν τῶν ὅλων καταγεραίρουσι Θεόν, τῆς τῶν ἱερέων πολιτείας τὸ λαμπρὸν καὶ ἐξαίρετον καταθεώμενοι κάλλος . . . Ὥσπερ γὰρ σκανδαλίζονται λαοί, ζῆν ἑλομένων ἐκτόπως τῶν ἱερέων· οὕτω πλείστην τε δόξαν καὶ λίαν ἀμφιλαφῆ κερδανοῦσι τὴν ὄνησιν, εἰ δή που θεάσαιντο πληροῦντας τὸ ἀγαθόν. (Κύριλ. Ἀλεξ. τόμ. ε΄, σελ. 328).

— Καὶ πρὶν μὲν λάβῃς τὴν τῆς ἐπισκοπῆς χάριν, οὐδεὶς ἐγίνωσκέ σε· γενόμενον δὲ λοιπόν, οἱ λαοὶ προσδοκῶσι φέροντά σε τροφὴν αὐτοῖς, τὴν ἐκ τῶν γραφῶν διδασκαλίαν. (Ἀθαν. Μεγ. ἐπιστ. πρὸς Δρακόντιον ἐπίσκοπον β΄.)

— Χθὲς καὶ πρώην εἷς ὑπάρχων τῶν πολλῶν καὶ τοῦ δήμου, ἀθρόον ἀποδείκνυσαι καθηγεμών, πρόεδρος, διδάσκαλος εὐσεβείας, μυστηρίων λανθανόντων μυσταγωγός. (Γρηγ. Νύσ. λογ. εἰς τὰ Φῶτα σελ. 581).

— Καὶ ἀπὸ τῶν προσρήσεων μόνον τῶν (πνευματικῶν ποιμένων) τοσοῦτον φέρουσιν (οἱ ποιμαινόμενοι) ἐγκλημάτων ἄχθος, ὡς καὶ βαρύνεσθαι καὶ καταπίπτειν ὑπὸ τῆς ἀθυμίας πολλάκις. Ἤδη δὲ καὶ βλέμματος εὐθύνας ὑπέχουσι· τὰ γὰρ ἁπλῶς παρ' αὐτῶν γινόμενα βασανίζουσιν ἀκριβῶς οἱ πολλοί, καὶ μέτρον φωνῆς ἐξετάζοντες, καὶ διάθεσιν ὄψεως, καὶ ποσότητα γέλωτος. (Χρυσ. περὶ Ἱερωσ. Γ΄. 1).

## § 13. Ὅτι χρὴ ἐμμένειν ἐν τῇ τοῦ ποιμνίου θεραπείᾳ.

— Οὐδὲ γὰρ ἐκείνων τῶν ἀνίατα νοσούντων ἀφίστασθαι χρὴ καὶ ἀμελεῖν κἂν προειδότες ὦμεν σαφῶς ὅτι πολλῆς ἀπολαύσαντες τῆς σπουδῆς καὶ τῆς συμβουλῆς οὐδὲν κερδανοῦσι πλέον . . .

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, οὐ τοσούτων ἐπαίνων ἄξιος, ὁ προειδὼς ὅτι πεισθήσεται πάντως ὁ δεχόμενος τὴν συμβουλὴν καὶ οὕτω συμβουλεύων· ὡς ὁ πολλάκις μὲν εἰπὼν καὶ συμβουλεύσας, καὶ ἀποτυχὼν οὐκ ἀφιστάμενος δὲ οὐδὲ οὕτω. (*Χρυσόστ. λογ. β΄. πρὸς Καλάνδας*).

— *Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον . . . ἡ ἐπιτίμησις τομῇ ἔοικεν· ἡ παράκλησις φαρμάκῳ ἱλαρῷ· ἐπίθες οὖν τὸ φάρμακον τῆς παρακλήσεως, ἵνα μὴ ἡ τομὴ μόνη τὰς ἀλγηδόνας σφοδροτέρας ποιοῦσα, εἰς ἀπόγνωσιν ῥίπτῃ . . . ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ τοῦτο πᾶσι τοῖς προρρηθεῖσι σύνταξον· καὶ ἐλέγχειν γὰρ ἐν πάσῃ μακροθυμίᾳ, μὴ ὡς ἐχθρῷ ποινὴν ἐπιτιθέντας, ἀλλ' ὡς τέκνῳ παιδείαν καὶ ἐπιτιμᾶν ὡσαύτως ἐν μακροθυμίᾳ, μὴ ἐν ἀπογνώσει· καὶ ἐν διδαχῇ ὡσαύτως· ἡ δὲ παράκλησις καὶ μάλιστα χρῄζει μακροθυμίας καὶ διδαχῆς· οὐκ ἐν τῇ τυχούσῃ δὲ μακροθυμίᾳ, ἀλλ' ἐν πάσῃ τουτέστι τῇ παντοιοτρόπως δεικνυομένῃ, καὶ δι' ἔργων καὶ διὰ λόγων καὶ διὰ σχημάτων. (Θεοφύλακτος).*

— *Ὀνομαστὶ μὲν οἱ ἀπόλεκτοι κέκληνται πρὸς ἱερουργίαν· κοὐ γὰρ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ κατὰ τὸ γεγραμμένον (Ἑβρ. ε΄. 4)· Ἴτω δὴ οὖν αὐτόμολος μηδεὶς εἰς τὸ ἱερᾶσθαι. Ὁ γοῦν ἁρπάζειν ἐπιχειρῶν, ὃ μὴ ταῖς ἄνωθεν ἔχει ψήφοις, τὴν Δαθὰν καὶ Ἀβειρὼν ὑφέξει δίκην. (Κυρίλ. Ἱεροσολ. ἐν Σειρ. Πατέρ. τόμ. β΄. σελ. 865 ἔκδ. Θεοτόκη).*

— *Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. (Ἰωάν. ιε΄. 16).*

— *Καὶ προσευξάμενοι εἶπον, Σὺ Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο τὸν ἕνα ὃν ἐξελέξω λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας . . . καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ τὸν Ματθίαν. (Πράξ. α΄. 24).*

— *Εἴτις ἐπισκοπῆς ὀρέγεται, βλεπέτω τοὺς πόνους, καὶ σκοπείτω εἰ πρὸς τούτοις ἀρκέσαι δύναται. Ὁράτω τοὺς κινδύνους, καὶ μὴ ἐνιοείτω μόνον τὴν τιμήν. Θεάσθω τὸν θάνατον, καὶ μὴ τὴν τρυφήν. Συνοράτω τὰς ἐπιβουλὰς καὶ τὰς φροντίδας, καὶ μὴ πρὸς τὴν ἄνεσιν νευέτω. Ἴστω ὅτι εἴ τις εἰς ἐκεῖνον ἄγεται τὸν θρόνον, χειροτονεῖται ἀθλήσων νομίμως, καὶ οὐκ ἀκινδύνως τρυφήσων. (Ἰσιδ. Πηλουσ. βιβλ. γ΄. ἐπιστ. σιζ΄.)*

— *Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. (Ἐγχειρ. Ἐπικτ. κεφ. ιθ΄.)*

— *Ὀρθόδοξον φέρων τὸ φρόνημα, ἐμφύλῳ τὴν χεῖρα μιάνας*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἵματι, ἢ τάφον ἀνορύξας, ἢ κατενεχθεὶς μέχρι σώματος εἰς ἐνοχλοῦσαν ἡδονήν, ἢ ἄλλης τινὸς οὐκ εὐαγοῦς πράξεως ἔνοχος γεγονώς, οὐκέτι, οὐδὲ πρὸς μετάνοιαν ἐπιστρεφόμενος, οὐδὲ διδοὺς πληροφορίαν μὴ διστάζουσαν τοῖς ἀδεκάστως κρίνουσι, τῶν μολυσμάτων κεκάθαρται. Ἀλλὰ γὰρ οὐδεὶς τῶν τοιούτων, μηδὲ τῶν ἄλλων ἀρετῶν ἐπιμαρτυρούντων, οὔμενουν οὐ νομίζεται τῆς ἱερωσύνης ἐπάξιος. (Φώτιος. Ἀμφιλοχ. Ἐρωτ. κ'.)

## § 14. Περὶ εὐτραπέλου.

— Εὐτράπελος, λέγεται ὁ ποικίλος, ὁ παντοδαπός, ὁ ἄστατος, ὁ εὔκολος, ὁ πάντα γινόμενος . . . Ταχέως τρέπεται ὁ τοιοῦτος καὶ μεθίσταται· δεῖ γὰρ αὐτὸν καὶ σχῆμα καὶ ῥῆμα καὶ γέλωτα καὶ βάδισιν καὶ πάντα μιμεῖσθαι· καὶ σκώμματα δὲ ἐπινοεῖν χρὴ τὸν τοιοῦτον· δεῖ γὰρ αὐτῷ καὶ τούτου . . . καὶ ἀνάγκη τὸν εὐτραπελευόμενον ἔχθρας ἀναδέχεσθαι περιττὰς τῶν εἰκῇ σκωπτομένων, ἄν τε παρῶσι, ἄν τε ἀπόντες ἀκούσωσιν (Χρυσ. ἐν τῇ πρὸς Ἐφεσ. ὁμιλ. ιζ'. γ'.)

— Μεγάλα κακὰ ἐν ψυχῇ εὐτραπελευομένῃ οἰκεῖ· μεγάλη διάλυσις καὶ ἐρημία, κέχηνεν ἡ ἁρμονία, σεσάθρωται ἡ οἰκοδομή, ὁ φόβος ἐξώρισται, ἡ εὐλάβεια ἀπέστη (αὐτόθι.)

— Εἴ τις ἄτιμος, εἴ τις αἰσχρός, οὗτος καὶ εὐτράπελος Πολλοῖς δὲ καὶ ἀρετὴ τὸ πρᾶγμα εἶναι δοκεῖ . . . Οὐδὲν τοῦ εὐτραπέλου ἀναισχυντότερον. Ὥστε οὐ χάριτος γέμει τὸ στόμα, ἀλλ' ὀδύνης . . . Ἤδη καὶ ἐν τῇ Ἐκκλησίᾳ εἰσῆκται, ἤδη καὶ τῶν Γραφῶν ἥψατο. Εἶπω τι, ἵνα δείξω τὴν ὑπερβολὴν τοῦ κακοῦ ; Αἰσχύνομαι μέν, πλὴν ἀλλ' ὅμως ἐρῶ. Ἔτυχέ τις ὢν παρά τινι τῶν ἐπὶ γνώσει μέγα φρονούντων· καὶ οἶδα μὲν γέλωτα κινήσων, πλὴν ἀλλ' ὅμως ἐρῶ· καὶ τοῦ πίνακος παρατεθέντος, ἔλεγε. Δράξασθε, παιδία, μήποτε ὀργισθῇ κοιλία. Καὶ πάλιν ἕτεροί φασιν. Οὐαί σοι, μαμμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε. (Χρυσ. ἐν τῇ πρὸς Ἐφέσ. ὁμιλ. ιζ'. γ')

— Ἅπας μὲν ὁ λόγος χηρεύων πραγμάτων νεκρός ἐστι καὶ ἀχρεῖος, μάλιστα δὲ ὁ παρὰ τῶν τῇ εὐαγεστάτῃ ἱερωσύνῃ σεμνυνομένων προφερόμενος· ὅσον γὰρ δοκοῦσι προχειρότατα αὐτῷ χρῆσθαι, τοσούτῳ μᾶλλον οἱ τῷ βίῳ αὐτῶν προσέχοντες ἀπιστοῦσιν αὐτῷ. (Ἰσίδ. Πηλουσ. βιβλ. δ'. ἐπιστ. ιη'.)

## § 15. Περὶ σεμνοπρεπείας, ἤτοι ἱεροπρεπείας.

— Τεκμηριοῖ πολλάκις τὴν τῆς ψυχῆς διάθεσιν οὐ χρόα μόνον προσώπου, ἀλλὰ καὶ κίνησις ὀφθαλμῶν, καὶ ὀφρύων συναγωγή τε καὶ ἄνεσις· Καὶ τὴν μὲν τοῦ θυμοειδοῦς ἐπανάστασιν τὸ βλο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συρὸν τῶν ὀφθαλμῶν ἐπισημαίνει· τὸ δὲ χαλαρὸν τῆς ἀθυμίας, αἱ τῶν βλεφάρων προδηλοῦσι στολίδες, ἐργαζόμεναι τὸ μειδίαμα, τὰς δὲ φρυτίδας, ἡ τῶν ὀφρύων κατὰ τὸ μέσον αἰνίττεται σύνοδος· τὸν δὲ τῦφον, ἡ τούτων αὐτῶν ἐπὶ τὰ ἄνω καμπυλοειδὴς ἀναχώρησις. (*Θεοδωρ. Περὶ Προνοίας λόγος η'. σελ. 701.*)

— Ἔστω καθαρὸν τὸ πρόσωπον· ὀφρῦς μὴ καθειμένη, μηδὲ ὄμμα ἀναπεπταμένον, μηδὲ ἀνακεκλασμένον· μὴ ὕπτιος ὁ τράχηλος, μηδὲ ἀνιέμενα τὰ τοῦ σώματος μέλη. (*Κλήμ. Ἀλεξ. Παιδαγ. βιβλ. Γ. κεφ. ια'.*

— Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνευτερίζοντι· καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω. (*Φωτ. ἐπιστ. η'.*)

— Δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος κόσμιον ὁρᾶσθαι καὶ σεμνὸν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον· ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. (*Φωτ. ἐπιστ. η'.*)

— Μὴ περιβλέπου ἐν ῥύμαις πόλεως καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ. (*Σειράχ. Θ'. 8.*)

— Δημότην μὲν γάρ, ἤ τινα τῶν τυχόντων διδόντα πληγὰς ἢ λαμβάνοντα δημοσίᾳ, καὶ φωνὰς ἀπρεπεῖς ἀφιέντα, καὶ ἐν καπηλείοις διαιτώμενον, καὶ ἄλλα παραπλήσια τούτοις ἀσχημονοῦντα, οὐκ ἄν τις ῥαδίως οὐδὲ παρατηρήσειεν· ἀκόλουθα γὰρ εἶναι τῇ ὅλῃ προαιρέσει τοῦ βίου καταδεχόμενος τὰ γινόμενα. Τὸν δὲ ἐν ἐπαγγέλματι ἀκριβείας, κἂν τὸ τυχὸν παρίδῃ τῶν καθηκόντων πάντες ἐπιτηροῦσι, καὶ ἀντ' ὀνείδους αὐτῷ προφέρουσι. (*Βασιλ. τοῦ Μεγάλ. ἐκ τῶν κατὰ πλάτ. ὅρ. ἐρώτ. κβ'.*)

— Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάριθι· παριὼν δὲ τὸ σεμνὸν καὶ τὸ εὐσταθὲς καὶ ἅμα ἀνεπαχθὲς φύλασσε. (*ἐγχειρ. Ἐπικτ. κεφ. λγ'.*

— Ποππυσμοί, καὶ συριγμοὶ καὶ οἱ διὰ τῶν δακτύλων ψόφοι, τῶν οἰκετῶν οἱ προκλητικοί, ἄλογοι σημασίαι οὖσαι, λογικοῖς ἀνθρώποις ἐκκλιτέον. Παραιτητέον δὲ καὶ τὸ συνεχὲς ἀποπτύειν, καὶ τὸ χρέμπτεσθαι βιαιότερον, μηδὲ ἀπομύττεσθαι παρὰ πότον. Στοχαστέον γὰρ ἀμηγέπῃ τῶν συνευωχουμένων, μὴ ἀποστέρξωσιν ὑπὸ ναυτίας τὴν τοιάνδε ἀκοσμίαν, ἣ κατήγορός ἐστιν ἀκρασίας. (*Κλήμ. Ἀλεξ. Παιδαγ. βιβλ. Β'. κεφ. ζ'.*)

— Τὸ τεθρυμμένον τῆς φωνῆς, θηλυδρίου· σώφρονος δὲ καὶ τὸ ἐν τῇ φωνῇ μεμετρημένον, μεγέθους τε ἅμα καὶ μήκους, καὶ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τάχους, καὶ πλήθους, εἴργοντος τὸ φθέγμα τὸ αὐτοῦ . . οὐ γὰρ τροχαλῶς καὶ συνδιωκομένως ὁμιλητέον (Κλήμ. Ἀλεξ. Παιδ. β. ξ'.)

— Πάντων τῶν λόγων, ἀπὸ διανοίας καὶ ἤθους ῥεόντων, οὐχ οἷόν τέ ἐστι γελοίους τινὰς προέσθαι λόγους, μὴ οὐχὶ ἀπὸ γελοίου ἤθους φερομένους. (Κλήμ Ἀλεξ. Παιδαγ. Β ε')

— Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν καὶ ἀνθρώποις ἐντυγχάνων. (Ἐπικτ. Ἐγχειρ. κεφ. λγ')

— Οὕτω ζῶμεν, ὥστε μὴ βλασφημεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ. Μὴ οὖν πρὸς δόξαν τὴν ἀνθρωπίνην βλέπωμεν, μήτε ὥστε πονηρὰν λαμβάνειν δόξαν, ἀλλ' ἐν ἑκατέρῳ τὴν συμμετρίαν τιμῶμεν· ἐν οἷς φαινεσθε, φησίν, φωστῆρες ἐν κόσμῳ (Φιλιππ. β'. 15). Διὰ τοῦτο γὰρ ἡμᾶς εἴασεν, ἵν' ὡς φωστῆρες ὦμεν, ἵνα διδάσκαλοι τῶν ἄλλων καταστῶμεν· ἵν' ὡς ἄγγελοι μετὰ τῶν ἀνθρώπων περιπολῶμεν. (Χρυσ. εἰς τὴν Α' πρὸς Τιμόθ. ὁμιλ. ι')

— Εἰς χρείαν τις κατέστη, καὶ οὐκ ὤρεξε χεῖρα ὁ Ἐπίσκοπος, μὴ δυνηθείς, ἢ ἑτέρωθι ἀσχοληθείς, οὐδεμία συγγνώμη, ἀλλὰ πάλιν κατηγορίαι. Καὶ ἀμύνασθαι οὐκ ἔχει· σπλάγχνα γάρ ἐστιν ἰδια. Καὶ ὥσπερ τὸ σπλάγχνον, κἂν οἰδαίνῃ, κἂν πόνον παρέχῃ καὶ τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολμῶμεν ἀμύνασθαι· οὐ γὰρ λαβόντες ξίφος διαρρηγνύομεν· οὕτω κἂν τῶν ἀρχομένων τις τοιοῦτος ἢ πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν τούτων, οὐ τολμῶμεν ἀμύνασθαι· πόρρω γὰρ ταῦτα πατρικῆς διανοίας· ἀλλ' ἀνάγκη φέρειν τὸν πόνον, ἕως ἂν ἐκεῖνος ὑγιαίνῃ καλῶς. (Χρυσοστ. εἰς τὴν πρὸς Τίτ. ὁμιλ. α'.)

— Τὸ ἀρχέτυπον τοῦ βίου αὐτὸς ἑσο, ὥσπερ εἰκὼν προκείμενος, ὥσπερ νόμος ἔμψυχος, ὥσπερ καιὸν καὶ ὅρος τῆς εὐζωΐας. (Χρυσοστ. Ὁμιλ ΙΓ' εἰς Τιμόθ. α'. δ'. 11.)

— Οὐ πολὺ τὸ μέσον αὐτῶν (τῶν Πρεσβυτέρων) καὶ Ἐπισκόπων. Καὶ γὰρ καὶ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς Ἐκκλησίας. Καὶ ἃ περὶ Ἐπισκόπων εἶπε, ταῦτα καὶ Πρεσβυτέροις ἁρμόττει· τῇ γὰρ χειροτονίᾳ μόνῃ ὑπερβεβήκασι, καὶ τοῦτο μόνον δοκοῦσι πλεονεκτεῖν τοὺς Πρεσβυτέρους. (Χρυσ. α'. Τιμ. ὁμιλ. ιδ'.)

— Χρὴ πάντοθεν αὐτοῦ (τοῦ ἱερέως) τὸ κάλλος ἀποστίλβειν τῆς ψυχῆς, ἵνα καὶ εὐφραίνειν ἅμα καὶ φωτίζειν δύνηται τὰς τῶν ὁρώντων ψυχάς. Τὰ μὲν γὰρ τῶν τυχόντων ἁμαρτήματα, ὥσπερ ἔν τινι σκότῳ πραττόμενα, τοὺς συναδικουμένους ἀπώλεσε μόνους· ἀνδρὸς δὲ ἐπιφανοῦς καὶ πολλοῖς γνωρίμου πλημμέλεια κοινὴν ἅπασι φέρει βλάβην, τοὺς μὲν ἀναπεπτωκότας πρὸς τοὺς ὑπὲρ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαθῶν ἱδρῶτας ὑπτιωτέρους ποιοῦσα, τοὺς δὲ προσέχειν ἑαυτοῖς βουλομένους ἐρεθίζουσα πρὸς ἀπονίαν. (Χρυσοστ. περὶ Ἱερωσ. λόγ. Γ ιδ΄.)

— Νηφάλιον εἶναι δεῖ τὸν ἱερέα καὶ διορατικὸν καὶ μυρίους πανταχόθεν κεκτῆσθαι τοὺς ὀφθαλμούς, οὐχ ὡς ἑαυτῷ μόνον, ἀλλὰ καὶ πλήθει ζῶντα τοσούτῳ· οὐ γὰρ τῷ τοῦ γεγονότος μεγέθει, ἀλλὰ τῇ τοῦ διαμαρτάνοντος ἀξίᾳ τὴν ἁμαρτίαν μετροῦσιν ἅπαντες. (Χρυσοστ. περὶ Ἱερωσ. λογ. Γ. ιβ΄.)

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

### Περὶ ἐνδυμασίας τοῦ ἱερέως.

— Χρήσιμον καὶ τὸ τῆς ἐσθῆτος ἰδίωμα, προκηρυττούσης ἕκαστον καὶ προδιαμαρτυρομένης τὸ ἐπάγγελμα τῆς κατὰ Θεὸν ζωῆς ὥστε ἀκόλουθον καὶ τὴν πρᾶξιν παρὰ τῶν τυγχανόντων ἡμῖν ἀπαιτεῖσθαι· οὐ γὰρ ὁμοίως τὸ ἀπρεπὲς καὶ ἄσχημον ἐν τοῖς τυχοῦσι καὶ ἐν τοῖς μεγάλα ὑπισχνουμένοις διαφαίνεται. (Βασιλ. τοῦ Μεγ. ἐν τοῖς κατὰ Πλάτ. ὁμ. Ἐρώτ. κβ΄.)

— Ὡς οὖν ἔστι τι στρατιώτου ἴδιον ἐν τῷ ἐνδύματι, καὶ ἄλλο τοῦ συγκλητικοῦ, καὶ ἄλλο ἄλλου, ἀφ' ὧν εἰκάζεται αὐτῶν, ὡς ἐπὶ τὸ πλεῖστον, τὰ ἀξιώματα, οὕτως εἶναί τινα καὶ χριστιανοῦ ἰδιότητα καὶ ἀπὸ τῆς ἐσθῆτος τὸ εὐπρεπὲς καὶ ἀκόλουθον σώζουσαν τὴν ἀπὸ τοῦ Ἀποστόλου παραδεδομένην κοσμιότητα, ποτὲ μὲν τὸν ἐπίσκοπον κόσμιον εἶναι διοριζόμενον, ποτὲ δὲ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ εἶναι διατασσομένου. (Μεγ. Βασιλ. ἐν τοῖς κατὰ Πλάτ. ὁρ. Ἐρώτ. κβ΄ (α΄ Τιμ. γ΄. 2.)

— Ἡ διὰ τοῦ σχήματος ἐπαγγελία οἱονεὶ παιδαγωγία τίς ἐστι τοῖς ἀσθενεστέροις πρὸς τὸ καὶ ἄκοντας αὐτοὺς ἀπὸ τῶν φαύλων εἴργεσθαι. (αὐτόθι.)

— Ὁρᾷς ἄνδρα ἀκολούθους ἔχοντα πολλούς, σοβοῦντα διὰ τῆς ἀγορᾶς, σηρικὰ ἠμφιεσμένον ἱμάτια, ἵππῳ ὀχούμενον, τὸν αὐχένα τείνοντα; μὴ καταπλαγῇς ἀλλὰ γέλασον. (Χρυσ. ἐν τῇ πρὸς Τιμόθ. ὁμιλ. α΄.)

— Χιτὼν διὰ ζώνης προσεσταλμένος τῷ σώματι· τὸ μέν τοι ζῶσμα μήτε ἄνω τῶν λαγόνων, γυναικῶδες γάρ· μήτε χαῦνον, ὥστε διαρρεῖν τὸν χιτῶνα, βλακικὸν γάρ· καὶ τὸ βάδισμα μήτε νωθρόν, ὡς ἐκλυσιν τῆς ψυχῆς κατηγορεῖν· μήδ' αὖ σφοδρὸν καὶ σεσοβημένον, ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. (Βασιλ. πρὸς Γρηγ. τὸν Θεολ. Ἐπιστ. Β΄.)

— Σκοπὸς ἐσθῆτος εἶς, κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὐτάρκες. Μήτε ἐν χρώματι τὸ ἀνθηρὸν διωκέσθω, μήτε

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν· τὸ γὰρ τὰς ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν, ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν, ἀλλοτρίῳ ἄνθει παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι.

Μὴ ἐσθῆτι μαλακισθῶμεν ἁπαλῇ τε καὶ περιῤῥεούσῃ, καὶ ἧς τὸ κάλλιστον ἀχρηστία.

Οὐ χρυσὸς ἐκείνῃ ἦν ὁ κόσμος, ἐν τέχνῃ πονηθεὶς εἰς κάλλους περιουσίαν· οὐ ξανθαὶ πλοκαμῖδες, διαφαινόμεναί τε καὶ ὑποφαινόμεναι καὶ βοστρύχων ἕλικες, σοφίσματα σκηνοποιούντων τὴν τιμίαν κεφαλὴν τιμῶσιν· οὐκ ἐσθῆτος περιῤῥεούσης καὶ διαφανοῦς πολυτελείας, οὐ λίθων αὐγαὶ καὶ χάριτες χρωννῦσαι τὸν πλησίον ἀέρα, καὶ τὰς μορφὰς περιλάμπουσαι· οὐ ζωγράφων τέχναι καὶ γοητεύματα, καὶ τὸ εὔωνον κάλλος, ἀλλὰ τὴν ῥέουσαν εὐμορφίαν ταῖς ἐπὶ θεάτρων παρῆκε καὶ τριόδων, καὶ ὅσαις αἰσχύνη καὶ ὄνειδος τὸ αἰσχύνεσθαι (*Γρηγ. Ναζ.*)

Τὸ εὐειματεῖν μειρακιῶδές ἐστι μόνου, καὶ ἐν μόνῃ δονήσει τὸ ἡδὺ ἔχει καὶ τοὺς ὀφθαλμοὺς διαπαίζει. (*Κυρίλλου.*)

Αὐτὸς ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχὸς καμήλου καὶ, ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. (*Ματθ. γ'. 4.*)

Τὸν σκοπὸν τῆς χρήσεως τοῦ ἐνδύματος ὑπέβαλεν ἡμῖν ὁ Ἀπόστολος διὰ μιᾶς λέξεως, εἰπών· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· ὡς τῆς σκεπῆς ἡμῶν προσδεομένων μόνης, οὐκέτι μέντοι καὶ τῆς ποικιλίας τοῦ ἀπ' αὐτῆς καλλωπισμοῦ εἰς τὴν ἀπηγορευμένην περπερείαν ἐκπιπτόντων, ἵνα μή τι χεῖρον λέγω· ταῦτα γὰρ ὕστερον ἐπεισήχθη διὰ τῆς περιέργου ματαιοτεχνίας· δηλοῖ δὲ καὶ ἡ πρώτη τῶν σκεπασμάτων χρῆσις, ἣν αὐτὸς ὁ Θεὸς τοῖς ἐπιδεηθεῖσι δέδωκεν· ἐποίησε γὰς αὐτοῖς ὁ Θεὸς χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς· πρὸς γὰρ τὴν τῶν ἀσχημόνων ἐπικάλυψιν ἐξήρκει ἡ τοιαύτη τῶν χειτόνων χρῆσις· ἐπειδὴ καὶ ἕτερος σκοπὸς συνεισέρχεται, τὸ θάλπεσθαι διὰ τῶν σκεπασμάτων, ἀνάγκη ἀμφοτέρων ἐστοχασμένως τὴν χρῆσιν εἶναι, τοῦ τε περιστέλλειν ἡμῶν τὰ ἀσχήμονα καὶ τοῦ ἀλεξήματα εἶναι πρὸς τὴν ἐκ τῶν ἀέρων βλάβην. (*Βασιλείου λόγος κβ'.*)

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

### Περὶ πολυτελείας.

— Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσει ἐφ' ἃ δεῖ. (*Πλουτάρχ.*)

— Κάτων τῆς πολυτελείας καθαπτόμενος, εἶπεν ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα οὐκ ἔχουσαν. (*Κάτων Ρωμαῖος.*)

— Τίς ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν πονεῖν μὲν μηδὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα ; (Ξενοφ. Ἀπομνημ. 2, 1, 15.)

— Πόλις τε οὐδεμία ἂν ἠρεμῆσαι κατὰ νόμους οὐδ' οὐστινασοῦν, ἀνδρῶν οἰομένων ἀναλίσκειν μὲν δεῖν πάντα εἰς ὑπερβολάς, ἀργῶν δὲ εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γίγνεσθαι, πλὴν εἰς εὐωχίας καὶ πότους καὶ ἀφροδισίων σπονδὰς διαπονουμένων. Ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς πόλεις εἰς τυραννίδας τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας μηδέποτε λέγειν. (Πλάτ. Ἐπιστολαί.)

— Τί γὰρ ἂν διαφέροι, τῷ γε νοῦν ἔχοντι, ξυστίδα ἀναβεβλῆσθαι, (ξυστίς ἐστι λεπτὸν καὶ μακρὸν ἔνδυμα γυναικεῖον θεατρικόν), ἢ τῶν φαύλων ἱματίων φέρειν, ἕως μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε καὶ θάλπος εἶναι ἀλεξιτήριον ; (Βασιλείου.)

— Ὑμεῖς αἱ χρυσοφοροῦσαι γυναῖκες, . . . . . ὀψὲ γοῦν ποτε τὴν νόσον ἀπώσασθε τῆς τῶν χρυσῶν ἐπιθυμίας . . . . Τί τὸ ὄφελος, εἰπέ μοι τῶν λίθων τῶν τιμίων τούτων καὶ τῶν χρυσοπάστων ἱματίων ; . . . . . Ἐπὶ τίνι γὰρ τῶν πνευματικῶν, ὡς χρή, σπουδάσει ποτὲ ἔργων ; Πότε δὲ καταγελάσεται, ὡς δεῖ, τῶν βιωτικῶν πραγμάτων ἡ χαρᾶς ἄξιον εἶναι νομίζουσα τὸ δεδέσθαι χρυσῷ ; ..... Τί οὖν τὸ κέρδος τοῦ κόσμου τούτου, καὶ τῆς βλακείας ταύτης ; εἰπέ μοι. Τίνες οὖν ἐντεῦθεν αἱ βλάβαι ; ἡ φρονεῖς, ἢ μείζων τῆς ἡδονῆς. Διὸ πολλοὶ τῶν ὁρώντων τέρπονται μᾶλλον, ἢ ἡ περικειμένη. Σὺ μὲν γὰρ μετὰ μερίμνης καλλωπίζῃ, ἐκεῖνοι δ' ἄνευ ταύτης ἐστιῶσι τὰς ὄψεις . . . Ἀλλ' ἐπιστρέφεις φαινομένη ἐπὶ τῆς ἀγορᾶς· δι' αὐτὸ μὲν οὖν τοῦτο χρυσοφορεῖν οὐκ ἔδει, ἵνα μὴ κοινὸν γένῃ θέατρον, καὶ πολλῶν κατηγόρων ἀνοίξῃς στόματα· οὐδεὶς γάρ σε τῶν ἐπιστρεφομένων θαυμάζει, ἀλλὰ σκώπτουσιν ὡς φιλόκοσμον, ὡς ἀλαζόνα, ὡς σαρκικὴν γυναῖκα . . . . . Ἐννόησον ὅσα ἐντεῦθεν τίκτεται τὰ κακά . . . . . πόσοι ἄνδρες ἐνοχλοῦνται ; πόσοι ἀπάγονται ; πόσοι δεσμωτήρια οἰκοῦσι ; Καὶ δικαστήρια ἐντεῦθεν καὶ κατηγορία τῇ γυναικὶ παρὰ τοῦ ἀνδρός, τῷ ἀνδρὶ παρὰ φίλων, τῇ ψυχῇ παρ' ἑαυτῆς . . . . Ποία γὰρ ἐντεῦθεν πρόσοδος τῇ οἰκίᾳ ; τί τὸ ὄφελος αὐτῇ τῇ περικειμένῃ ; ὄφελος μὲν οὐδέν, ἀκοσμία δὲ πολλή, καὶ κατηγορία πάντοθεν. (Χρυσοστόμου.)

— Εἶναι βούλου περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. (Ἰσοκράτης.)

— Μὴ λίαν πολυτελῶς, μήτε ἄγαν εὐτελῶς πειρῶ τὰ περὶ τὴν ἐσθῆτα τὸ σῶμα διοικεῖν· τὸ μὲν γὰρ φθονεῖσθαι ἢ γελᾶσθαι, τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι ποιεῖ. — Μὴ τὴν πολυτέλειαν προσήκειν θαυμάζειν, ἀλλὰ τὴν τῶν χρειωδῶν, κἂν εὐτελῆ τυγχάνῃ, περιποίσιν. (Πλουτάρχου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἱ τοὺς θρόνους φέροντες ὡραϊσμένους καὶ ταῖς ῥεούσαις ἐξοχαῖς ἐπηρμένοι, σκοπεῖτε τὴν ἄφυκτον ἐσχάτην δίκην· οὐδὲν αὐτὴν οὐδαμοῦ παραβράμοι.

Ἐνδύσεται ὁ Ἱερεὺς χιτῶνα λινοῦν, καὶ περισκελὲς λινοῦν ἐνδύσεται τὸ σῶμα αὐτοῦ. (Λευϊ ς'. 10.)

Ἱμάτιον ὑφασμένον ἔκδυε κίβδηλον· οὐκ ἐπιβαλεῖς σεαυτῷ. (αὐτόθι.)

Οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ μὴ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν· ὅτι βδέλυγμά ἐστι Κυρίῳ πᾶς ποιῶν ταῦτα. οὐκ ἐνδύσῃ κίβδηλον, ἔρια καὶ λίνον ἐπὶ τὸ αὐτό. (Δευτ. κβ'. 5 11.)

Ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά. (Ἐκκλ. θ'. 8.)

Ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ. (Σειράχ. ια'. 24.)

Τάδε λέγει Κύριος· ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ ταπεινώσει ὁ Θεὸς ὀρχούσας θυγατέρας Σιών, καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοὺς κόσμους αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς δακτυλίους, καὶ τὰ περιδέξια, καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικά, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον, σὺν χρυσίῳ, καὶ ὑακίνθῳ συγκαθυφασμένα· καὶ ἔσται σοι ἀντὶ ὀσμῆς τῆς ἡδείας, κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου, φαλάκρωμα ἕξεις, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον. (Ἡσαΐ. γ'. 16 24.)

Τῆς χρήσεως τὸ μέτρον, ἡ ἀπαραίτητος ἀνάγκη τῆς χρείας, εἰδὲ ὑπὲρ τὴν χρείαν, πλεονεξίας, ἢ φιληδονίας, ἢ κενοδοξίας ἔχει τὴν νόσον. (Βασιλείου.)

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

### Περὶ εὐσεβείας καὶ θεοσεβείας.

— Φιλόσοφοι ὅσοι τὴν εὐσέβειαν ὡρίσαντο θεραπείας θεῶν ἐπιστήμην εἶναι. (Πλουτ. Αἰμίλ. Παῦλ. 3.)

— Μεῖζον μὲν γὰρ ἀρετῆς μηδεὶς ἡμᾶς ποτε πείθει τῆς εὐσεβείας εἶναι τῷ θνητῷ γένει. (Πλάτ. ἐπινομ. 989.)

— Τοὺς ἀρίστους, καὶ θεοφιλεστάτους ἔφη Σωκράτης εἶναι. (Ξεν. Ἀπομ. γ'. 2, 15).

— Εἰ τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς. (Ξεν. Ἀπομ. β'. 1, 28.)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τοῦτ' ἐννοεῖσθ', ὅταν*
*πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς τοὺς θεούς.* (*Σοφ. Φιλοκτ. 1426.*)

— *Θεοσεβῆ φῶτα κεδνὰ πράξειν.* (*Εὐριπ. Ἄλκηστ. 605.*)

= *Ξέρξης δὲ ὡς κατὰ τὸ ἄλσος ἐγένετο, αὐτός τε ἔργετο αὐτοῦ καὶ τῇ στρατιῇ πάσῃ παρήγγειλεν.* (*Ἡροδ. 7, 197.*)

— *Ἐκπλήττεσθαι καὶ δεδιέναι τοὺς Θεοὺς κατὰ τὸ κύριον καὶ δυνατόν.* (*Πλουτ. Ἀριστ. 6.*)

— *Οὐδένα ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνοῦσιν.* (*Ξενοφ. Ἀνάβ. γ'. 2, 13.*)

— *Πείσομαι δὲ μᾶλλον τῷ Θεῷ ἢ ὑμῖν.* (*Πλάτ. Ἀπολ. 17.*)

— *Ἀλλ' αἰδεῖο θεούς, Ἀχιλλεῦ, αὐτόν τ' ἐλέησον.* (*Ὁμ. Ἰλ. κδ'. 503.*)

— *Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως, καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι τὸ πείθεσθαι αὐτοῖς καὶ εἴκειν πᾶσι τοῖς γενομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις.* (*Ἐπικτ. Ἐγχειρ. 31.*)

— *Ταῦτα κελεύει ὁ Θεός, εὖ ἴστε, καὶ ἐγὼ οἶμαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει, ἢ τὴν ἐμὴν τῷ Θεῷ ὑπηρεσίαν.* (*Πλάτ. Ἀπολ. 30.*)

— *Πάντα τὰ πράγματα Ρωμαίοις εἰς τὸν Θεὸν ἀνήγετο, μαντειῶν δὲ καὶ πατρίων νομίμων ὑπεροψίαν οὐδ' ἐπὶ ταῖς μεγίσταις εὐπραξίαις ἀπεδέχοντο, μεῖζον ἡγούμενοι πρὸς σωτηρίαν πόλεως τὸ θαυμάζειν τὰ θεῖα τοὺς ἄρχοντας, ἢ τὸ κρατεῖν τῶν πολεμίων.* (*Πλουτ. Μάρκελλ. 4.*)

— *Ἀγαπᾶν καὶ τιμᾶν καὶ σέβεσθαι τοὺς θεοὺς κατὰ τὴν δικαιοσύνην.* (*Πλουτάρχ. Ἀριστ. 6.*)

— *Τῷ δὲ θεοφιλεῖ οὐχ ὁμολογήσομεν, ὅσα γε ἀπὸ θεῶν γίγνεσθαι ὡς οἷόν τε ἄριστα;* (*Πλ. πολιτεία ι'. 612.*)

— *Οὐ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς.* (*Σοφοκλ. Φιλ. 1448.*)

— *Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε ἐπαινῶ ὅσον δύναμαι, καὶ ὑμεῖς πάντες, οἶμαι· τούτων μὲν οὖν χρὴ χαριστήρια, ὧν ἂν ἔχωμεν, τοῖς θεοῖς ἀποτελεῖν.* (*Ξεν. Κύρου παιδ. δ'. 1, 2.*)

— *Ἐγὼ μὲν νυν θεοῖσιν ἔχω χάριν, οἵ οὐκ ἐπὶ νόον ποιεῦσι. Πέρσῃσι στρατεύεσθαι ἐπὶ Αυδούς.* (*Ἡροδ. 1, 71.*)

— *Ἱερὸν καὶ ἄσυλον οὐδὲν οὕτως ἐστὶν ὡς τὰ τῶν Θεῶν ἀναθήματα.* (*Πλουτ. Τιβ. Γράκχ. 15.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τοὺς γὰρ εὐσεβεῖς θεοὶ*
*θνήσκοντας οὐ χαίρουσι, τούς γε μὴν κακοὺς*
*αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.* (*Εὐριπ. Ἱππόλυτ 1339.*)

— *Οἱ ἀρχαῖοι τὰ παρὰ θεῶν ἢ παρὰ ἀνθρώπων ἐπρέσβευον μᾶλλον καὶ ἐσέμνυνον.* (*Στράβ. ιδ'. 762.*)

— *Χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν τιμᾶν τοὺς θεούς.* (*Ξενοφ. ἀπομν. δ', 3, 17.*)

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

### Περὶ εὐσεβείας, ἀσεβείας καὶ δεισιδαιμονίας.

— *Τάξις ἀρίστη παντὸς ἀρχομένῳ καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι.* (*Γρηγορ. τοῦ Θεολόγου*).

— *Θεὸς ἐμοὶ δόξα καὶ πλοῦτος καὶ καύχημα· τὸ γλυκύτατον καὶ ἡδιστον ὑπὲρ πᾶν πρᾶγμα· τὸ μελέτημα καὶ ἐντρύφημα τοῖς σωζομένοις χριστιανοῖς. Θεοῦ εἰμι ὅλος εἰκών. Θεοῦ θεία χάριτι γένος· θεόθεν μοι τὸ εἶναι, τὸ κινεῖσθαι· θεόθεν τὸ ἀναπνεῖν· θεόθεν τὸ φθέγγεσθαι. Θεῷ καθ' ἑκάστην τὸ πνεῦμά μου παρατίθημι. Θεῷ τὰς εὐχάς μου, ὅσαι ὧραι, προσάγω Θεῷ καὶ ζῶ, καὶ δουλεύω, καὶ πάρειμι. Θεὸν τὸν μέγαν καὶ ἰσχυρὸν καὶ ζῶντα, πάροχον καὶ συλλήπτορα καὶ τελεστὴν τῶν καλῶν εὐμοιρῶν. Θεὸν κριτὴν φοβερὸν ἐμοὶ τῶν εὖ πεπραγμένων ἐκδέχομαι· καὶ πῶς λοιπὸν ἄλλοθεν ἄρξομαι, ἀλλ' ἢ ἐκ Θεοῦ;* (*Βρυεννίου*).

— *Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.* (*Πέτρου*).

— *Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ λιβάνου, καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. — Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.* (*Δαυΐδ*).

*Τέκνον, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε.— Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς μηδὲ ζητήσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ· ἔκκλινον δὲ ἀπ' αὐτῶν, καὶ παράλλαξον. — Αἱ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, καὶ οὐκ οἴδασι πῶς προσκόπτουσι.* (*Παροιμ.*)

— *Παντὸς δυνατωτέρα ἐστὶν ἡ εὐσέβεια· ἡ δὲ θεοσέβεια θησαυρὸς ἀδιάπτωτος.— Ἄνθρωπος εὐσεβὴς ἐν σοφίᾳ μένει, ὡς ὁ ἥλιος* (*Σειράχ*).

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*Εὐσέβεια πάσης εὐγενείας ἀνωτέρα. Εὐγένειαν δὲ λέγω, οὐχ ἣν οἱ πολλοὶ νομίζουσιν· ἄπαγε ! ἀλλ' ἣν χαρακτηρίζει καὶ τρόπος, καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἄνοδος, ὅθεν γεγόναμεν. — Εὐσεβείας ἐπὶ πᾶσι φροντιστέον, ἣν μητέρα φασὶ τῶν ἀρετῶν, ὀρθῶς λέγοντες· αὕτη γάρ ἐστιν ἀρχὴ καὶ τελευτὴ πασῶν τῶν ἀρετῶν. — Μόνον ἀμετάπτωτον ἀγαθὸν καὶ παραμένον ἡ εὐσέβεια. — Μόνη δὲ ἡ εὐσέβεια πλοῦτος κοινὸς καὶ ὁμότιμος, ἐν ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρὸν ὁ πάνυ πένης, ἂν ᾖ μεγαλόψυχος, (Γρηγορίου τοῦ Θεολόγου).*

*— Τί γὰρ ὄφελος ἐν τῇ πίστει εὐσεβοῦντας, διὰ βίου ἀσεβεῖν ; (Χρυσοστόμου).*

*— Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἔτη ἀσεβῶν ὀλίγα. — Οὐαὶ αὐτοῖς, ὅτι ἐπεπήδησαν ἀπ' ἐμοῦ· δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ γὰρ ἐλυτρωσάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. (Ὡσηέ).*

*Πρόσωπα ἀσεβῶν ἀτιμίας ἐμπλησθήσονται. — Ἐλπὶς ἀσεβοῦς ἀπολεῖται. — Πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· ὅταν δοκῇ εἰρηνεύειν, τότε ἥξει αὐτῷ ἡ καταστροφή. — Ἥξει τοῖς ἀσεβέσιν ἡ καταστροφή, καὶ ἔσονται ὥσπερ ἄχυρα ὑπὸ ἀνέμου. (Ἰώβ).*

*Οὐλὲν γὰρ ὧν ἐσχήκαμεν, ἔχομεν ἴδιον· ἑνὸς κτήματος μόνου, τῆς εὐσεβείας, ἐσμὲν ἰδιοκτήτορες· ταύτην οὖν θάνατος ἐπελθὼν οὐ συλήσει, τῶν δὲ ἄλλων ἁπάντων ἐκβαλεῖ καὶ μὴ θέλοντας. — Εὐσεβὴς οὐχ ὁ πολλοὺς ἐλεῶν, ἀλλ' ὁ μηδένα ἀδικῶν. — Ἡ εὐσέβειά ἐστιν ἡ κεφαλὴ καὶ ὁ θεμέλιος, καὶ ἡ κρηπὶς πάντων τῶν καλῶν. (Ἰωάν. τοῦ Κλίμακος).*

*Εὐσέβεια μέση ἀσεβείας, δυσσεβείας καὶ δεισιδαιμονίας· ὥσπερ τοῦ σωματικοῦ κάλλους ὅρος τῶν μελῶν συμμετρία, οὕτω καὶ τοῦ ψυχικοῦ κάλλους ἔσχατος ὅρος, ἡ τῶν ἀρετῶν συμμετρία. Αἱ γὰρ ἀκρότητες εἰς κακίαν ἐκπίπτουσιν, ὥς τινες τῶν σοφῶν ἀπεφήναντο. — Ὥσπερ ἐπὶ τοῦ σώματος τὸ τυραννικώτατον μέρος τῆς εὐμορφίας τὸ τῶν ὀφθαλμῶν ἐστι κάλλος, οὕτω καὶ ἐπὶ ταῖς ψυχαῖς, τὸ κορυφαιότατον μέρος τῆς εὐμορφίας ἐστὶν ἡ εὐσέβεια. — Ἀρετῆς τοίνυν καὶ εὐσεβείας ἀνθεκτέον· ὡς ἡ μὲν θεμέλιός ἐστιν, ἡ δὲ στεφάνη καὶ ἐγκαλλώπισμα. — Εὐσέβεια ἀρχόντων, στέφανος χρυσοῦς ἐκ λίθων τιμίων συνηρμοσμένος. Ἀρχὴ δὲ ὁδοῦ ἀγαθῆς ποιεῖν δίκαια καὶ ἀληθεύειν. (Ἰσιδώρου).*

*— Ὅταν οἱ ἄρχειν λαχόντες ἀκλινῶς κατέχωσι τὴν τῆς δίκης τρυτάνην, καὶ ἴσως τὴν ἀρτάνην ἀνέλκωσι, παντοδαπῶν ἀγαθῶν τοῖς ἀρχομένοις προξενοῦσι φοράν. Ἂν δὲ δὴ καὶ σύνεσις ἀποχρῶσα προσῇ καὶ φιλανθρωπίας τῷ ταύτης δεομένῳ προστίθεται*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψῆφος, πολλαπλάσια τοῖς ὑπηκόοις ἐκ τῶν ἀρχείων ἀναβλαστάνει καλά. Εὔχομαι δὲ προστεθῆναι τοῖς ἄλλοις καλοῖς καὶ τὸν κολοφῶνα τῶν ἀγαθῶν, τὴν εὐσέβειαν, ἵνα μὴ χωλεύῃ τῶν ἐγκωμιαζομένων ὁ ἔπαινος. (Θεοδωρήτου).

Εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν ἂν τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τοῦ κύκνου· νῦν δὲ λογικός εἰμι, ὑμνεῖν με δεῖ τὸν Θεόν· τοῦτό μου τὸ ἔργον ἐστί· ποιῶ αὐτό. (Ἐπικτήτου).

Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς Θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. (Ἰσοκράτους).

— Ἀρχὴ ἀρίστη, πάντων μὲν ὁ Θεός· ἀρετῶν δὲ ἡ εὐσέβεια. Ὥσπερ φασὶν ἐν ἰατρικῇ, τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁπόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις, ὕλην ὑποβαλὼν τῇ κακοχυμίᾳ· οὕτω καὶ τὴν ψυχὴν μοχθηροῖς δόγμασι προκατειλημμένην, ὁπόσῳ ἂν διδάξῃς, μᾶλλον βλάψεις, μείζονας ἀρχὰς αὐτῇ τῆς ψευδοδοξίας παρέχων. (Ἀριστοτέλους).

Ἡ ἀληθὴς ἱεραρχία τίς ἂν εἴη, πλὴν ἡ ψυχῆς θεοφιλοῦς εὐσέβεια; ἧς τὸ εὐχάριστον ἀθανατίζεται παρὰ τῷ Θεῷ, συνδιαιωνίζον ἡλίῳ καὶ σελήνῃ καὶ παντὶ τῷ κόσμῳ. (Φίλωνος).

Πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν; — Πειρᾶσθε οὖν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου, ὡς τῶν θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν πολεμικῶν ἔργων. (Σωκράτους).

Πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια. — Εὐσέβεια εἰς Θεόν, ἀρχὴ αἰσθήσεως.— Εὐσεβῶν μέν, τὸ παντὶ αἰτοῦντι διδόναι· εὐσεβεστέρων δὲ καὶ τῷ μὴ αἰτοῦντι. — Ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι τῶν κακῶν ἐστιν ἐπιστήμη. — Πειθαρχεῖν δεῖ τῷ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.— Τοὺς δοξάσαντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται. — Ὑψώσω σε Κύριος ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. (Διαφόρων).

— Τῆς περὶ Θεὸν ἀμαθίας καὶ ἀγνοίας εὐθὺς ἐξ ἀρχῆς δίχα ῥυείσης, τὸ μέν, ὥσπερ χωρίοις σκληροῖς, τοῖς ἀντιτύποις ἤθεσι τὴν ἀθεότητα, τὸ δὲ ὥσπερ ἐν ὑγροῖς, τοῖς ἁπαλοῖς τὴν δεισιδαιμονίαν ἐμπεποίηκε. — Νυνὶ δὲ τῷ μὲν ἀθέῳ δεισιδαιμονίας οὐδὲν μέτεστιν· ὁ δὲ δεισιδαίμων τῇ προαιρέσει ἄθεος ὤν, ἀσθενέστερός ἐστιν, ἢ ὥστε δοξάζειν περὶ Θεῶν ὃ βούλεται.— Ἀλλ' οὐδὲν οὕτω πολυπλανὲς καὶ πολυπαθὲς νόσημα, καὶ μεμιγμένον ἐναντίαις δόξαις καὶ μαχομέναις μᾶλλον, ὡς τὸ τῆς δεισιδαιμονίας.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*Φευκτέον οὖν αὐτὴν ἀσφαλῶς τε καὶ συμφερόντως· οὐχ ὥσπερ οἱ λῃστῶν ἢ θηρίων ἔφοδον, ἢ πῦρ ἀπερισκέπτως καὶ ἀλογίστως περιφεύγοντες, ἐμπίπτουσιν εἰς ἀνοδίας βάραθρα καὶ κρημνοὺς ἐχούσας Οὕτω γὰρ ἔνιοι φεύγοντες τὴν δεισιδαιμονίαν, ἐμπίπτουσιν εἰς ἀθεότητα τραχεῖαν καὶ ἀντίτυπον, ὑπερπηδήσαντες ἐν μέσῳ κειμένην τὴν εὐσέβειαν. (Πλουτάρχου).*

*— Σέβου πρὸ πάντων τὸν Θεόν· καὶ οὐ μόνον πολιτεύου ὡς καλὸς χριστιανός, ἀλλὰ καὶ ὁμολόγει σαυτὸν χριστιανόν, καὶ ἂν τοῦτο σὲ καταστήσῃ τὸν περιγελων τῶν περὶ σὲ ἀσεβῶν.*

*(Σαριπόλου).*

*— Τὸ οἰκοδομεῖν μέχρι νεφελῶν πύργους καὶ λησμονεῖν τὸν οὐρανόν, εἶναι ὁ μέγιστος τῆς μυωπίας βαθμός. —Ὁ εὐσεβὴς ἀνὴρ διατελεῖ ἥσυχος, ἀτάραχος καὶ ἱλαρός, ἐνῷ ὁ ἀσεβὴς διηνεκῶς ταράσσεται, ἀκαταπαύστως ταλαντεύεται μεταξὺ τῆς ὑπερβολῆς τῆς χαρᾶς καὶ τῆς ὑπερβολῆς τῆς λύπης· ὡς ἐπὶ τὸ πολὺ δὲ ὑπὸ φαινομένην εὐθυμίαν, ἐστὶν ὄντως δυστυχὴς ἐν τῷ βάθει τῆς καρδίας του.*

*— Δεινὸν τὸ τῆς δεισιδαιμονίας σκότος, ἐμπεσόντος ἀνθρώπου συγχέαι καὶ τυφλῶσαι λογισμοὺς ἐν πράγματι μάλιστα λογισμοῦ δεομένοις. (Πλουτάρχ. περὶ δεισιδαιμ. 8.)*

*— Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.*

*— Πᾶς βίος ἀσεβοῦς ἐν φροντίδι, ὅταν δὲ δοκῇ εἰρηνεύειν ἥξει αὐτῷ ἡ καταστροφή. (Συνεσίου.)*

*— Οὐχ ὁρᾷς ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται ; (Ξενοφ. Ἀπομνημ. 1, 4, 16.)*

*— Ὅπου γὰρ ἄνδρες Θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;» (Ξενοφ. Ἑλλην. 3. 4, 18.)*

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

### Περὶ θρησκείας καὶ ἠθικῆς.

*— Ἡ ἐπὶ τὸ ἑνωθῆναι μετὰ τοῦ κέντρου, τοῦ Θεοῦ, τάσις τῆς ψυχῆς συνίστησι τὴν ἠθικότητα. (Σελιγγίου.)*

*— Θεῷ μὲν σέβας τε καὶ λατρεία, τοῖς δὲ ἄλλοις ἀγάπη, ἑαυτῷ δὲ φυλακὴ ἀπὸ παντὸς προσοφείλεται. Τρεῖς μὲν αὗται ἀρχαὶ τῆς τῶν τῆς φύσεως ἠθικῶν νόμων ἐπιγνώσεως.— Οἱ τῆς φύσεως ἠθικοὶ νόμοι, οἱ ἀφορῶντες ἡμᾶς αὐτούς, ἢ τὴν μετὰ τῶν ἄλλων κοινωνίαν, ἢ τὰ ἄλλα τῆς κτιστῆς φύσεως ὄντα, τρεπτοί εἰσιν· οὐχὶ δὲ οἱ πρὸς τὴν φυσικὴν θρησκείαν τείνοντες, ἤτοι πρὸς τὸ ὑπὸ*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς κτιστῆς φύσεως τῷ Θεῷ προσοφειλόμενον σέβας. (Εὐγενίου τοῦ Βουλγάρεως.)

— Νόμος, φιλοσοφία, καὶ θρησκεία, τὸ τριπλοῦν τοῦτο σπαρτίον, τὸν ἐν τῇ κοινωνίᾳ βίον, ὥσπερ σῶμα τὰ νεῦρα, συνέχοντα, ἀδιάσπαστα μὲν ἀπ' ἀλλήλων καθέστηκεν, ἄλλο δ' ἄλλως παρέχει τὸ χρήσιμον πρὸς τὴν τῆς πολιτείας βελτίωσιν· νόμος μὲν γὰρ ἀπαγορεύων πᾶν ὅ,τι ἂν ᾖ ἄδικον καὶ ἀθέμιτον κολάζει τὸν παραβαίνοντα· φιλοσοφία δέ, ἀγαθῶν καὶ κακῶν εἰσηγουμένη διάγνωσιν, πείθει τῶν μὲν ἔχεσθαι, τῶν δ' ἀπέχεσθαι· ἡ δ' αὖ θρησκεία, προαναστέλλουσα τῶν ἀδίκων, ἀνασείει πόρρωθεν τὴν κόλασιν ἐν τῷ μέλλοντι. Ἀλλ' ὁ νόμος καθ' ἑαυτὸν οὐκ ἄν, οὐδ' ἂν αὐστηρότατος ᾖ, παύσειεν γιγνόμενα τ' ἄδικα, εἰ μὴ φιλοσοφία καὶ θρησκεία, αὗται αἱ ἱεραὶ ἀδελφαί, εἰς ἓν συνελθοῦσαι, παιδεύσειεν ὅλον ἔθνος· ἡ μέν, ἀπὸ καθέδρας λόγῳ παιδαγωγοῦσα ὀρθῶς, ἡ δέ, ἀπὸ τοῦ ἄμβωνος διδαχῇ εἰσηγουμένη τὰς ἐντολάς. Μὴ τοίνυν νομοθέτας καθιστᾶτε, μᾶλλον ἢ δικαστάς, μηδὲ ποινῶν καὶ βασάνων πλείω ποιεῖσθε λόγον, ἢ φιλοσόφους καὶ ἱερεῖς, οἵους λόγῳ πείθοντας ποιεῖν τοὺς πολίτας ἑκόντας κἂκ μόνου τοῦ συνειδότος ποιεῖν τὰ καθήκοντα· τοῦτο γὰρ ἂν εἴη γνώρισμα ἔθνους εὐνομουμένου πρὸς ἔθνος ἀπαίδευτον (Νεοφ. Δούκα).

## ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

### Περὶ εὐχῆς καὶ εὐλογίας.

— Ὠφελοῦσιν αἱ εὐχαὶ καὶ μεγάλα, ἀλλ' ὅταν καὶ ἡμεῖς πράττωμέν τι· ἐὰν δὲ ἀργὸς μένῃς οὐδὲν μέγα ὠφεληθήσει· ἐπεὶ εἶγε ἰσχυον αἱ εὐχαὶ καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, διατί μὴ καὶ ὅτε Ναβουχοδονόσορ ἦλθεν, εἶπε τοῦτο ὁ Θεὸς, ἀλλ' ἐξέδωκε τὴν πόλιν; ἐπειδὴ μεῖζον ἰσχυσεν ἡ πονηρία. (Χρυσοστ. ὁμιλ. α'. εἰς τὴν πρὸς Θεσσ. α'. ἐπιστολ.)

— Εὐχῆς δικαίας οὐκ ἀνήκοος Θεός. (Μένανδρος).

— Ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν'
Ἄβουλον εὐχὴν τοῖς Θεοῖσι μὴ πέμπειν. (Βαβρ. μυθ. 23).

— Πάντα μὲν δεῖ τἀγαθὰ τοὺς νοῦν ἔχοντας αἰτεῖσθαι παρὰ τῶν Θεῶν. (Πλουτ. Ἰσιδ. καὶ Ὀσίρ.)

— Θεὸν δὴ πρὸς τὴν τῆς πόλεως κατασκευὴν ἐπικαλώμεθα. (Πλ. νόμ. δ'. 599).

— Ἐν τῇ τοῦ ἔτους ἀρχῇ οἱ Ρωμαῖοι κατὰ τὸ ἀρχαῖον εὔχονταί τε αὐτοὶ ὑπὲρ ἅπαντος τοῦ ἔτους εὐχάς τινας. (Λουκιαν. γ'. 632).

— Θαρρῶν ὡς ἐπὶ συμβούλους ἔρχου πρὸς Θεούς. (Ἐπικτ. ἐγχ. 32).

— (Ὁ Σωκράτης) εὔχετο πρὸς τοὺς θεοὺς ἁπλῶς ἀγαθὰ διδόναι. (Ξεν. ἀπομν. α. 3).

— Τοὺς δὲ ἀθέμιστα εὐχομένους ὁμοίως εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρὰ ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους. (Ξενοφ. Κύρ. Παιδ. α'. 26).

— Οὔκουν δοκεῖ σοι πολλῆς προμηθείας προσδεῖσθαι, ὅπως μὴ λήσει τις αὑτὸν εὐχόμενος μεγάλα κακά, δοκῶν δὲ ἀγαθά; (Πλάτ. β'. Ἀλκιβ.)

— Οὐ τοῦτο εὐκτέον ἔπεσθαι πάντα τῇ σεαυτοῦ βουλήσει. (Πλάτ. νόμ. γ'. 589).

— Τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν.
(Πλάτ. β'. Ἀλκιβ. 9 Νόμ. γ'. 687 α. ζ'. 801).

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

### Περὶ λατρείας.

Ἐγώ εἰμι Κύριος ὁ θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. (Ἐξόδου κ')

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν. (Ρμ ιβ'. 1)

Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ οἱ πνεύματι θεῷ λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ καὶ οὐκ ἐν σαρκὶ πεποιθότες (Φιλιππ. ζ. 3.)

Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσαι τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι; (Ἑβραί. θ'. 14.)

— Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν δι' ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ μετ' αἰδοῦς καὶ εὐλαβείας· καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. (Ἑβρ. 12'. 28.)

Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Πνεῦμα ὁ Θεός,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. (Ἰωάν. δ'. 23—24.)

— Νοήσωμεν δὴ ὡς τῷ μὲν ἀγαθῷ ἀνδρὶ θύειν καὶ προσομιλεῖν τῷ Θεῷ εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ κάλλιστον καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ δὴ καὶ διαφερόντως πρέπον, τῷ δὲ κακῷ τἀναντία τούτων πέφυκεν· ἀκάθαρτος γὰρ τὴν ψυχὴν ὁ κακός, καθαρὸς δὲ ὁ ἀγαθός, παρὰ δὲ μιαροῦ δῶρα οὔτε ἄνδρα ἀγαθὸν οὔτε Θεόν ἔστι ποτὲ τό γε ὀρθὸν δέχεσθαι. Μάτην οὖν περὶ Θεοὺς ὁ πολὺς ἔστι πόνος τοῖς ἀνοσίοις, τοῖσι δὲ ὁσίοις ἐγκαιρότατος ἅπασι. (Πλάτ. Νόμ. δ'.)

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

### Περὶ Θυσιῶν.

— Δεῖται γὰρ οὐδενὸς ὁ θεός, εἴπερ ἔστ' ὀρθῶς θεός. (Εὐριπίδ.)

— Καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν οἱ θεοί, ἀλλὰ μὴ πρὸς τὴν ψυχήν, ἄν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ. (Πλάτ. β'. Ἀλκιβιάδ. 42.)

— Θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους φοβούμενοι μήτε ἀσεβὲς μηδέν, μήτ' ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε. (Ξενοφ. Κύρ. Παιδ. 6.)

— Οἱ δὲ ὡς ἐπύθοντο, Ποσειδέωνι σωτῆρι εὐξάμενοι καὶ σπονδὰς προχέαντες. (Ἡρόδ. 7, 192.)

— Τὰς τῶν θεῶν εὐεργεσίας οὐκ ἂν ἕνα ποτὲ ἀνθρώπων ἀξίως χάρισιν ἀμείβεσθαι. (Ξεν. ἀπομ. δ'.)

— Ὁπότε εὐτυχοίη, οὐκ ἀνδρῶν ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ἤδει, καὶ θαρρῶν πλείονα ἔθυεν ἢ ὀκνῶν ηὔχετο. (Ξενοφ. Ἀγησιλ. 672.)

— Ἁγνὸν χρὴ νηοῖο θυώδεος ἐντὸς ἰόντα.
ἔμμεναι· ἁγνείῃ δ' ἔστι φρονεῖν ὅσια. (Κλήμ. Ἀλεξ. Στρωμ. 5, 551.)

— Τῷ μὲν ἀγαθῷ θύειν καὶ προσομιλεῖν δὲ τοῖς θεοῖς εὐχαῖς καὶ ἀναθήμασι καὶ ξυμπάσῃ θεραπείᾳ θεῶν κάλλιστον καὶ ἄριστον καὶ ἀνυσιμώτατον πρὸς τὸν εὐδαίμονα βίον καὶ δὴ καὶ διαφερόντως πρέπον. (Πλ. νόμ. δ'. 716.)

— Ἱερὰ μηδὲ εἷς ἐν ἰδίαις οἰκίαις ἐκτίσθω· θύειν δ' ὅταν ἐπὶ νοῦν ἴῃ τινί, πρὸς τὰ δημόσια ἴτω θύσων. (Πλ. νόμ. 910.)

— Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι.
Τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ. (Ὁμ. Ἰλ. κδ'. 425.428.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

### Περὶ μεταλήψεως τῶν θείων δώρων.

— *Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ. (Ἰωάν. ς'. 54).*

*Ἀμήν, ἀμήν, λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς (Ἰωάν. ς'. 53).*

— *Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω.— Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. (Κορινθ. ΙΑ'. 27).*

— *Τὸ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἱεροῖς καὶ ἁγίοις σκεύεσι, καὶ ἐκ τῆς Παλαιᾶς Γραφῆς φοβερὸν διδασκόμεθα τὸ κρῖμα· εἰ δὲ πλέον τῶν ἱερῶν τοῦτο τὸ μυστήριον ἔχει, δῆλον, ὅτι φοβερώτερον παιδεύσει ἡμᾶς ὁ Θεός, κατὰ τὸν ἀπόστολον εἰπόντα «ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει». (Βασιλείου).*

— *Οἱ μέλλοντες ἐνθένδεν ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅταν ἀποπνέειν μέλλωσι, δορυφοροῦντες αὐτοὺς δι' ἐκεῖνο τὸ ληφθὲν ἀπάγουσιν ἐνθένδε οἱ ἄγγελοι. — Διὰ τῆς ἀναιμάκτου θυσίας κοινωνοῦμεν ἡμεῖς τῷ Χριστῷ καὶ μετέχομεν αὐτοῦ τῶν παθημάτων καὶ τῆς θεότητος. (Γρηγορίου τοῦ Θεολόγου).*

— *Καθάπερ λέοντες φλόγα πνέοντες, οὕτω τῆς ἱερᾶς Τραπέζης ἐξερχόμεθα φοβεροὶ γινόμενοι τῷ Διαβόλῳ.—Καιρὸς κοινωνίας, οὐχ ἑορτὴ καὶ πανήγυρις, ἀλλά συνειδὸς καθαρόν, καὶ βίος ἐγκλημάτων ἀπηλλαγμένος . . . . . διὰ τοῦτο παρακαλῶ ὑμᾶς πάντας, μὴ ἁπλῶς διὰ τὴν τῆς ἑορτῆς ἀνάγκην τῶν θείων ἅπτεσθαι μυστηρίων. ἀλλ' εἴποτε μέλλοιτε τῆς ἁγίας ταύτης μετασχεῖν προσφορᾶς, πρὸ πολλῶν ἡμερῶν χρὴ καθαίρειν ἑαυτοὺς διὰ μετανοίας καὶ εὐχῆς, νηστείας καὶ ἐλεημοσύνης, καὶ τῆς περὶ τὰ πνευματικὰ σχολῆς, καὶ μὴ πάλιν ἐπιστρέφεσθαι καθάπερ κύων ἐπὶ τὸν ἴδιον ἔμετον..*

— *Μέλλων φαγεῖν, ἄνθρωπε, σῶμα Δεσπότου, φόβῳ πρόσελθε μὴ φλεγῇς· πῦρ τυγχάνει· θεῖον δὲ πίνων Αἷμα πρὸς μετουσίαν, πρῶτον καταλλάγηθι τοῖς σὲ λυποῦσιν, ἔπειτα θαρρῶν, μυστικὴν βρῶσιν φάγε.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

### Περὶ ἀγάπης.

— *Συμψυχίαν δὲ τὴν ἀγάπην ὁρίζομαι.*
*Τὴν πρὸς Θεόν δέ, καὶ ὁδὸν θεώσεως.*—
*Ἡ δὲ ἔχθρα μοι δύσνοια καὶ διάστασις.*
*Ἔχθρα δὲ καὶ πόλεμος, εὑρέτης κακῶν.* (*Γρηγ. Θεολ. λξ'. 957.*)

— *Οὐδὲν γλυκύτερον ἢ τὸ κενῶσαι πᾶσαν τὴν ἀγάπην πρὸς τὸν Θεόν.* (*αὐτοθ. λς'. 296.*)

— *Δεῖ οὖν ἕκαστον ἡμῶν καθάπερ ἰσχυράν τινα καὶ στερεὰν κρηπῖδα τὸν φόβον τε καὶ τὴν ἀγάπην ἐν τῇ ἑαυτοῦ τιθέναι ψυχῇ, καὶ ταύτην ἐπάρδειν ἔργοις τε ἀγαθοῖς καὶ εὐχῇ διαρκεῖ.* (*Μακαρ. Αἰγυπτ. λδ'. 409—442.*)

— *Ἡ πρὸς Θεὸν ἀγάπη, ἄνευ τῆς πρὸς τὸν πλησίον οὐ δύναται ὑπάρχειν.* (*Χρυσοστ. ΝΘ'. 416.*)

— *Ἡ ἀγάπη μήτηρ τῶν ἀγαθῶν· ποιητικὴ καὶ διδάσκαλος ἀρετῆς ἁπάσης, καὶ πληρωμα νόμου.* (*Χρυσ Ξ. 617—618.431—422.*)

— *Ἡ πρὸς ἀλλήλους ἀγάπη σώζει τὸν σύνδεσμον τῆς εἰρήνης.* (*Χρυσ. ὁμιλ. ξβ'. 60.*)

— *Οὐδὲν οὕτω Θεῷ περισπούδαστον, ὡς ἀγάπη· δι' ἣν καὶ ἄνθρωπος γέγονε, καὶ μέχρι θανάτου ὑπήκοος· διὰ τοῦτο γὰρ οἱ πρῶτοι τῶν μαθητῶν αὐτοῦ ἀδελφοὶ δύο γεγόνασιν, ἐνδειξαμένου διὰ τῶν προοιμίων εὐθὺς τοῦ πανσόφου Σωτῆρος, ὅτι πάντας τοὺς μαθητὰς αὐτοῦ ἀδελφικῶς συνάπτεσθαι βούλεται.* (*Ἰσίδ. Πηλουσ. οη'. 185.*)

— *Οἱ ἄνθρωποι γεγόνασιν ἕνεκεν ἀλλήλων.* (*Αἰτωνίν. 8, 24.*)
*Αἰσχρῶν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν.* (*Πλουτάρχ. Κλεομ. 31.*)

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

### Περὶ φιλίας.

— *Νόσος φιλίας ἡ κολακεία.* (*Συνέσιος.*)

— *Φίλος πιστὸς σκέπη κραταιά, καὶ ὁ εὑρὼν αὐτὸν εὗρε θησαυρόν.* (*Νεῖλος.*)

— *Ὃς κρύπτει ἀδικήματα ζητεῖ φιλίαν· ὃς δὲ μὴ κρύπτει διίστησι φίλους καὶ οἰκείους.* *Νεῖλος.*)

— *Παντὸς γένοιτ' ἂν κτήματος κρεῖσσον φίλος.* (*Σοφ.*)

— *Ἀξιοπιστότερα τραύματα φίλων ὑπὲρ ακούσια φιλήματα ἐχθρῶν.* (*Ἰ. Χρ πρὸς Εὐτρόπιον.*)

— *Τὸ μὲν τῆς ὥρας ἄνθος ταχὺ παρακμάζει, ἀπολείποντος δὲ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου, ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι. (Ξενοφ. Συμπόσ. 8, 14.)

— Πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες γίνονται, οἱ δὲ σφόδα ἐμπιστευθέντες προδόται. (Αἰσωπ. μῦθ. 66.)

— Τοῖς σμικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν τῷ βιῳ. (Αἰσώπ. μῦθ. 24.)

— Τοιοῦτος ἕκαστος ὑπολαμβάνεται εἶναι, ὁποῖος ἑτέροις συναναστρέφεται. (Αἰσωπ. μῦθ. 311.)

— Ἡ ἀληθινὴ φιλία τρία ζητεῖ μάλιστα, τὴν ἀρετήν, ὡς καλόν, καὶ τὴν συνήθειαν, ὡς ἡδύ, καὶ τὴν χρείαν, ὡς ἀναγκαῖον. (Πλουτ.)

— Εἰ φιλομεμφὲς,
Εἰς φιλιην μὴ εὐφυές. (Δημοκρίτ.)

— Οὔτ' ἂν φίλος τις ποιήσειεν ἄλλως πως πλείω ἀγαθὰ ἐν πολέμῳ ἢ πολέμιος δοκῶν εἶναι, οὔτ' ἂν ἐχθροὺς πλείω τις βλάψειεν ἄλλως πως ἢ φίλος δοκῶν εἶναι. (Ξενοφ. Κύρ. Παιδ. 5,3,9.)

— Οὐ τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. (Ξενοφ. Κύρ. Παιδ. 8, 7, 13.)

— Τὸ φιλεῖν ἀκαίρως, ἴσον ἐστὶ τῷ μισεῖν. (Σωκράτης.)

— Πάντων κτημάτων κράτιστον φίλος σαφὴς καὶ ἀγαθός. (Ξενοφ. Ἀπομν. 2, 4 1.)

— Ὥσπερ οἱ ποταμοὶ πολλὰς σχίσεις καὶ κατατομὰς λαμβάνοντες ἀσθενεῖς καὶ λεπτοὶ ῥέουσιν, οὕτω τὸ φιλεῖν σφοδρὸν ἐν ψυχῇ πεφυκός, εἰς πολλοὺς μεριζόμενον ἐξαμαυροῦται. Διὸ καὶ τῶν ζώων τὸ φιλότεκνον τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται. (Πλουτ.)

— Πρῆξιν μηδὲ φιλοισιν ὁμῶς ἀνακοινεῦ ἅπασαν·
Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον. (Θεόγ. 73.)

— Τοιοῦτός τι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
Ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονῇ δ' ἕτερα. (Θεόγ. 95.)

— Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
Ἀλλ' αἰεὶ φεύγειν ὥσπερ κακὸν λιμένα. (Θεόγν. 113.)

— Πολλοὶ πάρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι,
Ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.
Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
Κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ (Θεόγ. 643.)

— Τῶν ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος. (Πυθαγ. Χρυσ. ἔπη. 5.)

— Τί ἐστι φίλος; μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα. (Ἀριστοτ. παρ. Διογ. Λαερτ. 5. 20.)

— Φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν*
*Σιγῶντ'. Εὐριπιδ. Ἄλκ. 1008.*

— *Τοῦτο τοίνυν αἰνίττονται, ὡς ἐμοὶ δοκοῦσιν, οἱ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον λέγοντες, ὡς ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος, ὁ δὲ κακὸς οὔτ' ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ φιλίαν ἔρχεται. (Πλάτ. Λύσις.)*

*Ἀρχὴ μὲν φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος (Ἰσοκρ.)*

*Φίλους κτῶ, μὴ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα (Ἰσοκρ.)*

*Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας (Ἰσοκρ.)*

*Βέλτιον πολλὰ χρήματα ἀπολέσαντα ἕνα φίλον κτήσασθαι, ἢ ἕνα φίλον ἀπολέσαντα πολλὰ χρήματα κτήσασθαι· οὐ γὰρ τὰ χρήματα φίλοι, ἀλλ' οἱ φίλοι χρήματα. (Κάτων Ρωμαῖος).*

*Ὥσπερ μέλισσαν οὐ διὰ τὸ κέντρον μισεῖς ἀλλὰ διὰ τὸν καρπὸν τημελεῖς, οὕτω καὶ φίλον μὴ δι' ἐπίπληξιν ἀποστραφῇς, ἀλλὰ δι' εὔνοιαν ἀγάπα. (Κάτων Ρωμαῖος).*

*Ὅστις φίλον λυπούμενον ἔφυγεν, οὐδὲ τοῦ χαίροντος ἀπολαύειν ἄξιος. (Κάτων Ρωμαῖος).*

*Αἱ ἐκ φίλων εἰς φίλους γινόμεναι λῦπαι δυσθεράπευτοι λίαν τυγχάνουσι καὶ μείζους τῶν ἐχθρῶν ἔχουσι τὰς ἐπηρείας· μὴ κτῆσαι φίλον, ᾧ μὴ πάντα πιστεύεις· μυστήριά σου μὴ κατείπῃς τῷ φίλῳ, καὶ οὐ φοβηθήσῃ αὐτὸν ἐχθρὸν γινόμενον. (Κλεόβουλος ὁ Λίνδιος Ρόδιος).*

*Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅ,τι ἂν ποιῇς ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. (Ἰσοκρ.)*

*Σύμβουλος ἀγαθὸς χρησιμώτατον ἁπάντων κτημάτων ἐστί. (Ἰσοκρ.)*

*Συμμαχίαν παρὰ γνωστῶν αἰτεῖν εἴποτε κάμνεις· πιστοῦ γὰρ φίλου αἰτητὴρ προσφερέστερος οὐδείς· εὖ τ' ἂν ἑταῖρον, ἢ αὖ πιστὸν φίλον, ὦ φίλε δίζῃ, οὐ τύχῃ μερόπων, ὁ Θεὸς δ' ἰχνευτέος ἔστω.*

*Ἐρωτηθεὶς τίνα δεῖ μάλιστα φυλάττεσθαι; εἶπε τῶν μὲν φίλων τὸν φθόνον, τῶν δ' ἐχθρῶν τὴν ἐπιβουλήν· τῶν καὶ ἀρετῇ ζώντων ὁ τῆς λοιδορίας μῶμος οὐχ ἅπτεται. (Κλεόβουλ. Λίνδιος Ρόδιος).*

*Πρέπει οἱ παῖδες ὥσπερ τῆς οὐσίας οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. (Ἰσοκρ.)*

— *Ἄνευ φιλίας συνουσία οὐδεμία ἀξιόλογος. (Ξενοφ. Συμπόσ. 8, 13).*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τυγχάνω ἐκ παιδὸς ἐπιθυμῶν κτήματός του, ὥσπερ ἄλλος ἄλλου. Ὁ μὲν γάρ τις ἵππους ἐπιθυμεῖ κτᾶσθαι· ὁ δέ, κύνας· ὁ δέ, χρυσίον· ὁ δέ, τιμάς· ἐγὼ δὲ πρὸς μὲν ταῦτα πρᾴως ἔχω, πρὸς δὲ τὴν τῶν φίλων κτῆσιν, πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα, ἢ ἀλεκτρύονα· οἶμαι δὲ μᾶλλον ἢ τὸ Δαρείου χρυσίον κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον, μᾶλλον ἢ αὐτὸν Δαρεῖον. Οὕτως ἐγὼ φιλέταιρός εἰμι.* (*Πλάτ. Λύσις*).

— *Τὸν Θεὸν αὐτόν φασιν οἱ ποιηταὶ ποιεῖν φίλους αὐτούς, ἄγοντα παρ' ἀλλήλους. Λέγουσι δέ πως ταῦτα, ὡς ἐγῷμαι, ὡδί· ἀεί τοι τὸν ὁμοῖον ἄγει Θεὸς ὡς τὸν ὁμοῖον, καὶ ποιεῖ γνώριμον.* (*Πλάτ. Λύσις*).

— *Εἴ τις ἕτερος ἑτέρου ἐπιθυμεῖ ἢ ἐρᾷ, οὐκ ἄν ποτε ἐπεθύμει, οὐδὲ ἤρα, οὐδὲ ἐφίλει, εἰ μὴ οἰκεῖός πῃ τῷ ἐρωμένῳ ἐτύγχανεν ὤν, ἢ κατὰ τὴν ψυχήν, ἢ κατά τι τῆς ψυχῆς ἦθος, ἢ τρόπον, ἢ εἶδος.* (*Πλάτ. Λύσις*).

— *Φιλία, ὁμόνοια ὑπὲρ καλῶν καὶ δικαίων· προαίρεσις βίου τοῦ αὐτοῦ· ὁμοδοξία περὶ προαιρέσεως καὶ πράξεως· ὁμόνοια περὶ βίου κοινωνίαν μετ' εὐνοίας· κοινωνία τοῦ εὖ ποιῆσαι καὶ παθεῖν.* (*Πλάτ. Ὅροι*).

— *Οἶνος νέος, φίλος νέος· ἐὰν δὲ παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.* (*Σειράχ*).

— *Τὸ σφόδρα φιλεῖσθαι ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται.* (*Χρυσοστ.*)

— *Τὰ παρὰ τῶν φιλουμένων, κἂν μικρὰ τυγχάνῃ, μεγάλα τῷ ποθοῦντι φαίνεται.* (*Χρυσοστόμ.*)

— *Εἰ ὁ τὸν φιλοῦντα ἀγαπῶν, οὐδὲν πλέον ἔχει τελώνου, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποίας τεύξεται φιλανθρωπίας ;*

— *Βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι. Πολλοὶ γὰρ τὸν ἥλιον ὁρῶντες, ἐν σκότει εἰσί· φίλων δ' εὑποροῦντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο· οὐδὲν γὰρ οὐδὲν τῆς ἀγάπης γλυκύτερον γένοιτ' ἄν· τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος ; κἂν μυρίους θησαυροὺς ἔχῃς, οὐδὲν ἀντάξιον γνησίου φίλου εὕροις.* (*Χρυσοστόμου*).

— *Πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη ; . . . Ἀλλ' ὅμως ἔνιοι δένδρα μὲν πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν· τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.* (*Σωκράτους*).

— *Ἄκουτα γὰρ φίλον ἑλεῖν ἐργῶδες· χαλεπὸν δὲ καὶ δήσαντα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατέχειν ὥσπερ δοῦλον· ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται τοιαῦτα πάσχοντες. (Σωκράτους).

— Οἱ φιλίαν παραθεωροῦντες, κἂν τὴν τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν, ἀλλ' οὖν γε τὴν ἐκ Θεοῦ τιμωρίαν οὐ διακρούονται. (Σωκράτους).

— Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. (Χείλωνος).

— Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. (Περιάνδρου)

— Τὸν σπουδαῖον φίλον, πρὸς μὲν τὰς εὐφροσύνας, κληθέντα δεῖ παρεῖναι· πρὸς δὲ τὰς περιστάσεις, αὐτόκλητον δεῖ συμπαρεῖναι. (Δημοκρίτου).

— Ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίστην. (Δίωνος).

— Μυστήριον ἐν φιλίᾳ ἀκούσας, ὕστερον ἐχθρὸς γενόμενος μὴ ἐκφάνῃς· ἀδικεῖς γὰρ αὐτὸν ἐχθρόν, ἀλλὰ τὴν φιλίαν. (Λιβανίου).

— Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου·
ἔλπιζε δ' αὐτὸν πάλιν εἶναί σου φίλον. (Φιλιστίωνος).

— Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξειάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ οὐ τὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.—Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. (Ἰσοκράτης).

— Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
Ὅταν φίλοι φίλοισι συμβάλλωσ' ἔριν. (Εὐριπίδ.)

— Ἐν τοῖς κακοῖς δεῖ τοὺς φίλους εὐεργετεῖν·
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων ;
Ἀρκεῖ γὰρ ὁ Θεὸς αὐτὸς ὠφελεῖν θέλων. (Εὐριπίδου).

— Χρὴ γὰρ μετρίαν εἰς ἀλλήλους φιλίαν θνητοὺς
ἐντείνασθαι, καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς. (Εὐριπίδ.)

— Ὁ ἐν καιρῷ εὐτυχοῦντι φίλον κολακεύων,
καιροῦ φίλος πέφυκε, οὐχὶ τοῦ φίλου. (Μενάνδρου).

— Ἄφροσι μὴ χρῶ φίλοις, ἐπεὶ κληθήσῃ καὶ σὺ παντελῶς ἄφρων. (Μενάνδρου).

— Τὸν μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι ἥδιστον,
ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν ἀλγεινόν. (Σοφοκλέους).

— . . . . Τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός ; (Σοφοκλέους).

— Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸν παρ' αὐτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ. (Σοφοκλ.)

— Ἡ φιλία στάσιμόν τι ζητεῖ καὶ βέβαιον ἦθος, καὶ ἀμετάπτωτον ἐν μιᾷ χώρᾳ καὶ συνηθείᾳ. Διὸ καὶ σπάνιον καὶ δυσεύρετον φίλος βέβαιος. — Ὁ ἀληθὴς φίλος οὔτε μιμητής ἐστι πάντων, οὔτ' ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνον. (Πλουτάρχου).

— Χαλεπὴ γὰρ ἐν καιρῷ δεομένῳ φίλων, ἡ μὴ φίλων αἴσθησις. (Πλουτάρχου).

— Οἱ μὲν ἀνόητοι καὶ τὰς φιλίας διαφθείρουσιν, οἱ δὲ φρόνιμοι καὶ ταῖς ἐχθραις ἐμμελῶς χρῆσθαι δύνανται. (Πλουτάρχου).

— Ἃ μὴ σοὶ φίλοι φίλον λέγειν, μὴ σὺ φίλει φίλῳ φέρειν. (....

— Φίλει φιλικῶς τὸν φιλοῦντά σε ὡς φίλον. (. . .

— Ἀληθεύει μὲν ἐνίοτε τὸ τυφλοῦσθαι τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἀλλ' ὡς τὰ πολλὰ οὐκ ἐν τῷ νοΐ, . . . . ὁ γὰρ νοῦς ἀνετόν ἐστι χρῆμα καὶ ἐλεύθερον, — . . . καὶ ἀποκρίνει τὸ ὀρθὸν τοῦ φαύλου. (Φιλοθέου Πάρεργα).

— Ἡ φιλία χάριτι μὲν ἀμοιβαίᾳ ἀρδευομένη, ἰσχυροτέρα πέφυκε γίνεσθαι· ἀμελουμένη δὲ ἢ λόγοις ὑπαντλουμένη κενοῖς, ἀθρανεστέρα καθισταμένη πολλῷ ἑαυτῆς, τῷ χρόνῳ μαραίνεται. (Νεοφ. Δούκα.)

— Φιλία ἐστὶ πάθος ψυχῆς εὖ φρονούσης, ἔρωτι σφοδρῷ τοὺς φιλουμένους συνδέον, καὶ εἰς ἓν συνάψαι τῷ πόθῳ τὰ τῇ φύσει διεστῶτα ἔχον ὁρμήν. (Νεοφ. Δούκα.)

— Ἀγαθὸν μὲν ὁ φίλος καὶ κτημάτων ἁπάντων τιμιώτατον· κακὸν δὲ ὁ κόλαξ καὶ κοράκων τῶν ἐξωλεστάτων τὸ χείριστον· ἀλλ' ἡδὺς μὲν ὁ κόλαξ πολλάκις γίνεται χαριζόμενος, πικρὸς δὲ ὁ φίλος ἐπιτιμῶν. (Νεοφ. Δούκα.)

— Ἄφρονος μὲν γὰρ τοὺς ἐχθροὺς ἐχθίους ποιεῖν· φρονίμου δὲ καὶ τοὺς ἐχθίστους αὐτούς, φίλους πειρᾶσθαι δι' εὐεργεσίας ποιεῖσθαι. (Νεοφ. Δούκα)

— Οὐ καλῶς δοκοῦσί μοι λέγειν οἱ λέγοντες μὴ ἂν ἐγγίνεσθαι φιλίαν τοῖς μὴ συχνὸν συμβεβιωκόσι χρόνον, καὶ πεῖραν ἀλλήλων εἰληφόσιν. Οὐδὲν γὰρ ἡ ὄψις συμβάλλοιτο πρὸς τοῦτο, ἅτε δὴ τοῖς ἔξωθεν προσβάλλουσιν αὕτη φιλοχωροῦσα μόνον, ἐξ ὧν οὐ φιλία, ἀλλ' ἔρωτες αἴσχιστοι ἐμφύονται μάλιστα· τῇ δ' ἀκοῇ εἴ τις ἀποδοίη τὴν ἀρχὴν αὐτῆς, οὐκ ἂν πόρρω τῆς ἀληθείας τοξεύσειεν, εἰγ' «Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται»· ἐξ οὗ εὖ τε, ἢ ὡς ἑτέρως ἔχοντες, ἀνάγκη, ἤτοι τὸν ἱερὸν τῆς φιλίας ἔρωτα, ἢ τὸ μῖσος τεχθῆναι παραχρῆμα. (Νεοφ. Δούκα πρὸς Θεόφ. Καΐρην.)

— Φίλον μὲν ἰδίᾳ ἐπιτίμα· ἐχθρὸν δὲ ἀπόντα μηδέποτε κακῶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγε. Φεῦγε τὸν πάντας κακῶς λέγοντα· μάλιστα δὲ πάντων, τὸν φίλον ἀπόντα κατηγορούμενον μὴ ἀμυνόμενον. (Σαριπόλου.)

— Οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον·
ὅστις γὰρ εὖ δρᾶν, εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος. (Σοφοκλ. Φιλοκτήτ. 671.)

— Ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου. (Εὐριπίδ. Ὀρέστ 1148.)

— Εἰς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους. (Εὐριπίδ. Ἰφιγ. ἐν Αὐλίδ. 398.)

— Φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα. (Εὐριπ. Ἀνδρομ. 316.)

— Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς. (Εὐριπίδ. Ὀρέστ. 1146.)

— Ὄνομα γὰρ ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἳ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι. (Εὐριπ. Ὀρέστ. 445.)

— Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν. (Μενανδρ.)

— Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν (»

— Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον (»

— Ἡδύ γε φίλον λόγος ἐστὶ τοῖς λυπουμένοις (»

— Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς
Χρεί' ἐστιν ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν φίλου·
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν φίλος. (Μενάνδρ.)

— Καυχώμενος τὸ δῶρον ὃ δέδωκας φίλῳ,
ἔργῳ στρατηγὸς γέγονας, ἐν λόγῳ φονεύς. (»

— Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον
Ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα. (Θεόγνιδος 113.)

— Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις. (Εὐριπίδου.)

— Φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ. (Εὐριπίδου.)

— Ἄνδρα δ' οὐ χρεὼν
τὸν ἀγαθὸν πράσσοντα μεγάλα τοὺς τρόπους μεθιστάναι
ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις
ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν. (Εὐριπίδ. Ἰφιγέν. ἐν Αὐλίδ. 335)

— Κτημάτων πάντων τιμιώτατον φίλος (Ἡροδότ. Ε'. 42.)

— Φιλία ἐστὶ μία ψυχὴ ἐν δυσὶ σώμασιν ἐνοικουμένη. (Ἀριστ.)

— Μηδέποτ' ὀρεχθῇς κτήσασθαι φίλον τὸν μήτε ψυχὴν μήτε σῶμα εὖ ποιῆσαι δυνάμενον. (Σόλωνος.)

— Φίλους εὐσέβει. (Σόλωνος.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ δ' ἀποδοκίμαζε. (Σόλωνος.)*

— *Καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς οὐκ ἂν πολλῷ κρείττων φανείη ; ποῖος γὰρ ἵππος ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον ὥσπερ ὁ χρηστὸς φίλος ; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον ; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον ; ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῆς τῶν κοινῶν πράξεως καὶ συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος, καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορθῶν. (Ξεν. Ἀπομν. β'. 4.)*

— *Διὰ μὲν τῶν ὀφθαλμῶν, μόλις ὁρᾶν ἔστι τὸ ἐμποδών· διὰ δὲ τῶν φίλων, καὶ τὰ ἐπὶ γῆς πέραν θεάσασθαι. (Δίωνος Χρυσοστ.)*

— *Διὰ μὲν τῶν ὤτων οὐκ ἄν τις ἀκούσαι καὶ τὰ σφόδρα ἐγγύθεν· διὰ δὲ τῶν φίλων, οὐδενὸς τῶν ἀναγκαίων ὁποιουδήποτε ἀνήκοός ἐστι. (Δίωνος Χρυσοστόμ.)*

— [*Ἴσμεν*] *οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν εἰς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης εἰς ἀλλήλους γέγνοιντο καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλίσσοντι τῆς γνώμης, καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. (Θουκυδίδου γ'. 10.)*

— *Τὰ τῶν φίλων κοινά, καὶ φιλίαν ἰσότητα (εἶναι). (Πυθαγ. παρὰ Κικέρ. περὶ νόμ. α', 12, 34.)*

— *Τὸν φίλον δεῖ εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. (Διογ. Λαερ. α'. 6.)*

— *Δεῖ ἀλλήλοις ὁμιλεῖν ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ' ἐχθροὺς φίλους ἐργάσασθαι. (Πυθαγ. παρὰ Διογ. Λαερτ. η'. 23.)*

— *Κοινὰ γὰρ τὰ τῶν φίλων. (Εὐριπ. Ἀνδρομ. 375 Ὀρέστ. 818.)*

— *Οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων. (Here fur. 1821.)*

— *Τῶν ἡθάδων*
*φίλων νέοι μολόντες εὐπειθέστεροι. (Εὐριπ. Ἀνδρομ. 805.)*

— *Οὔτε ἀδικούμενον ἀνταδικεῖν. Πλ. Κρίτ. 127.)*

— *Φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν (Διογ. Λαέρ. α', 4, 4)*

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

### Περὶ φιλίας καὶ φίλων χρηστῶν.

*Λάρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὐχάριστος·*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στόμα εὔφημον κτησώμεθα, καὶ τρόπους καθαρούς· οὐκέτι λαθεῖν τὸν οὕτω διακείμενον. (Χρυ. Τόμ. θ'. 306.)

Ὁ μέν τοι πολλοὺς φίλους ἔχων, ἀνάλωτος ἅπασίν ἐστι, τυράννου παντὸς οὗτος ἰσχυρότερος, οὐχ οὕτως ἐκεῖνοι οἱ δορυφόροι φυλάττουσιν, ὡς τοῦτον οἱ φίλοι, καὶ λαμπρότερος οὗτος ἐκείνου. Ὁ μὲν γὰρ παρὰ τῶν αὐτοῦ δούλων φυλάττεται, ὁ δὲ παρὰ τῶν ὁμοτίμων· καὶ ὁ μὲν παρ' ἀκόντων καὶ δεδοικότων, οὗτος δὲ παρ' ἑκόντων, καὶ οὐ δεδοικότων· καὶ ἔστιν ἰδεῖν πρᾶγμα θαυμαστόν, ἐν πολλοῖς ἕνα, καὶ ἐν ἑνὶ πολλούς· καὶ καθάπερ ἐπὶ κιθάρας, διάφοροι μὲν οἱ φθόγγοι, μία δὲ ἡ συμφωνία, εἷς δὲ ὁ μουσικὸς ὁ τὴν κιθάραν μεταχειρίζων, οὕτως ἐνταῦθα, κιθάρα μέν ἐστιν αὐτὴ ἡ ἀγάπη, φθόγγοι δὲ ἠχοῦντες τὰ δι' ἀγάπης προφερόμενα ῥήματα φιλικὰ μίαν καὶ τὴν αὐτὴν ἅπαντες ἀφιέντες ἁρμονίαν, καὶ συμφωνίαν, ὁ δὲ μουσικὸς ἡ τῆς ἀγάπης δύναμις, αὕτη κρούει τὸ μέλος τὸ ἡδύ. (αὐτόθι.)

Τεῖχος ὄντως ἀῤῥαγὲς ἡ φιλία, καὶ οὐδὲ τῷ διαβόλῳ ἁλώσιμον, μήτοι γε ἀνθρώποις· οὐκ ἔνι κινδύνῳ περιπεσεῖν τὸν φίλους κεκτημένον πολλούς· οὐκ ἔνι ὀργῆς ὑπόθεσιν σχεῖν, οὐκ ἔνι μνησικακίας ἀφορμήν. (αὐτόθι. 307.)

Ὅς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν· εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι· ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· διὰ γὰρ τοῦτο γεννῶνται. (Παροιμ. ιξ'. 9.17.)

Ἀξιοπιστότερα τραύματα φίλου ἢ ἑκούσια φιλήματα ἐχθροῦ· φίλου σόν, φίλου καὶ πατρῷόν σου μὴ ἐγκαταλίπῃς· εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν. Κρείσσων φίλος ἐγγύς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν. (Χρυσιμ. κζ'. 610.)

Φίλος πιστὸς σκέπη κραταιά, ὁ δὲ εὑρὼν αὐτόν, εὗρε θησαυρόν· φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ. φίλος πιστὸς φάρμακον ζωῆς, καὶ οἱ φοβούμενοι Κύριον, εὑρήσουσιν αὐτόν. (Σειράχ. δ'. 7.)

Μὴ ἐγπαταλείπῃς φίλον ἀρχαῖον, ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ.

Μὴ ἐπιλάθου φίλου ἐν τῇ ψυχῇ σου. (Σειράχ. λξ'. 6.)

Φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι, καὶ ἀπὸ προσώπου αὐτοῦ οὐ κρυβῶ, καὶ εἰ κακά μοι συμβέβηκε δι' αὐτόν, πᾶς ἀκούων φυλάξεται ἀπ' αὐτοῦ. (» κβ'. 31.)

Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν· οὐδέ τις σταθερὸς τῆς καλλονῆς αὐτοῦ· φίλος πιστὸς σκέπη κραταιά, καὶ ὠχυρωμένου βασίλειον (Σειράχ).

Φίλος πιστὸς θησαυρὸς ἔμψυχος. Φίλος πιστός, κῆπος κεκλει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόρειος

σμένος, πηγὴ ἐσφραγισμένη, κατὰ καιρὸν ἀνοιγόμενά τε, καὶ μεταλαμβανόμενα· φίλος πιστός, λιμὴν ἀναψύξεως (Ναζιανζ.)

Πάντα οἶσει φιλία, καὶ πάσχουσα καὶ ἀκούουσα.

Πρέπει τοὺς παῖδας ὥσπερ τῆς οὐσίας τῆς πατρικῆς οὕτω δὴ καὶ τῆς φιλίας κληρονομεῖν. (Ἰσοκράτους.)

Τὰ παρὰ φίλων λεγόμενα, κἂν ὕβρις ᾖ, φορητά. (Χρυσοστμ.)

Οὐχ οὕτω πυρετὸς κατακαίειν εἴωθε σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων (τοῦ αὐτοῦ). Τρισσὰ εἴδη φιλίας διδασκόμεθα, καὶ τούτων τὸ μὲν πρῶτον καὶ ἄριστον, τὸ κατ' ἀρετήν· στερρὰ γὰρ ἡ ἐκ λόγων ἀγάπη· τὸ δὲ δεύτερον καὶ μέσον, τὸ κατ' ἀμοιβήν· κοινωνικὸν τοῦτο καὶ μεταδοτικόν, καὶ βιωφελές· κοινὴ γὰρ ἡ εὐχάριστος φιλία· τὸ δὲ ὕστατον καὶ τρίτον, τὸ ἐκ συνηθείας φαμέν. (Κλήμεντος.)

Ἡδὺς ἐκεῖνος φίλος, ὁ τὴν ψυχὴν διατρέφων γνήσιος φίλος, ὁ τὰς πράτας περιστάσεις κοινούμενος· μέγιστον κτῆμα φίλος ἀδιάπτωτος· ὁ κατὰ θεὸν φίλος ῥέει γάλα καὶ μέλιτος, ἀληθέσι λόγοις αὐτοῦ.

Φίλους δὲ ὅταν εἴπω, τοὺς καλοὺς λέγω καὶ ἀγαθούς, καὶ κατ' ἀρετὴν ἡμῖν συναπτομένους. (Ναζ. ξ.)

— Φίλον γνήσιον ἐν κακοῖς μὴ φοβοῦ. (Σωκρ.)

— Πάντων κτημάτων κράτιστον εἴη φίλος σαφὴς καὶ ἀγαθός· (Σωκράτους.)

Ἑταῖρος φίλῳ συμποιεῖ χάριν γαστρός, ἀπέναντι πολεμίου λήψεται ἀσπίδα. (Σειράχ. λζ'. 5.)

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

### Περὶ φίλων μοχθηρῶν.

Συμβιώσεταί σοι φίλος μοχθηρός; ἀποκενώσει σε, καὶ αὐτὸς οὐ πονέσει· χρείαν ἔσχηκέ σου καὶ ἀποπλανήσει σε, καὶ προσγελάσεταί σοι, καὶ ὀώσει σοι ἐλπίδα· λαλήσει σοι καλά, καὶ ἐρεῖ, τίς ἡ χρεία σου. (Σειρὰχ ιγ'. 5.)

Φίλοι ἀσεβεῖς θεραπεύουσι θύρας δικαίων, φίλοι μισοῦσι φίλους πτωχούς. (Πρμ. ιδ'. 19.)

Ὑπὲρ σοῦ ἐνώπιόν σου λαλήσει, κατόπισθέν σοι κατελάλησε κατὰ σοῦ· ἠδίκησέ σε, καὶ αὐτὸς προσενεβριμήσατο· ἐὰν χρησιμεύσῃς ἐργᾶται ἐν σοί, καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε (Σειρὰχ γ'. 4).

Μὴ τέκταινε ἐπὶ σὸν φίλου κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. (αὐτόθι γ' 29.)

Ἐν τοῖς βρώμασιν αὐτοῦ αἰσχυνεῖ σε, ἕως οὗ ἀποκενώσῃ σε δὶς ἢ τρὶς ἢ πολλάκις, καὶ ἐπ' ἐσχάτων καταμωμήσεταί σου· μετὰ ταῦτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὄψεταί σε, καὶ καταλείψει σε, καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί. (Σειρχ. ιγ'. 7 )

Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς εἰς ὁδοὺς οὐκ ἀγαθάς. (» ις'. 29.)

Τίς οὗτος ; Ἔστι φίλος ἐν καιρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου· καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν, καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει, καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν, καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σύ· ἐὰν δὲ ταπεινωθῇς ἔσται κατὰ σοῦ, καὶ ἀπὸ τοῦ πρυσώπου σου κρυβήσεται. Ἀπὸ τοιούτου φίλου πρόσεχε. (αὐτόθι. ς'. 8.)

Ἑταῖρος φίλῳ ἐν εὐφροσύνῃ ἥδεται, καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι. (Σειράχ. λξ'. 4.)

Σκολιὸς φίλος διαπέμπεται κατὰ φίλου κακά, καὶ λαμπτῆρα δόλου πυρσεύει κακοῖς· στηρίζων ὀφθαλμοὺς αὐτοῦ λογίζεται διεστραμμένα, ὁρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά. Οὗτος κάμινός ἐστι κακῶν τῷ φίλῳ. (Παρμ. ις'. 28.)

Ἰθύνων ὀφθαλμῷ, τεκταίνεται κακά, καὶ οὐδεὶς αὐτὰ ἀποστήσει ἀπ' αὐτοῦ, ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ τὸ στόμα αὐτοῦ, καὶ ἐπὶ τῶν λόγων σου ἐκθαυμάσει. Ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ, καὶ ἐν τοῖς λόγοις δώσει σκάνδαλον πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ, καὶ ὁ Κύριος μισεῖ αὐτόν. (Σειράχ. κξ'. 23.)

Οὐκ ἂν εἴποι τις ἑταῖρον τὸν κόλακα· νόσος γὰρ φιλίας ἡ κολακεία. (Φίλων.)

Τὴν γνώμην φίλος ἀκόλαστος, μέχρι μὲν τῷ στόματι αὐτοῦ τὰ σιτία τυγχάνει εὐφημεῖ κολακεύει, θαυμάζει· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλει, ᾧ πρὸς βραχὺ ἴσα θεῷ γαστέρα προσεκύνει. (Βασιλείου.)

Μοχθηροῦ φιλία ἔχθρας φοβερωτέρα· ταύτην γὰρ φυλάσσειν δύνασαι, ἐκείνην δὲ οὔ. (»)

Ἀσεβὴς φίλος τὰ ἀλλότρια λυμαίνεται· οὗτος εὐλογεῖ τὸ πρωῒ φίλον μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρων· ἀφεῖλε καὶ τὸ ἱμάτιόν μου, ἐν χρηστολογίαις καὶ εὐλογίαις αὐτοῦ. (Παρμ. κξ'. 13.)

Προδοτικὸς φίλος οὐδὲν ὅλως διαφέρει τοῦ δολοφόνου· οὗτος κακοῦργος καὶ φονεὺς προσαγορεύεται.

Ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀναμέσου εἰρηνευόντων ἐμβαλεῖ διαβολήν. (Σειρχ. κη'. 3)

Σίδηρος σίδηρον ὀξύνει, φίλος δὲ σκολιὸς παροξύνει πρόσωπον ἑταίρου· ῥόπαλα καὶ μάχαιραι καὶ τόξευμα ἀκιδωτόν· οὕτως ὁ πο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νηρὸς φίλος, ὁ καταμαρτυρῶν κατὰ τοῦ φίλου αὐτοῦ μαρτυρίαν ψευδῆ. (*Παρμ. κζ'. 17 κε'. 18.*)

Ὁ ὀνειδίζων φίλον διαλύει φιλίαν. (*Σειράχ. κβ'. 20.*)

Θεοστυγής, φίλος ἄπιστος· βδέλυγμα δὲ παρὰ Κυρίῳ, ὁ τοῦ συμφέροντος φίλος, ὅτι ἡ πίστις ἀπέφυγεν ἀπ' αὐτοῦ, καὶ ἡ φιλία μέχρι κοιλίας ὥρισται παρ' αὐτῷ. Πᾶσαι δὲ αἱ προσηγορίαι αὐτοῦ ὑποψίας πεπληρωμέναι. (*Χρυστμ.*

Ἔχων φύγ' εὐθὺς τὸν δολόπλοκον φίλον
Φαγὼν ὅλον σ', οὗ ποτε ἐνεπλήσθη τῷ κόρῳ.
Νόμιζε ἐχθροῦ χείρονα δόλιον φίλον·
Σπλάγχνου πονηροῦ οὐ μαλάσσεται φίλου.
Ἰὸς χαλκῷ φίλου μοχθηροῦ φιλία.
Τλάμων εἶ, ᾧ πρόσεστι ἁρπακτὴρ φίλος·
Σῶμ' οὐ νεκρόν, ζῶν δέ γε φίλον ἐδήδοται.
Εἴ τις φίλος θ' ἑαυτὸν οὐκ αἰσχύνεται,
Συνειδόθ' ἑαυτῷ φαῦλα διαπεπραγμένῳ,
Πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται.
(*Ἐκ τῶν Διφίλου.*)

Μὴ ποτέ μοι κακὸν ἄνδρα φίλον πιεῖσθαι ἑταῖρον,
Ὡς οἱ ἐπ' ἔργοισι πίστις ἐπ' οὐδεμίῃ,
Ἀλλὰ δόλοις τ' ἀπάτας τε πολυπλοκίας α' ἐφίλησεν
Οὕτως, ὡς ἀνὴρ μηκέτι σωζόμενος.
Ὅς δὲ μιῇ γλώσσῃ δίχ ἔχει νόον οὗτος ἑταῖρος
Δεινός . . . . ἐχθρὸς βέλτερος ἢ φίλος ὢν
Ὅστις ἐπαινέσει με τόσον χρόνον, ὅσον ὀρφῇ,
Νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἴησι κακήν,
Τοιοῦτός μοι ἑταῖρος ἀνὴρ φίλος οὔ τι μᾶλ' ἐσθλός,
Ὅς καὶ εἰπῇ λῷστα, φρονεῖ δ' ἕτερα.
(*Θεόγνιδ. παραινετ.*)

Ὕβρις καὶ αἶσχος προδοσέταιρος ἐν κάκῃ.
Τέως φίλου γνώμων κακοῦ πλεονεξία.
Ἰλυθέντα μὴ φίλον ποίει ποτέ.
Ἀτασθάλου ἀγχόνη φιλία (ἔστι).
Σώζου τάχιστα ἀφεὶς πονηρόν σου φίλον
Ἦθε' ἔφθορ' αἰσχρὸς εὐαγοῦς τέως φίλος.
Ἅρπαξ φίλος φίλων ὁ κερδοσυλλέκτης.
Ὀλεσίμβροτον ποιεῖ φίλον κερδοσύνη.
Θεὸς κολαστὴς τοῦδ' ἔστ' αἰσχροῦ φίλου.
(*Γνῶμαι Μονόστιχ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

### Περὶ κολακείας.

— Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους ὥσπερ τῶν κοράκων τοὺς ἁρπακτικοὺς τρόπους· ἢ γὰρ ἐπαινοῦσι τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνου κρείττονα· ἐξαμβλύνοντες γὰρ τοὺς τῶν ψυχῶν λογισμοὺς οὐ συγχωροῦσι τῶν πραγμάτων τὴν ἀλήθειαν. (*Ἀπολλώνιος.*)

— Ἐπίπλαστος ἔπαινος ἀληθοῦς ψόγου ἀτιμότερος. (*Συνέσιος.*)

— Οἱ κόλακες τοὺς βασιλεῖς καὶ πλουσίους καὶ ἄρχοντας οὐκ ὀλβίους μόνον καὶ μακαρίους, ἀλλὰ φρονήσει καὶ τέχνῃ καὶ ἀρετῇ πάσῃ πρωτεύοντας ἀναγορεύουσιν. (*Πλουτάρχ.*)

— Ὁ πιστεύων οὐ κολακεύει, οὐ προσωπολῃπτεῖ, ἀλλὰ πάντα ἐν ἀληθείᾳ καὶ ὀρθότητι φθέγγεται καὶ πράττει. — Ἔθος γὰρ τοῦτο τοῖς ἐγκωμιάζουσι πρὸς κρεῖττον παραβάλλειν τὸν ἐπαινούμενον· καθάπερ καὶ ἐν ταῖς κωμῳδίαις πρὸς ἐλαττοτέραν καὶ χεῖρον κατάγει τὸ ψεγόμενον. (*Συμεὼν τοῦ Μεταφραστοῦ.*)

— Οἱ μὲν γὰρ φθεῖρες ἀπίασιν ἀπὸ τῶν τελευτώντων, καὶ ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ αἵματος, ἐξ οὗ τρέφονται· τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν ἔστι πράγμασι ξηροῖς καὶ κατεψυγμένοις προσιόντας· ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυνάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ' ἐν ταῖς μεταβολαῖς ἀπορρέουσιν.— Διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐπαίνους. (*Πλουτάρ.*)

— Γένος οὐδὲν ἐστι ἐξωλέστερον, οὐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζου τὴν νεότητα ὡς τὸ τῶν κολάκων, οἵ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ποιοῦντες· τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. (*Πλουτάρχου.*)

— Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει· παῖς παιδὶ καὶ γυναικὶ πρόσφορον γυνὴ· νοσῶν τε ἀνὴρ νοσοῦντι· καὶ δυσπραξίᾳ ληφθείς, ἐπῳδός ἐστι τῷ πειρωμένῳ. Ἐπειδὴ δὲ τὸ μάλιστα φιλίας ἀρχὴν συνέχον καὶ συνιστάνον ὅμοιόν ἐστιν ἐπιτηδευμάτων, καὶ ἠθῶν, καὶ ὅλως τὸ χαίρειν ἔν γε τοῖς αὐτοῖς καὶ τὸ ταὐτὰ φεύγειν, πρῶτον εἰς ταὐτὸ συνάπτει καὶ συνίστησι διὰ τῆς ὁμοιοπαθείας, τοῦτο κατιδὼν ὁ κόλαξ, αὐτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει καὶ σχηματίζει, περιαρμόσαι καὶ περιπλᾶσαι ζητῶν, οἷς ἂν ἐπιχειρῇ διὰ μιμήσεως, ὑγρὸς ὢν καὶ πιθανὸς μεταβάλλεσθαι ἐπὶ τὰς ἐξομοιώσεις. (*Πλουτάρχου.*)

— Ἀλλ' οὐκ οἶδ, ὅπως οἱ πολλοὶ τὰς μὲν ἐπὶ τοῖς ἀτυχήμασι παρηγορίας οὐχ ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν συνεπιθρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νούντων ἄγονται καὶ συνοδυρομένων· ὅταν δ' ἁμαρτάνωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχω καὶ ψόγῳ διωγμὸν ἐμποιῶν καὶ μετάνοιαν, ἐχθρὸς δοκεῖ καὶ κατήγορος, τὸν δ' ἐπαινοῦντα καὶ κατευλογοῦντα τὰ πεπραγμένα, ἀσπάζονται καὶ νομίζουσιν εὔνουν καὶ φίλον. (Πλουτάρχ.)

— Οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη καὶ ἀπελαύνει τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστι ἐπαινοίη λέγων ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν. (Σωκράτους.)

— Ἄνδρα ἀνάξιον μὴ ἐπαίνει διὰ πλοῦτον.

— Ἀγαθὸν μὲν φίλος καὶ κτημάτων πάντων τιμιώτατον· κακὸν δὲ ὁ κόλαξ καὶ κοράκων τῶν ἐξωλεστάτων τὸ χείριστον· ἀλλ' ἡδὺς μὲν ὁ κόλαξ πολλάκις γίνεται χαριζόμενος, πικρὸς δὲ ὁ φίλος ἐπιτιμῶν. (Νεοφ. Δούκα.)

— Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν. (Ἰσοκρ. πρὸς Δημόνικ.)

Οὐαὶ ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι (Λουκ. ς')

Οὗτοί εἰσι γογγυσταὶ μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν. (Ἰούδα α'. 19.)

Διὰ τῆς χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων (Παροιμ. κη'.)

Λόλοι περικώπων μαλακοί, οὗτοι δὲ τύπτουσιν εἰς ταμεῖα ἀσπλάγχνων (Σολομ. κη'. 22.)

Κρεῖσσον ἀνδρὸς ἐλέγχοντος ὑπὲρ ἄλλου κολακεύοντος. (Ἡσαΐ.)

Οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ὁδῶν ταράττουσιν. (Σειράχ. ιγ'. 12.)

Φύγωμεν κολακείας καὶ θωπείας, καὶ τῆς ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον καὶ ποικίλον. Οὐδὲν γὰρ χαλεπώτερον τοῖς εὖ φρονοῦσι, τοῦ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου Βασιλείου.)

Τοῦτο φίλος κόλακος διενήνοχε, τὸ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν· τὸν δὲ μήτε τῶν λυπούντων ἀπέχεσθαι. (»

Ἔστι γὰρ ἀνδρὸς μεγαλορρήμονος, φίλων ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν ἢ ἐχθρῶν κολακείαν· πολλῷ βελτίονα βραχέα λυπήσαντα, μέγιστα ὠφελῆσαι, ἢ τὸ πρὸς ἡδονὴν διώκοντα ζημιῶσαι τῷ κεφαλαίῳ. (Θεολόγου.)

Ὅταν μεταβολή τις γίνεται πρὸς τὸ χεῖρον τότε τῶν κολάκων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφαιρεῖται τὰ προσωπεῖα, τότε ὁ χορὸς ἐλέγχεται τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ πράγματος ἀνοίγεται πάντων τὰ στόματα, ὁ μιαρός, λέγοντες, ὁ πονηρός, ὁ παμπόνηρος· οὐ χθὲς αὐτὸν ἐκολάκευες; οὐ τὰς χεῖρας αὐτοῦ κατεφίλεις; προσωπεῖον ἦν ἐκεῖνα· ἦλθεν ὁ καιρὸς καὶ ἔρριψα τὸ προσωπεῖον, καὶ ἀπεφηνάμην τῇ διανοίᾳ. (Χρυσοστόμου).

Οὐκ ἂν ἔχοι τις ἑταῖρον τὸν κόλακα· νόσος γὰρ φιλίας ἡ κολακεία. (Κλήμεντος.)

Τὰς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον ἢ τοὺς ἄρχοντας αὐτοὺς εἰώθασι θεραπεύειν οἱ πλεῖστοι. (»

Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδὲ μίαν παρέχει. (Πλουτάρχου).

Τὰ μὲν ξύλα τὸ πῦρ αὐξάνοντα, ὑπ' αὐτοῦ τοῦ πυρὸς καταναλίσκονται, ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας, ὑπ' αὐτῶν τούτων διαφθείρεται. (»)

Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς νεκρῶν ὀφθαλμούς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων. (»)

Λαγῷ μὲν κύνα, φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον. (»)

Χαίρειν τοῖς ἐλέγχουσιν ἢ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ λυποῦντες ἡμᾶς διεγείρουσιν· οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκελίζουσιν· διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. (»)

Ἐπὶ τῆς κολακείας ὥσπερ ἐπὶ τοῦ μνήματος αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. (Διογένης.)

Ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει; ἔφη, τῶν μὲν ἀγρίων συκοφάντης τῶν δὲ ἡμέρων κόλαξ.

Δημοσθένης ἔφη, τὸν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Ἀντισθένης φησὶν αἱρετώτερον εἰς κόρακας ἐμπεσεῖν, ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντας διαφθείρουσι τὸ σῶμα, οἱ δὲ τὴν ψυχὴν λυμαίνονται. (Ἀντισθένης.)

Οἱ μὲν κόρακες τῶν τε τελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, οἱ δὲ κόλακες τῶν ζώντων τὰς ψυχάς. (Ἐπικτήτου.)

Ὥσπερ ὁ Ἀκταῖος ὑπὸ τῶν τρεφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τοὺς τρέφοντας κατεσθίουσιν. (Φαβωρίνου.)

Κράτης πρὸς νέον πλούσιον, πολλοὺς κόλακας ἐπισυρόμενον, εἶπε, νεανίσκε, ἐλεῶ σου τὴν ἐρημίαν.

Ἔλεγχε σεαυτὸν ὅστις εἶ, καὶ μὴ πρὸς χάριν ἄκουε, ἀφαιρῶν δὲ κολάκων παρρησίαν. (Ζήνωνος.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἢ τοῖς κολακεύουσιν, ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας. (Πυθαγόρας.)*

*Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκτροπὰς φεύγει τὰς ἀτυχίας (Σωκράτης.)*

*Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους· ἐξαμβλύνοντες γὰρ τοὺς τῆς ψυχῆς λογισμούς, οὐ συγχωροῦσι τῶν πραγμάτων τὴν ἀλήθειαν· ἢ γὰρ ἐπαινοῦσι τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα. (Φίλωνος.)*

*Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι, πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκέλλουσιν· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσι, καὶ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν ἀπίασιν. (Σιτίωνος.)*

*Πασῶν γὰρ ὡς ἔπος εἰπεῖν τῶν κακιῶν, αἰσχίστην ἄν τις εὕροι τὴν κολακείαν. (Δίωνος.)*

*Φωκίων εἰώθει λέγειν πρὸς Ἀντίπατρον, οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρήσασθαι.*

*Ἠπάτησάν σε ἄνδρες εἰρηνικοί σου, καὶ καταλύσουσιν ἐν ὀλισθήματι πόδα σου. (Ἱερμ. με'. 22.)*

*Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην. (Γαλάτας, α'. 10.)*

*Ὁ ἀνθρώποις ἀρέσκων, τοὺς παρ' αὐτῶν ἐπαίνους ἔχοι ἂν εἰκότως εἰς ἀντιμισθίας δύναμιν· λήψεταί γε μὴν τῶν παρὰ θεοῦ σύμπαν οὐδέν. (Κυρίλλου.)*

*Μὴ ἐν ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνθρώπων ἡδυνθῶμεν, ἃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. (»)*

*Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν ὅτι κλαύσετε. (Λουκ. ς'. 25.)*

*Ὁ σοφιζόμενος ἐν λόγοις μισητός· οὗτος πάσης χρείας ὑστέρησεν· οὐ γὰρ ἐδόθη αὐτῷ χάρις παρὰ Κυρίου. (Σειρὰχ. λ.ξ'. 23.)*

*Οὐαὶ τοῖς συρράπτουσι τὰ προσκεφάλαια ἐπὶ πάντα ἀγκῶνα χειρὸς καὶ ποιοῦσιν ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας, τοῦ διαστρέφειν ψυχάς, ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς λαῷ εἰσακούοντι μάταια ἀποφθέγματα. (Ἰεζεκι. ιγ'. 18.)*

*Ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον, πλανῶντες, καὶ πλανῶσιν, ὅπως καταπιέσωσιν αὐτούς. (Ἡσαΐα. θ'. 15.)*

*Πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέων. (Παροιμ. ιθ'. 16.)*

*Τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα ἀκουσθήσονται. (αὐτόθι. ις'. 15.)*

*Ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. (Ψλ. νβ'. 6.)*

*Πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀπελεύθεροι αὗται*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παραφύεσθαι θεραπεῖαι. Οἱ διὰ τὸ ἀπορεῖν οἰκείου ἀγαθοῦ, δι' οὗ γνωρισθῶσιν ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτοὺς συνιστῶσι· καὶ σχεδὸν ὥσπερ ἡ ἐρυσίβη τοῦ σίτου ἐστί φθορά, ἐν αὐτῷ γινομένη τῷ σίτῳ, οὕτω καὶ ἡ κολακεια τὴν φιλιαν ὑποδυομένη, λύμη ἐστὶ τῆς φιλίας.

Στωμύλου τὸ στόμα καὶ φράσις εὐεπὴς τέρψιν παρέχει καὶ ἔπαινον πρὸς κενὴν δόξαν ἀθλίοις ἀνθρώποις ἔχουσι τὸν νοῦν κατεφθαρμένον. (Θεοφράστου.)

Μὴ τοὺς ἐπαινους θέλγοντας καὶ φρεναπατῶντάς σε ἀποδέχου· μισεῖν γὰρ τοὺς κόλακας οἱ σοφοὶ παρεγγυῶσιν ὡς μεγάλα βλάπτοντας. (Νείλου.)

Οὐαὶ οἱ λέγοντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρον καὶ το πικρὸν γλυκύ. (Ἡσοΐου.)

Ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν, οὕτως ὁ κόλαξ τὴν διανοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται. (Βασιλειου.)

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

### Περὶ ἐχθρῶν.

— Ἐχθροῦ δεηθέντος μὴ ἀποστραφῇς τὴν ἀξίωσιν, πλὴν ἀσφαλίζου σεαυτόν, οὐδὲν γὰρ κυνος διαφέρει. (Ἀπολλωνίου.)

— Ἀθάνατον ἐχθραν μὴ φύλαττε θνητὸς ὤν. (Μενάνδρ.)

— Αἱ μεγάλαι ἐχθραι οὐ ῥᾳδίως τὰς μεταλλαγὰς ἔχουσι. (Αἰσώπ. μῦθ. 42.)

— Ἐχθροὺς ἀμύνου μὴ ἐπὶ τῇ σαυτοῦ βλάβῃ. (Μενάνδρ.)

— Ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. (Ματθ. 10,36.)

— Πῶς ἀμυνοῦμαι τὸν ἐχθρόν; Αὐτὸς καλὸς κἀγαθὸς γενόμενος. (Πλουτάρχ.)

— Ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί· ἡ γὰρ εὐλάβεια σῴζει παντα. (Ἀριστοφ. Ὄρν. 395.)

— Οὐδὲν γὰρ ἐπισφαλέστερον τοῦ καὶ ἕνα μόνον ἐχθρὸν κεκτημένου. Καὶ γὰρ ἡ δόξα τῆς ζωῆς ἡμῶν καταβλάπτεται, μυρία ἐκείνου λέγοντος προς πάντας ἡμᾶς καὶ ἡ διάνοια θολοῦται, καὶ το συνειδὸς θορυβεῖται, καὶ χειμῶνα διηνεκῆ λογισμῶν ὑφιστάμεθα. (Χρυσοστ.)

— Τοῦ νοῦν ἔχοντός ἐστι καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι, ὥστε ὠφελεῖσθαι ὑπὸ τῶν ἐχθρῶν. (Ξενοφῶντος.)

— Ἀρχαὶ τῶν πάντων ἔχθρα καὶ φιλία· ἡ μὲν συνάγουσα, ἡ δὲ διακρίνουσα, καὶ τὸ νεῖκος αὐτῶν ποιεῖται πάντα. (Ἐμπεδοκλ.)

— Σκόπει δὴ καὶ τον ἐχθρόν, εἰ βλαβερὸς ὢν τἆλλα καὶ δυσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεταχείριστος, ἀμωσγέπως ἀφὴν ἐνδίδωσιν αὐτοῦ καὶ χρῆσιν οἰκείαν, καὶ ὠφέλιμός ἐστι. (Πλουτάρχ.)

— Σπούδαζε τὰς μὲν ἔχθρας ὀλιγοχρονίους ποιῆσαι, τὰς δ' ἀγάπας πολυχρονίους. (Θεοπόμπου.)

— Τί κωλύει, διδάσκαλον ἄμισθον λαβόντα τὸν ἐχθρόν, ὠφεληθῆναι καὶ μαθεῖν τι τῶν λανθανόντων; Πολλὰ γὰρ ὁ ἐχθρὸς μᾶλλον αἰσθάνεται τοῦ φίλου. Τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, (ὡς Πλάτων φησί)· τῷ δὲ μισεῖν μετὰ τοῦ πολυπραγμονεῖν καὶ τὸ λαλεῖν ἕνεστιν. (Πλουτάρχ.)

— Κρεῖσσον δὲ καὶ μεῖζον εὐνοίας χάριν ἀμειβομένης, ἔχθρα λυποῦσαν ἀρετὴν θαυμάζουσα. Τὸ γὰρ καλὸν ἐνταῦθα τὴν τιμὴν ἔχει μόνον, ἐκεῖ δὲ τὸ λυσιτελὲς καὶ ἡ χρεία μᾶλλον ἀγαπᾶται. (Πλουτ.)

Πρῶτον μὲν οὖν δοκεῖ μοι τῆς ἔχθρας τὸ βλαβερώτατον ὠφελιμώτατον ἂν γενέσθαι τοῖς προσέχουσι· τί δὲ τοῦτό ἐστιν; Ἐφεδρεύει σου τοῖς πράγμασιν ἐγρηγορὼς ὁ ἐχθρὸς ἀεί, καὶ λαβὴν ζητῶν πανταχόθεν περιοδεύει τὸν βίον, οὐ διὰ δρυὸς μόνον ὁρῶν, ὡς ὁ Λυγκεύς, οὐδὲ διὰ λίθων καὶ ὀστράκων, ἀλλὰ καὶ διὰ φίλου καὶ οἰκέτου, καὶ διὰ συνήθους παντός, ὡς ἄνυστόν ἐστι, φωρῶν τὰ πραττόμενα, καὶ τὰ βουλευόμενα διορύττων καὶ διερευνώμενος. Οἱ μὲν γὰρ φίλοι καὶ νοσοῦντες ἡμᾶς πολλάκις καὶ ἀποθνήσκοντες λανθάνουσι, μέλλοντας καὶ ὀλιγωροῦντας· τῶν δ' ἐχθρῶν μονονουχὶ καὶ τοὺς ὀνείρους πολυπραγμονοῦμεν. (Πλουτάρχου).

Πῶς ἀμυνοῦμαι τὸν ἐχθρόν; αὐτὸς καλὸς κἀγαθὸς γενόμενος. Εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει κίναιδον, μηδὲ μαλακόν, μηδ' ἀκόλαστον, μηδὲ βωμολόχον, μηδ' ἀνελεύθερον· ἀλλ' αὐτὸς ἀνὴρ ἴσθι, καὶ σωφρόνει καὶ ἀλήθευε, καὶ χρῶ φιλανθρώπως καὶ δικαίως τοῖς ἐντυγχάνουσιν. Ἂν δὲ λοιδορῆσαι προαχθῇς, ἄπαγε ποῤῥωτάτω σεαυτὸν ὧν λοιδορεῖς ἐκεῖνον· ἐνδύου τῇ ψυχῇ, περισκόπει τὰ σαθρά, μήτις καὶ σοί ποθεν ὑποφθέγγηται κακία τὸ τοῦ τραγῳδοῦ».

Ἄλλων ἰατρός, αὐτὸς ἕλκεσι βρύων. (»)

Ἂν ἀπαίδευτον εἴπῃ σε, ἐπίτεινε τὸ φιλομαθὲς ἐν σεαυτῷ καὶ φιλόπονον· ἂν ἀειλόν, ἔγειρε μᾶλλον τὸ θαρσαλέον καὶ ἀνδρῶδες· κἂν ἀσελγῆ τε καὶ ἀκόλαστον, ἐξάλειφε τῆς ψυχῆς, εἴτι λανθάνον ἐστὶ φιληδονίας ἴχνος. Οὐδὲν γὰρ αἰσχιόν ἐστι βλασφημίας παλινδρομούσης, οὐδὲ λυπηρότερον· ἀλλ' ἔοικε καὶ τὸ τοῦ φωτὸς ἀνακλώμενον μᾶλλον ἐνοχλεῖν τὰς ἀσθενεῖς ὁράσεις, καὶ τῶν ψόγων οἱ πρὸς αὐτοὺς ἀναφερόμενοι τοὺς ψέγοντας ἀπὸ τῆς ἀληθείας. Ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας. (»)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὥσπερ γὰρ ὁ τὸν Θεσσαλὸν Προμηθέα κτεῖναι διανοηθείς, ἐπαισε τῷ ξίφει τὸ φῦμα, καὶ διεῖλεν οὕτως, ὥστε σωθῆναι τὸν ἄνθρωπον καὶ ἀπαλλαγῆναι τοῦ φύματος ῥαγέντος, οὕτω πολλάκις ὑπ' ὀργῆς, ἢ ἔχθρας, προσπεσοῦσα λοιδορία, κακὸν ψυχῆς, ἢ ἀγνοούμενον, ἢ ἀμελούμενον ἐθεράπευσεν. (»)

Οὔτε μὴν γὰρ τούτου σεμνότερον καὶ κάλλιόν ἐστι τὸ λοιδοροῦντος ἐχθροῦ τὴν ἡσυχίαν ἄγειν, λισσάδα πέτραν φιλοκέρτομον ὡς παρανηχομένους· ἀλλὰ μείζων ἡ ἄσκησις· ἂν ἐχθρὸν ἐθισθῇς λοιδοροῦντα φέρειν σιωπῇ, πάνυ ῥᾳδίως οἴσεις γυναικὸς ὀρμὴν κακῶς λεγούσης, καὶ φίλου φωνὰς καὶ ἀδελφοῦ πικροτέρας ἀκούων, ὑπομενεῖς ἀθορύβως· πατρὶ δὲ καὶ μητρὶ τυπτόμενος καὶ βαλλόμενος, παρέξεις ἄθυμον καὶ ἀμήνιτον σεαυτόν. Ὁ μὲν γὰρ Σωκράτης ἔφερε τὴν Ξανθίππην, θυμοειδῆ οὖσαν καὶ χαλεπήν, ὡς ἂν εὐκόλως συνεσόμενος ἑτέροις, ἂν ἐκείνην ὑπομένειν ἐθισθῇ· πολὺ δὲ βέλτιον ἐχθρῶν καὶ ἀλλοτρίων ἐγγυμνασάμενον σκώμμασι καὶ λοιδορίαις καὶ ὀργαῖς καὶ βδελυρίαις, ἐθίσαι τὸν θυμὸν ἡσυχίαν ἄγειν, μηδ' ἀσχάλειν ἐν τῷ λοιδορεῖσθαι. (»)

Πραότητα μὲν οὖν καὶ ἀνεξικακίαν οὕτως ἐστὶν ἐνεπιδείξασθαι ταῖς ἔχθραις· ἁπλότητα δὲ καὶ μεγαλοφροσύνην καὶ χρηστότητα μᾶλλον φιλίαις. Φίλον μὲν γὰρ οὐχ οὕτω τὸ εὖ ποιεῖν καλόν, ὡς αἰσχρὸν τὸ μὴ ποιεῖν δεόμενον. Ἐχθροῦ δὲ καὶ τὸ τιμωρίαν παραλιπεῖν ἐν καιρῷ παρασχόντος ἐπιεικές ἐστι. Τὸν δὲ καὶ πταίσαντι συμπαθήσαντα, καὶ δεηθέντι συλλαβόμενον, καὶ παισὶν ἐχθροῦ καὶ οἰκείοις πράγμασιν ἐν χρείᾳ γενομένοις σπουδήν τινα καὶ προθυμίαν ἐνδειξάμενον, ὅστις οὐκ ἀγαπᾷ τῆς εὐμενείας, οὐδ' ἐπαινεῖ τὴν χρηστότητα,

Κεῖνος ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν.

(Πλουτάρχου περὶ τοῦ πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελεῖτο.)

## ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ'.

### Περὶ ἔρωτος.

— Πολὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς, ἢ ὁ τοῦ σώματος ἔρως (Ξενοφ. Συμπόσ. 8, 12.)

— Ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι,
καὶ γυναικῶν φρενῶν τλημόνων,
καὶ παντόλμους
ἔρωτας ἄταισι συννόμους βροτῶν; (Αἰσχύλος.)

— Ἔρως ἀνίκατε μάχαν. (Ἀντιγ. Σοφ. 78.)
ὁ δ' ἔχων μέμνηε. (790.)

— Ἔρωτες ὑπὲρ μὲν ἄγαν ἐλθόντες οὐκ εὐδοξίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ ἀρετὴν παρέδωκαν
Ἀνδράσιν· εἰ δ' ἄλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα Θεὸς εὔχαρις οὕτω. (*Εὐριπίδ. Μήδ. 628.*)

— Οὐδὲν ἡδὺ τοῖς ἐρῶσι πλὴν τὸ ἐρώμενον.
Τὴν γὰρ ψυχὴν πᾶσαν ὁ ἔρως καταλαβὼν
οὐδ' αὐτῇ χώραν δίδωσι τῇ τροφῇ. (*Ἀχιλλ. Τάτιος, 5, 13.*)

— Τὸ μὲν ἀπείρατον γενέσθαι τὴν ἀρχὴν ἔρωτος εὔδαιμον, τὸ δ' ἁλόντα, πρὸς τὸ σῶφρον τὸ βούλημα περιποιῆσαι σοφώτατον. (*Ἡλιοδώρ. Αἰθιοπ. 4, 10.*)

— Ἔρως εἰς ψυχὴν ἐμπεσὼν καὶ ὅλην καταδουλώσας αὐτήν, τῶν μὲν ἄλλων πάντων πείθει καταφρονεῖν ὅλην δ' αὐτὴν πρὸς ἑαυτὸν μεθαρμόζεται. (*Εὐμάθιος. 7, 7.*)

— Οὐδὲν ποτὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
Ἢ τὰ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἀδὺ
Γίνετ' ἐν ἀνθρώποις, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐντι. (*Θεοκρ. 11 εἰδωλ. 1.*)

— Ἔρως οὐ πᾶς ἐστι καλός, οὐδ' ἄξιος ἐγκωμιάζεσθαι, ἀλλ' ὁ καλῶς προτρέπων ἐρᾶν. (*Πλάτ. Συμπόσ. 181.*)

— Ὁ δὲ ἔρως περὶ τὰ ἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος, καὶ παρ' ἡμῖν καὶ παρὰ Θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει, καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει καὶ ἀλλήλοις δυναμένοις ὁμιλεῖν καὶ φίλους εἶναι καὶ τοῖς κρείττοσιν ἡμῶν Θεοῖς. (*Πλάτ. Συμπόσιον*).

— Μὴ καταμάνθανε κάλλος ἀλλότριον, ὅτι ἡ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται (*Σειράχ.*)

— Ὁ γὰρ τὴν φλόγα ἀνάψας ἅπαξ, καὶ ἀπούσης τῆς ὀφθείσης γυναικός, πλάττει παρ' ἑαυτῷ διηνεκῶς εἴδωλα πραγμάτων αἰσχρῶν, καὶ ἀπ' αὐτῶν ταχέως καὶ ἐπὶ τὸ ἔργον πρόεισι. (*Χρυσοστόμ.*)

— Ἐκ τοῦ ὁρᾶν τίκτεται τὸ ἐρᾶν.

— Ἔρως ἐστὶν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολή, ταχεῖαν μὲν ἔχουσα τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν.— Ὁ αὐτός, τὸν ἔρωτα, ἔλεγε «πάθος ψυχῆς σχολαζούσης». (*Θεοφράστου.*)

— Διὰ ζηλοτυπίαν ἀνὴρ τ' ἀχρεῖος καὶ γυνὴ διοίχεται. (*Μένανδρ.*)

— Δεινός γάρ ἐστιν ἔρως, ὥσπερ ὁ κιττός, αὐτὸν ἐκ πάσης ἀναδῆσαι προφάσεως. — Οὔτε γὰρ ἔρως σώματος ἐνεργός, εἰ μὴ μετὰ ζηλοτυπίας ἔνεστιν. — Οἱ μὲν γὰρ νοῦν τὸν ἔρωτα, οἱ δ' ἐπιθυμίαν, οἱ δὲ μανίαν, οἱ δὲ θεῖόν τι κίνημα ψυχῆς καὶ δαιμόνιον, οἱ δὲ ἄντικρυς Θεὸν ἀναγορεύουσιν. Ὅθεν ὀρθῶς ἐνίοτε ἔδοξε τὸ μὲν ἀρχόμενον ἐπιθυμίαν εἶναι τὸ δ' ὑπερβάλλον μανίαν, τὸ δ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀντίστροφον φιλίαν, τὸ δὲ ταπεινότερον ἀρρωστίαν, τὸ δ' ἐκπυροῦν ἐνθουσιασμόν· διὸ καὶ πυρφόρον αὐτὸν οἵ τε ποιηταὶ λέγουσιν, οἵ τε πλάσται καὶ γραφεῖς δημιουργοῦσιν· ὅτι καὶ τοῦ πυρὸς τὸ μὲν λαμπρὸν ἥδιστόν ἐστι, τὸ δὲ καυστικὸν ἀλγεινότατον. — Ἐξέλασον αὐτοῦ τὸ θηρίον πρὶν ὄνυχας φῦσαι καὶ ὀδόντας· εἰ δὲ μή, μαχέσῃ τελείῳ κακῷ, τὸ παιδίον τοῦτο καὶ νήπιον ἐναγκαλιζόμενος· τίνες δέ εἰσιν οἱ τοῦ ἔρωτος ὄνυχες καὶ ὀδόντες; ὑποψία, ζηλοτυπία· ἀλλὰ ἔχει τι πιθανὸν καὶ ἀνθηρόν, ἀμέλει καὶ ἡ σφὶγξ εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ· οὕτω δὲ καὶ ὁ ἔρως ἔχει τι χαρίεν καὶ ἄμουσον, ἀλλὰ αἰμύλον καὶ ἐπιτερπές· ἁρπάζει δὲ καὶ βίους, καὶ οἴκους, καὶ γάμους, καὶ ἡγεμόνας, οὐκ αἰνίγματα προβάλλων, ἀλλ' αὐτὸς αἴνιγμα δυσεύρετον ὢν καὶ ἄλυτον . . . . . τῆς μὲν γὰρ σφιγγὸς τὸ αἴνιγμα τὰ πλεῖστα καὶ πεπλασμένα ἔχει, . . . . . τὰ δὲ τῶν ἐρώντων πάθη ἀληθῆ· στέργουσιν, ἐχθραίνουσι· τὸν αὐτὸν ποθοῦσιν ἀπόντα, τρέμουσι παρόντα, κολακεύουσι, λοιδοροῦσι, προαποθνήσκουσι, φονεύουσιν, εὔχονται μὴ φιλεῖν, καὶ παύσασθαι φιλοῦντες οὐ θέλουσι· σωφρονίζουσι καὶ πειρῶσι· παιδεύουσι καὶ διαφθείρουσιν· ἄρχειν θέλουσι, καὶ δουλεύειν ὑπομένουσι· τοῦτο αἴτιον γέγονε μάλιστα τοῦ μανίαν ὑπολειφθῆναι τὸ πάθος. (Πλουτάρχ.)

— Ἀληθὲς ἄρ' ἔστι τὰς γυναῖκας ὀλιγόφρονας νομίζειν ἐκείνους τῶν ἀνδρῶν, ὁπόσοι γ' ἠλπίκασι τὴν ζηλοτυπίαν σωφροσύνης εἶναι φυλακτικήν. — Ἔστι γὰρ λίαν εὐφυὴς ζηλοτυποῦσα γυνή. — Οὐκοῦν μηδαμῶς προσήκει τὸν γε νοῦν ἔχοντα ἐν μυχοῖς δόμων λίαν φυλάσσειν τὴν ἄλοχον· ἐρᾷ γὰρ ἡ ψυχὴ τῶν θύραθεν τερπνῶν καὶ ἡδέων, καὶ τῇ στερήσει ἐπιδίδωσι τὰ τῆς ἐφέσεως· αἱ δ' ἐν ἀφθονίᾳ καὶ ἀμφιλαφεῖ ἀναστρεφόμεναι θέᾳ πολλά τε βλέπουσαι, καὶ παντὸς παροῦσαι, καὶ λόγων πολλοῖς κοινωνοῦσαι, ἐμπλήσασαι τὴν ὄψιν, καὶ τῇ τοιαύτῃ ἐλευθερίᾳ εὐγενῶς ἐφησυχάσασαι καὶ ἀπηλλαγμέναι τῶν περαιτέρων κακῶν ἔντιμον βίον γεωργοῦσαι. (Φιλοθ' Πάρεργα.)

— Ὁ μὲν χαμαὶ ἐρχόμενος ἔρως, ἀφροδίτης πανδήμου ὑπάρχων γονή, χαμαιζήλοις ψυχαῖς ἐπιφύεται, καὶ ἔρημός ἐστι παντοίας ἀρετῆς, καὶ εἰς ἄλογον τάξιν κατασπᾷ τοὺς αὐτὸν μετιόντας· τὸ δὲ τοὺς ἀληθῶς ἐρῶντας, . . . . ἀξιαγάστῳ τε μεγαλονοίᾳ πρὸ ὀμμάτων τοῦ ἐρωμένου πᾶσαν ἀρετὴν ἀσκοῦντας, γυμνοὺς φρονήσεως εἶναι νομίζειν, οὐκ ἂν εἴη διανοίας ἀσφαλοῦς. Κατεψυγμένη δὲ καρδία, στεῖρα καὶ ἄγονος οὖσα, οὐδέποτε τίκτει ὁτιοῦν καλόν· ἐπειδὰν δ' ἐν αὐτῇ ξῇ σπινθὴρ ἔρωτος, ἀναζωπυρεῖ καὶ διεγείρει τὰς ψυχικὰς δυνάμεις, ὧν ἀεννάῳ κινήσει διατεινομένων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξάπτεται ὅ,τι τάχιστα φαεινότατος θείου πυρσός. (Φιλοθ. Πάρεργ.)

— Ἐπὶ γυμνῷ κάλλει σαλεύων ἔρως ὀλιγοχρόνιος, καὶ ἐλέους ἄξιος ἐφημέρῳ ἀπολαύει γοητευόμενος· ἀρεταῖς δὲ κοσμούμενος κάλλος οὐ δέδοικε ναυαγῆσαι, ἀλλὰ μέχρι γήρως, ὡς τὰ πολλὰ διαμένει, ὑπὸ ἀκηράτων καὶ ἱλαρῶν ἀρετῆς ἀκτίνων, καὶ τῶν ῥυτίδων φαιδρυνομένων καὶ ἐν τῷ ἀκμάζοντι δὲ τῆς ἡλικίας ἡ ἀμφιλαφὴς ἀπόλαυσις διδύμου κάλλους κόσμου ἅμα καὶ εὐτονίαν περιτίθησι τῷ ἔρωτι. (Φιλοθέου Πάρεργα.)

## Περὶ θείου ἔρωτος.

Τοῖς ἐρημικοῖς ἄπαυστος ὁ θεῖος πόθος. Μακάριος ὅστις τοιοῦτον πρὸς Θεὸν ἐκτήσατο πόθον, οἷον μανικὸς ἐραστὴς πρὸς τὴν ἑαυτοῦ ἐρωμένην κέκτηται . . . . οὐχ οὕτω μήτηρ ὑπομαζίῳ παιδί, ὡς ἀγάπης υἱὸς τῷ Κυρίῳ προσκολλᾶσθαι πέφυκε πάντοτε· ὁ ὄντως ἐρῶν, ἀεὶ τὸ τοῦ φιλουμένου φαντάζεται πρόσωπον καὶ τοῦτο ἔνδον ἐνηδύνως περιπτύσσεται· ὁ τοιοῦτος οὐκέτι οὐδὲ καθ' ὕπνους δύναται ἀλλὰ κἀκεῖ τῷ ποθουμένῳ προσαδολεσχεῖ· οὕτως ἐπὶ ἀσωμάτων πέφυκε γενέσθαι· τούτῳ τις τῷ βέλει τρωθεὶς ἔλεγε περὶ ἑαυτοῦ, ὅπερ θαυμάζω· ὡς ἐγὼ καθεύδω, διὰ τὴν χρείαν τῆς φύσεως, ἡ καρδία μου γρηγορεῖ διὰ τὸ πλῆθος τοῦ ἔρωτος. (Ἰω. Κλίμ. λόγ. λ', περὶ ἀγάπης.)

# ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

## Περὶ πεφωτισμένης συνειδήσεως.

Οὐδὲν οὕτως ἡμᾶς εὐφραίνειν εἴωθεν, ὡς συνειδὸς καθαρόν.— Τοῦτο μόνον οὐκ ἔστι διαφυγεῖν, τὸ ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς δικαστήριον, ὅ ἐστι συνείδησις. (Γρηγορίου τοῦ Θεολόγου.)

Οἱ λαμπροὶ τὴν συνείδησιν, υἱοὶ φωτὸς καὶ ἡμέρας ἀγορεύονται. — Οὐδὲν οὐδὲν οὕτως ἀναίσχυντον ποιεῖ τὸν ἄνθρωπον, ὡς πονηρὸν συνειδός. —Πολλοὶ λέγουσιν. «Ἀσεβεῖν μέλλομεν, ἐὰν τὰ παραδοθέντα ἡμῖν ἐκ πατέρων σεβάσματα καταλείψωμεν. Ὅμοιον γάρ ἐστι τῷ παρακαταθήκην μὴ φυλάξαι.» Οὐκοῦν τούτῳ τῷ λόγῳ κἂν λῃστοῦ τις ᾖ πατρὸς ἢ αἰσχροβίου, οὐκ ὀφείλει ὁ υἱὸς νήψας τὸ κρεῖττον ἑλέσθαι, ἵνα μὴ ἀσεβήσῃ, καὶ μὴ τὰ ἴσα γονεῦσι ποιῶν ἁμάρτῃ ; Πῶς δὴ ἀνόητοι οἱ λέγοντες ! (Ἰωάννου τῆς Κλίμακος.)

Παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδωκαν, ἐπιβλέποντι πανταχοῦ πρὸς τὸ μὴ βλάπτεσθαι· ἄνδρας δὲ γενομένους, ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. Ταύτης οὖν τῆς φυλακῆς μηδαμῶς καταφρονητέον, ἐπεὶ καὶ θεῷ ἀπάρεστον, καὶ ἰδίῳ συνειδότι ἐχθροὶ ἐσόμεθα. (Ἐτικτήτου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

*Οὕτως αἱ κρίσεις, ἂν μὴ βεβαιότητα καὶ ῥώμην ἐκ λόγου καὶ φιλοσοφίας προσλάβωσιν ἐπὶ τὰς πράξεις, σείονται καὶ παραφέρονται ῥαδίως ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων ἐκκρουόμεναι τῶν οἰκείων λογισμῶν. Δεῖ γὰρ οὐ μόνον, ὡς ἔοικε τὴν πρᾶξιν καλὴν εἶναι καὶ δικαίαν, ἀλλὰ καὶ τὴν δόξαν, ἀφ' ἧς πράττεται, μόνιμον καὶ ἀμετάπτωτον. — Οὐ τὰ πράγματα βλάπτει ἀλλὰ τὸ περὶ αὐτῶν δόγμα. — Πυρετὸν μὲν γὰρ οὐδεὶς ὑγείαν ὠνόμασεν, οὐδὲ φθίσιν εὐεξίαν· οὐδὲ ποδάγραν ποδώκειαν· οὐδὲ ὠχριασιν ἐρύθημα· θυμὸν δὲ πολλοὶ καλοῦσιν ἀνδρείαν, καὶ ἔρωτα φιλίαν, καὶ φθόνον ἅμιλλαν, καὶ δειλίαν ἀσφάλειαν . . . . οἴονται γὰρ ἐπιτυγχάνειν ἐν οἷς διαμαρτάνουσιν. (Πλουτάρχου.)*

*Καὶ οὗτός ἐστι χαρακτὴρ ἐπίσημος τῶν νουνεχεστέρων· καὶ γὰρ εἴγε πάντας εὐτυχεῖν αὐτοὺς ὑπειλήφασι, μηδὲν ἧττον ὅμως ἀθυμοῦσιν, εἰμὴ κατὰ ψυχὴν βεβαίαν εὐδαιμονίαν ἔχειν, αὐτοὶ ἑαυτοὺς ἐπιγιγνώσκοιεν, οὐ ταῖς ἀλλοτρίαις ὑπολήψεσιν, ἀλλὰ τῇ ἐνδον ἀσφαλεῖ κτήσει τὴν εὐτυχίαν κρίνοντες. (Φιλοθέου. Πάρεργα.)*

*Τίς ἡ ἀπορία; τίς ἡ ἀμηχανία καὶ ἡ ἀθημονία ἡ ἐν αὐτῇ τῇ ψυχῇ οἰκουροῦσα; πόθεν αἱ μεμψιμοιρίαι ἡμῖν, πρὸς δοκοῦντας μέν, μὴ ὄντας δὲ τῶν παρόντων κακῶν αἰτίους, ἢ ἡ συνείδησις, ἣν προκαλύψαι, ἢ μᾶλλον καταδυσωπῆσαι βουλόμενοι, ἄλλοις σπεύδομεν περιάψαι τῶν κακῶν τὰς αἰτίας, ὧν αὐτοὶ ἡμεῖς ἐσμεν ἀρχιτέκτονες· κἀπὶ τούτοις δεινοπαθοῦντες προσεποιούμεθα, προφάσεις ἐν ἁμαρτίαις κατὰ τὸν ψαλμογράφον, προφασιζόμενοι; (Νεοφύτου Δούκα.)*

*Ἀδύνατον τῷ κακῷ καὶ νοῆσαι ἡλίκην γαλήνην τῇ ψυχῇ πορίζει ἡ ἥσυχος συνείδησις . . . . . — Ἡ ἀτάραχος συνείδησις γίνεται ὡς παράδεισος τῆς καρδίας, ἄσυλον ἐν ταῖς δυστυχίαις καὶ ἄγκυρα ἀσφαλείας κατὰ τὸν πλοῦν τῆς ζωῆς. — Φεύγει πολλάκις ὁ ἄνθρωπος τὴν ἐκδίκησιν τῶν νόμων. Ἀλλὰ πῶς φύγῃ τὸν ἔλεγχον τῆς ἑαυτοῦ συνειδήσεως; (Σαριπόλου.)*

*«Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός Σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;» Ψαλμ.*

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

### Περὶ εὐπιστίας, δυπιστίας καὶ ἀπιστίας.

*Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. — Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. (Ἰωάννου κ'. 25.)*

*Ἔστιν ἀμέλει ἀπιστία, ὑπόληψίς τις ἀδικίας κατὰ πάντων· ὁ δὲ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄπιστος, τοιοῦτός τις, οἷος, ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα, ἕτερον παῖδα πέμπει πευσόμενον, πόσου ἐπρίατο Καὶ φέρων αὐτὸς τὸ ἀργύριον, κατὰ στάδιον ἀριθμεῖν, πόσον ἐστί. Καὶ τὴν γυναῖκα τὴν αὐτοῦ ἐρωτᾶν κατακείμενος, εἰ κέκλεικε τὴν κιβωτόν, καὶ εἰ σεσήμανται τὸ κοιλιούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὐλαίαν ἐμβέβληται· καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς ἀναστάς, γυμνὸς ἐκ τῆς κλίνης καὶ ἀνυπόδητος, τὸν λύχνον ἅπαξ, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ οὕτω μόλις ὕπνου τυγχάνειν. (Θεοφράστου.)

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα. (Α'. Ἰωάννου δ'. 1.)

Τὸ γὰρ ἐφικτόν, οὐδὲ πιστόν πως διὰ τὸν φθόνον· ψυχαῖς γὰρ βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον. (Θεολόγου.)

Τὸ πίστει παραδεκτόν, ἀπολυπραγμόνητον εἶναι χρή· τὸ γὰρ βασανιζόμενον πῶς ἔτι πιστεύεται ; (Κυρίλλου.)

Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. (Ἰσοκράτους.)

Μὴ πᾶσι πίστευε. (Πιττακοῦ.)

Πολλοὺς γὰρ ἀπολέσθαι διὰ τὸ πιστοῦσθαί τισιν οἷς ἀπιστεῖν δέον, ἀπιστεῖσθαι δὲ πάλιν οἷς πιστοῦσθαι δέον. (Πλουτάρχου.)

Μὴ πάνθ' ἑξῆς πείθου τοῖς λέγουσιν ὅ,τι τύχοι· ἀλλὰ μέμνησο καὶ ἀπιστεῖν· ἄρθρον γὰρ τοῦτο τῶν φρενῶν. — Ἔστι γάρ τις ἁπλοῦς, ἀλλ' ἔστι που ἕτερος καὶ διπλοῦς· ἐκεῖνος μὲν ὡς δυσκίνητος ὢν εἰς κακίαν, ἔστι βραδὺς εἰς ὑπόνοιαν· οὗτος δὲ τοὐναντίον. ἕτοιμος ὢν πρὸς δόλον, οὐκ ἔστιν εὐθύς, ἐν οἷς λέγει· τὸ γὰρ ἄκακον ἦθος οὐκ οἶδε φυλάττειν ἀπόρρητον· ὁ δέ, διπλοῦς ὢν καὶ ἀλλοπρόσαλλος, ἄλλα μὲν βάζει, ἄλλα δὲ κεύθει· πονηρὰ γὰρ φύσις πάντας ἑαυτῇ ὁμοίους οἴεται εἶναι. Μέμνησο τοίνυν ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν.

Ἄνοιξον τὴν χεῖρά σου πρὸς πάντας τοὺς ἔχοντας χρείαν· ἀλλὰ τὴν καρδίαν σου πρὸς ὀλίγους δεδοκιμασμένους, καὶ τοῦτο σπανίως καὶ εὐλαβῶς. Ἂν φυλάττωμεν κατάκλειστα ἐντὸς κιβωτίων τὰ χρήματα καὶ ἄλλα πολύτιμα κειμήλια, πόσῳ μᾶλλον ἁρμόζει, ἵνα κρύπτωμεν τοὺς διαλογισμοὺς ἡμῶν. Ὁ μὴ δυνάμενος ἵνα χρησιμεύσῃ ὡς φίλος, χρησιμεύει κἂν ὡς ὑπηρέτης ; Οὐδαμῶς ; διότι τίς ἐμπιστεύεται αὐτόν ; πρέπει λοιπὸν ἀναγκαίως ἵν' ἀποπεμφθῇ τῆς κοινωνίας ὡς λυμεὼν καὶ ὡς κάθαρμα. — Ἡ ἄτοπος δυσπιστία, ἢ πρὸς ἑαυτὸν ἢ πρὸς ἄλλους, ἀποτελεῖ δυστυχῆ τὸν ἄνθρωπον· καθότι μένει πάντοτε ἀμφιρροπος καὶ οὐδὲν τολμᾷ ἵνα πράξῃ Ἐνίοτε μάλιστα τῷ συμβαίνουσι κακὰ ὀλέθρια ἕνεκα τούτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Δ. Μπιτ

— Ἡ εὐπιστία ἀποδεικνύει ἀδυναμίαν πνεύματος παραδεχομένου, ἀπερισκέπτως, ὡς ἀληθεῖς τοὺς λόγους τῶν ἄλλων, ἢ ὡς ἀκριβεῖς τὰς γινομένας παρ' αὐτῶν προτάσεις, μηδὲ τὰ πράγματα ἢ τὰς περιστάσεις ἐξετάζοντος.

Ἡ πίστις τιμᾷ μὲν καὶ τὸν ἄνθρωπον πρὸς ὃν ἀναφέρεται, ἀλλὰ πολὺ μᾶλλον ἐκεῖνον, ὅστις ἔχει αὐτήν. Ἰδοὺ τί ὁ Πλούταρχος ἀναφέρει περὶ τοῦ Μεγ. Ἀλεξάνδρου, ὅ,τι ἀφορᾷ τὴν πρὸς τοὺς φίλους αὐτοῦ πίστιν· Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων ἀπορρήτους λόγους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, συναναγινώσκοντος, οὐκ ἐκώλυεν· ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ, τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν. Παραγγείλας συμβολικῶς διὰ σιωπῆς σιωπήν. Ἀλλ' ὄντως ὁ Ἡφαιστίων ἦτο ἄξιος τοιαύτης πίστεως.

— Τὴν πίστιν ὀλίγην νέμε, πλείστων πλεῖστα λεγόντων καὶ οὐ πραττόντων (Κάτων Ρωμαῖος.)

— Ὑπὲρ τῆς ὑμετέρας ἀσφαλείας τοῦ ἀποστόλου τολμήσαντος καὶ αὐτῶν καθάψασθαι τῶν ἀγγέλων. δι' ὧν, φησί, κἂν ἡμεῖς αὐτοὶ ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὅ,τι εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω· ἐξ ὧν παιδευόμεθα, ὅτι κἂν πολὺ γνήσιός τις ᾖ καὶ ὑπερβαλλόντως ἔνδοξος ὁ κωλύων τὸ ὑπὸ τοῦ νόμου προστεταγμένον ἢ προτρέπων ποιεῖν τὸ ὑπ' αὐτοῦ κεκωλυμένον, φευκτὸς ἦ καὶ βδελυκτὸς ὀφείλει εἶναι ἑκάστῳ τῶν ἀγαπώντων τὸν Κύριον. (Βασίλειος.)

## ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

### Χρησμοὶ καὶ προφητεῖαι περὶ Χριστοῦ.

— Παῖς ἑβραῖος κέλλεταί με θεοῖς Μακάρεσιν ἀνάσσων
τὸν δὲ δόμον προλιπεῖν καὶ ἀείδειν αὖθις ἱκέσθαι·
λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετέρων.

(Περὶ τῆς γεννήσεως Χριστ. ἐπὶ Αὐγούστου χρησμὸς ἐκ τοῦ μαντείου Ἀπόλλωνος.)

— Ὀψέποτέ τις ἐπὶ τὴν πολυσχιδῆ ταύτην ἐλάσειε γῆν· καὶ δίχα σφάλματος γενήσεται ἡ ἀρχή. Ἀκαμάτοις δὲ θεότητος ὅροις ἀνιάτων παθῶν λύσει φθοράν. Καὶ τούτῳ φθόνος γενήσεται ἐξ ἀπίστου λαοῦ· καὶ εἰς ὕψος κρεμασθήσεται ὡς θανάτου κατάδικος. (ἐκ τοῦ μαντείου Ἀπόλλωνος.)

— Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. (Ἡσαΐας. ζ'. 14.)

— Εἷς με βιάζεται οὐράνιος· ὃς ἐστι φῶς τριλαμπές· ὁ δὲ πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θὼν Θεός ἐστι καὶ οὐ θεότης πάθεν αὐτή· ἄμφω γὰρ βροτόσωμος καὶ ἄμβρωτος, αὐτὸς ἦδη Θεὸς καὶ ἀνὴρ πάντα φέρων ἐκ θνητῆς σταυρὸν ὕβριν ταφήν. (*Χρησμὸς Σιβυλλῶν.*)

— *Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός . . . . . ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ.* (*Γαλ. δ'. 4.*)

— *Προφήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ ἀναστήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε.* (*Δευτερον. ιη'. 15.*)

— *Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε* (*Ἰωάν. 3—45, 46.*)

— *Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί . . . . . Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν* (*Ἡσάΐας θ'.*)

— *Ἰδοὺ ἡμέραι ἔρχονται, καὶ ἀναστήσω τῷ Δαυὶδ Ἀνατολὴν δικαίαν . . . . . καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος, Ἰωσεδὲκ ἐν τοῖς προφήταις.* (*Ἱερεμ. κγ'. 5, 6.*)

— *Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ. Ἰδοὺ ὁ Βασιλεὺς ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.* (*Ζαχαρ. θ'. 9.*)

— *Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ. Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον τεθλασμένον οὐ συντρίψει καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν.* (*Ἡσαΐας ε'.*)

(*Πλείονα ὅρα εἰς τὸ ἡμέτερον «περὶ ἀποκαλύψεως τοῦ Θεοῦ ἐν τῷ κόσμῳ» καὶ εἰς τὰς φιλοσοφικὰς μελέτας περὶ χριστιανισμοῦ ὑπὸ Αὐγούστου Νικολάου. Ἴδε Κεφάλ. Α'. § 24*)).

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

### Περὶ προφητῶν καὶ διδασκάλων θεοπνεύστων.

— *Οὐκ ἂν διδάξειν, εἰ μὴ θεὸς ὑφηγοῖτο* (*Πλάτ. Ἀπολ. Σωκρ. α'. 69.*)

— *Ὁ Θεὸς ἐξαιρούμενος τούτων τὸν νοῦν, τούτοις χρῆται ὑπηρέταις.* (*Πλάτ. Ἴον. δ'. 187.*)

— *Τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας, θείᾳ μέντοι δόσει διδομένης. Ἥ τε γὰρ δὴ ἐν Δελφοῖς προφῆτις αἵ τ' ἐν Δωδώνῃ ἱέρειαι μανεῖσαι μὲν πολλά τε καὶ καλὰ — τὴν Ἑλλάδα εἰργάσαντο.* (*Πλάτ. Φαίδ. 244*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι (Β'. Πέτρ. α'. 21).

— Ἐν στήθεσσι τιθεῖσι Θεοὶ (Ὁμήρ. Ὀδύσ. 2, 125).

— Θάρσει, μαῖ', ἐπεὶ οὔ τοι ἄνευ θεοῦ ἥδε γε βουλή. (Τηλέμ. παρ. Ὁμηρ. Ὀδυσ. 2, 372).

— Εἷς ἐκ τῶν πολλῶν ὠνόμασε Τιμολέοντα . . . θεοῦ τινος, ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ ἀνθρώπῳ. (Πλουτ. Τιμολ. 3).

— Ζεὺς δὲ μεγάλ' ἔκτυπε σήματα φαίνων. (Ὁμήρ. Ὀδύσ. ια'. 413).

— Εἰ ὧν Θεός ἐστιν ὁ ἐπιπέμπων, καὶ οἱ πάντως ἐν ἡδονῇ ἐστι γενέσθαι στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιστήσεται καὶ σοὶ ταὐτὸ τοῦτο ὄνειρον, ὁμοίως ὡς καὶ ἐμοὶ ἐντελλόμενον. (Ἡροδ. 7, 15).

— Θεόπνευστοι ὄνειροι. (Πλουτ. 2,583 ἔκδ. Reiske).

— Εἴρετο Λευτυχίδης, εἴτε κληδόνος ἕνεκεν ἐθέλων πυθέσθαι εἴτε κατὰ συντυχίαν θεοῦ ποιεῦντος. (Ἡροδ. 9, 91).

— Τὸ τοῦ Σολωνος, ὡς οἱ εἴη σὺν Θεῷ εἰρημένον (τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον). (Ἡροδ. 1,86).

— Καὶ τοῦτο μέν κου τέρας ἀνθρώποισι τῶν μελλόντων ἔσεσθαι κακῶν ἔφηνε Θεός. (Ἡροδ. 6,98).

— Φιλέει κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι. (Ἡροδ. 6,27).

— Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτεΐνῃσι πολλῇσι. (Ἡροδ. δ'. 67).

— Ταῦτα μέν σφι σημήϊα ὁ θεὸς προέδεξε. (Ἡροδ. 6,27).

— Οἱ μάγοι ἔφραζον ὡς Ἕλλησι προδεικνύει ὁ Θεὸς ἔκλειψιν τῶν πολίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέκτορα. (Ἡροδ. 7,27).

— **Μαντικὸν ῥεῦμα καὶ πνεῦμα ἐνθουσιαστικὸν ἢ τοῦ πνεύματος δύναμις (Πλουτάρ.)**

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

### Περὶ διανοίας καθαρᾶς.

— Κλεῖε μὲν κέλλης θύραν σώματι, θύραν δὲ γλώττης φθέγματι, καὶ ἔνδον πύλην πνεύματι. (Ἰω. Κλίμακος).

— Ἄλλη μέν ἐστιν ἡ καθαρότης τοῦ νοὸς ἑτέρα δὲ τῆς καρδίας· ὁ μὲν γὰρ νοῦς μία ἐστὶ τῶν τῆς ψυχῆς αἰσθήσεων . . . ἡ δὲ καρδία ἐστὶν ἡ ῥίζα τῶν αἰσθήσεων, καὶ ἡ ῥίζα ἁγία καὶ οἱ κλάδοι ἅγιοι· καὶ ἐὰν καθαρθῇ ἡ καρδία, δῆλον ὅτι καὶ πᾶσαι αἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰσθήσεις καθαίρονται . . . καθαρθεῖσαν δὲ ἀπὸ τῶν μικρῶν πραγμάτων οὐ μολύνεται. (Ἰσαάκ).

— Ἀρχὴ καλῶν ἡ ἀποχὴ τῶν κακῶν· ἀρχὴ ἀρετῆς ἡ ἀποχὴ τῆς ἁμαρτίας· ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.

— Παύσασθε τῶν πονηριῶν ὑμῶν καὶ μάθετε καλὸν ποιεῖν. (Ἡσαΐας).

— Οἷς ἐνυπάρχει ὁ θεῖος νόμος οὐκ ἐν μέλανι καὶ γράμμασιν ἐγκεχαραγμένος, ἀλλ' ἐν πνεύματι Θεοῦ ζῶντος καὶ οὐκ ἐν πλαξὶ ἐντετυπωμένος, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐμπεφυτευμένος, οὗτοι τοὺς τῆς διανοίας ὀφθαλμοὺς φωτισθέντες καὶ ἀεὶ ὀρεγόμενοι οὐ τῆς αἰσθητῆς καὶ βλεπομένης ἐλπίδος ἀλλὰ τὴν νοητὴν ἴσασιν ἀκριβῶς ὡς οὐκ ἐκ τῆς οἰκείας αὐτῶν ἰσχύος περιγενέσθαι τῶν τοῦ πονηροῦ σκανδάλων δυνατόν, ἀλλ' ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Θεοῦ· οἱ δὲ μὴ λόγῳ Θεοῦ τετιμημένοι εἰκῇ φυσιούμενοι, οἴονται διὰ τοῦ ἰδίου αὐτεξουσίου καταργεῖν τὰς ἀφορμὰς τῆς ἁμαρτίας τῆς διὰ μόνου τοῦ μυστηρίου τοῦ σταυροῦ καταργουμένης· τὸ γὰρ ἐν τῇ ἀνθρώπου δυνάμει αὐτεξούσιον ἐπὶ τῷ ἑλέσθαι ἢ μὴ τῷ διαβόλῳ ἀντιστῆναι κεῖται. (Βασιλείου· λόγ. περὶ αὐτεξουσιότητες).

— Ὅπερ τῷ σώματι ὀφθαλμός, τοῦτο τῇ ψυχῇ νοῦς. (Πλάτων.)

— Καὶ ἀεὶ νύκτωρ καὶ μεθ' ἡμέραν ὡπλισμένους ἡμῶν ἑστᾶναι τοὺς λογισμοὺς καὶ φοβεροὺς εἶναι ταῖς ἀναισχύντοις ἐπιθυμίαις, ὡς ἂν μικροῦ ἐνδώσῃ ἕστηκεν ὁ διάβολος πῦρ ἔχων ἀνὰ χεῖρας ὥστε ἐναφθῆναι καὶ καταφλέξαι τὸν ναὸν τοῦ Θεοῦ. (Χρυσοστ. περὶ Παρθενίας λόγ. α'. κεφ. κζ'.)

— Οὔτε οἰκία πολυτελής, οὔτε χρυσίου πλῆθος, οὔτε ἀξίωμα γένους, οὔτε μέγεθος ἀρχῆς, οὐ λόγου χάρις, οὐ δεινότης εὐδίαν παρέχει βίῳ γαλήνην τοσαύτην, ὅσην ψυχὴ καθαρεύουσα πραγμάτων καὶ βουλευμάτων πονηρῶν, καὶ τὴν τοῦ βίου πηγήν, τὸ ἦθος, ἀτάραχον ἔχουσα καὶ ἀμίαντον· ἀφ' ἧς αἱ καλαὶ πράξεις ῥέουσαι, καὶ τὴν ἐνέργειαν ἐνθουσιώδη καὶ ἱλαρὰν μετὰ τοῦ μέγα φρονεῖν ἔχουσι, καὶ τὴν μνήμην ἡδίονα καὶ βεβαιοτέραν τῆς πινδαρικῆς γηροτρόφου ἐλπίδος. (Πλουτ. περὶ Εὐθυμ. ιθ'.)

— Τί γὰρ ἡμῖν ἡ τοῦ σώματος ἰσχὺς συμβάλλεται πρὸς τὸ μήτε αὐθάδεις εἶναι, μήτε ὀργίλους, μήτε προπετεῖς, ἀλλὰ νηφαλίους καὶ σώφρονας καὶ κοσμίους καὶ τἆλλα πάντα, δι' ὧν ἡμῖν ὁ μακάριος Παῦλος τὴν τοῦ ἀρίστου ἱερέως ἀνεπλήρωσεν εἰκόνα; (Χρυσοστ. περὶ Ἱερωσύνης λόγος ς'. 5.)

— Ὥσπερ ἐν ζυγοῦ ῥοπῇ, ὅταν βαρῆται τὸ ἕτερον, ἀνυψοῦταί πως τὸ ἀντικείμενον· οὕτω καὶ ἐπὶ ἀνθρώπου συμβαῖνον ἴδοι τις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄν. Σαρκὸς μὲν γὰρ πληθυνομένης, συμβαίνει τὸν νοῦν πως ἀσθενέστερον γενέσθαι. Τοῦ δὲ νοῦ πάλιν εὐεκτοῦντος, τὴν σάρκα πολλάκις καταλεπτύνεσθαι. (Βασιλ. Μεγ. ζ' Ἡσαΐα λβ'.)

Δεῖ τοὺς ὡς ναὸν καθαρὸν τὴν αὐτῶν διάνοιαν φυλάττειν βουλομένους, καθάπερ ἐκεῖ δικτύῳ τοῖς θηρσὶ πρὸς τὸ μηδὲν εἰσέρπειν τῶν ἀκαθάρτων κατεσκευάσθη, οὕτω καὶ ταῖς αἰσθήσεσι κωλύματα λογισμῶν ἐνδιαβλέπειν, τὰ δυσχερῆ τῆς μελλούσης κρίσεως, ταῖς εἰσερπούσαις ἀκαθάρτοις μορφαῖς ἀποτειχίζοντα τὴν εἴσοδον. (Νεῖλος ὁ Σοφός).

Χρὴ τὸν νοῦν, οἷα βασιλέα αὐτοκράτορα, λογισμοὺς φοβερούς, καὶ πάντοθεν ὅπλοις πεφραγμένους, πρὸς τὰς τῶν αἰσθήσεων καταπέμπειν πύλας, προαπαντησομένους καὶ προλοχιοῦντας καὶ εἴρξοντας τοὺς πολεμίους, καὶ μὴ πρῶτον συγχωρήσαντας τὴν εἴσοδον, ὕστερον ἀμφήριστον ἐκδέχεσθαι μάχην· ἥτις πολλάκις καὶ ἑτερόκλινὴς γενήσεται τοῖς ἀντιστρατευομένοις τὸ τρόπαιον ὀρέγουσα. (Ἰσιδ. Πηλουσ.)

— Ὁ τοίνυν τῆς σαρκὸς ἐξελὼν τὴν ἡδονὴν καὶ τὴν ὀδύνην, τὴν πρακτικὴν ἀρετὴν κατώρθωσεν· ὁ δὲ τῆς ψυχῆς ἐξαφανίσας τὴν λήθην καὶ τὴν ἄγνοιαν τὴν φυσικὴν διήνυσεν εὐπρεπῶς θεωρίαν· ὁ δὲ τὸν νοῦν τῶν πολλῶν ἀπολύσας τόπων τὴν θεολογικὴν ἐκτήσατο μυσταγωγίαν. (Μάξιμος).

— Καθάπερ τις ζωγράφος ἡμῖν ὁ νοῦς, ὥσπερ ἐν πίνακι τῇ ψυχῇ τὰς ἐννοίας ὡς θέλει μορφοῖ· εἶτα ὥσπερ ὁ ζωγράφος ἐν παραβύστῳ που, τὸν πίνακα ποικίλης ἱστορίας πληρώσας, ἀθρόως τοῦτον εἰς μέσον προσφέρει· ἐὰν μὲν οὖν θεῖαί τινες ἐξ ἀναγνωσμάτων ἱερῶν καὶ ἐννοιῶν φιλαρέτων αἱ ἱστορίαι ὀφθῶσι, παντὸς ἐπαίνου ὁ ζωγραφήσας νοῦς, καὶ ὁ ταύτην δεξάμενος τὴν γραφὴν πίναξ ἄξιος κρίνεται· ἐὰν δὲ αἰσχραί τε καὶ ἀπρεπεῖς ἀναφανῶσιν αἱ γραφαὶ αἰσχύνης καὶ γέλωτος ὁ ζωγράφος. (Βασίλειος λόγος περὶ παρθενίας).

## ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

### Περὶ εὐποιΐας.

— Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος· ἐν τῷ διδόναι γὰρ λαμβάνεται καὶ ἐν τῷ σκορπίζειν συνάγεται. (Ἀπολλώνιος).

— Ὅστις μὲν εὖ ὁρᾷν, εὖ παθὼν ἐπίσταται.

— Ἐν τῷ ἀγαθῷ νίκα τὸ πονηρόν.

— Ἄρα οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. (Γαλάτ.)

— Ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρόνον· τὸν δ' εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι αὐτῶν, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. (*Δημοσθ.*)

— Μετὰ τῶν σπουδαίων καὶ τοὺς ἀνεπιτηδείους εὐεργετοῦντες, οὐκ εὐεργεσίας δόξαν, ἀλογιστίαν δὲ μᾶλλον ὀφλισκάνουσι. (*Αἰσ. μυθ. 56*).

— Τοῦ εὖ πάσχειν τὸ εὖ ποιεῖν οὐ μόνον κάλλιον ἀλλὰ καὶ ἥδιον. (*Πλουτάρχ.*)

— Κάλλιόν ἐστι ποιεῖν εὖ πάντας τοὺς ἐν χρείᾳ γενομένους, καὶ μηδὲν ὑπολαμβάνειν ἄμεινον μηδὲ μᾶλλόν τι προσήκειν τῷ τῶν ἀνθρώπων γένει τούτου, μηδ' ἐφ' ᾧ τὸν Θεὸν εὐμενῆ καὶ χορηγὸν τῶν ἀγαθῶν ἕξομεν (*Ἰωσήφ. Φλαβίου ἀρχαιολ. Ἰουδ. 6, 14, 4*).

— Παρὰ πᾶσιν ἀνθρώποις μᾶλλόν ἐστιν ἔθος, διὰ τοὺς εὐεργέτας, καὶ ἄλλους τινὰς εὖ ποιεῖν τῶν μὴ χρηστῶν, ἢ διὰ τοὺς φαύλους, τοὺς ὁμολογουμένους ἀξίους χάριτος τὰ δοθέντ' ἀφαιρεῖσθαι. (*Δημοσθ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

### Περὶ ἀναγνώσεως βιβλίων ὠφελίμων.

— Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένου διὰ στόματος Θεοῦ. (*Ματθαίου*).

— Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι· ἵνα ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν· ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σε. (*Α' Τιμοθ. δ'. 15*).

— Καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῇ ἡμέρας καὶ νυκτός, ἵνα ἴδῃς ποιεῖν πάντα τὰ γεγραμμένα· τότε εὐοδωθήσεται καὶ εὐοδώσεις τὰς ὁδούς σου, καὶ τότε συνήσεις. (*Ἰησοῦ τοῦ Ναυῆ*).

— Οὐ πάντα ἑξῆς παραθεκτέον ἡμῖν, ἀλλ' ὅσα χρήσιμα (*βιβλία δηλ.*) Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν· ἀλλ' ὥσπερ χειμάρρους, παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι.—Καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους θρεψάμενοι, τὰς ἀκάνθας ἐκκλίνομεν· οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων, ὅσον χρήσιμον καρπωσάμενοι φυλαξόμεθα. (*Βασιλείου*).

— Ἡ τῶν γραφῶν ἀνάγνωσις τῶν οὐρανῶν ἐστιν ὑπάνοιξις, καὶ τὰ στόματα τῶν προφητῶν, Θεοῦ ἐστι σοφία.—Οὐ γάρ ἐστιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἔστι τινὰ σωθῆναι, μὴ συνεχοῦς ἀναγνώσεως ἀπολαύοντα πνευματικῆς. (*Χρυσοστ.*)

— Ἐὰν ᾖς φιλομαθής, ἔσει καὶ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. – Κατανάλισκε τὴν ἐν τῷ βιῷ σχολὴν εἰς τὴν τῶν λόγων φιλησκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν.— Ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. (*Ἰσοκράτ.*)

Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη· Μὴ ἐν τῇ κιβωτῷ ἀλλ' ἐν τῷ στήθει. (*Οἰνοπίδου.*)

— Τὰ σπουδαῖα μελέτα ἀεὶ καὶ τὰ τοῦ νόμου· ἐάν τι παρηκμακὼς μανθάνῃς, μὴ αἰσχύνου· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ. Καλὸν δὲ καὶ γέροντα μανθάνειν σφόδρα. (*Φιλιστίωνος.*)

— Ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις τοὺς μὲν δυστυχοῦντας παρηγορεῖ, τοὺς δ' εὐτυχοῦντας οὐδ' ὑπερφρονεῖν, οὔτ' ἐκπεπτωκέναι εὐφαίνεσθαι ἀναγκάζει. (*Σαριπόλου.*)

— Πυθία, Ζήνωνι τῷ ἱδρυτῇ τῆς Στωϊκῆς φιλοσοφίας, πυνθανομένῳ περὶ τοῦ, πῶς ὤφειλε διάγειν τὸν βίον, ἐχρησμοδότησε, κσυγχρωτίζεσθαι νεκροῖς, Τουτέστι, συγγίγνεσθαι τοῖς πάλαι σοφοῖς, δι' ὧν καταλελοίπασι λόγων. (*Α. Π. Κεφ.*)

Οὐκ ἄρα ἀρκεῖ ἡ ἀνάγνωσις, ἐὰν μὴ προσῇ καὶ ἡ γνῶσις· ὥσπερ ἐάν τις τρέφηται μέν, μὴ πέπτῃ δέ, οὐ ζήσεταί ποτε, οὕτως ἐάν τις ἀναγινώσκῃ μέν, οὐ γινώσκῃ δὲ μηδὲν τῶν ἐγκειμένων, οὐκ ἐπιτεύξεται τῆς ἀληθείας.— Καὶ γὰρ ἄτοπον τὴν μὲν οἰκίαν μηδέποτε ἀνέχεσθαι ἐν ἑσπέρᾳ χωρὶς λύχνου καὶ φωτὸς ὁρᾶν, τὴν δὲ ψυχὴν ἔρημον διδασκαλίας ὁρᾶν· ἐντεῦθεν τὰ πολλὰ τῶν ἁμαρτημάτων ἡμῖν συνίστανται, ὅτι οὐ ταχέως λύχνον ἀνάπτομεν τῇ ψυχῇ. (*Χρυσοστ.*)

— Ἐπέραστος γὰρ ἀληθῶς ἡ γλυκύτης τῶν πνευματικῶν μαθημάτων, ἁγιάζουσα καὶ αὐξάνουσα καὶ τρέφουσα τὰς ψυχάς. (*Γρηγορίου τοῦ Θεολόγου.*)

## ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

### Περὶ ἐπιστήμης.

— Ὁ μὴ ἐπιστάμενος οὔτε στρατηγὸς οὔτε ἰατρός ἐστιν οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ. (*Ξενοφ. Ἀπομν. 3, 1, 4.*)

— Ὅταν μὲν ὁ ἐπιστάτης βελτιων γένηται, καθαρώτερον τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόμιμα πράττεται, ὅταν δὲ χείρων φαυλότερον. (Ξεν. Κύρ. Παιδ. 8, 1, 8.)

— Αἱ τῆς ἐπιστήμης ἀδελφαί· ἀνδρεία, δικαιοσύνη, καλοκἀγαθία, σωφροσύνη, εὐταξία, ἐλευθερία, ἐγκράτεια, πραότης. (Κέβης 20.)

— Οὐ μόνον εὐτυχίαν, ἀλλὰ καὶ εὐπραγίαν ἡ ἐπιστήμη παρέχει τοῖς ἀνθρώποις ἐν πάσῃ κτήσει τε καὶ πράξει. Ἆρ' οὖν ὄφελός τι τῶν ἄλλων κτημάτων ἄνευ φρονήσεως καὶ σοφίας ; ἆρά γε ὀνίναιτ' ἄν ἄνθρωπος πολλὰ κεκτημένος καὶ πολλὰ πράττων, νοῦν μὴ ἔχων ; ἢ μᾶλλον ὀλίγα, νοῦν δὲ ἔχων ;

— Τὰ ἀπὸ τῆς τύχης γιγνόμενα οὐκ ἀνθρωπίνῃ ἡγεμονίᾳ γίγνεται· ᾧ δὲ ἄνθρωπος ἡγεμών ἐστιν ἐπὶ τὸ ὀρθόν, δύο ταῦτα, δόξα ἀληθὴς καὶ ἐπιστήμη. (Πλάτ. Μένων.)

## ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

### Περὶ τῆς ἀληθοῦς καὶ ψευδοῦς ἐπιστήμης.

— Γραμματικὴ ἡ τῶν λόγων, εἰ μὲν τῇ ἀληθείᾳ καλλωπίζονται, ποθειναὶ ὀφείλουσιν εἶναι τοῖς ἐχέφροσιν, εἰ δὲ κατ' αὐτῆς ὁπλίζονται ἀτιμάζεσθαί εἰσι δίκαιαι. (Ἰσίδ. Πηλουσ. ογ'. 773).

— Οἱ δὲ ὑψηλῆς φράσεως ἐρῶντες μανθανέτωσαν, ὅτι ἄμεινον παρὰ ἰδιώτου τἀληθές, ἢ παρὰ σοφιστοῦ τὸ ψεῦδος μαθεῖν. Ὁ μὲν γὰρ ἁπλῶς καὶ συντόμως φράζει· ὁ δὲ πολλάκις ἀσαφείᾳ καὶ τὸ τῆς ἀληθείας ἐπικρύπτει κάλλος. καὶ τὸ ψεῦδος τῇ καλλιεπείᾳ κοσμήσας, ἐν χρυσῇ κύλικι κιρνᾷ..... τὸ δηλητήριον. Εἰ δὲ ἀλήθεια τῇ καλλιεπείᾳ συναφθείη, δύναται μὲν τοὺς πεπαιδευμένους ὠφελῆσαι, τοῖς δὲ ἄλλοις ἅπασιν ἄχρηστος ἔσται καὶ ἀνωφελής. Διὸ καὶ ἡ Γραφὴ τὴν ἀλήθειαν πεζῷ λόγῳ ἡρμήνευσεν, ἵνα καὶ ἰδιῶται καὶ σοφοί, καὶ παῖδες, καὶ γυναῖκες μάθοιεν. Ἐπειδὴ δὲ καὶ πάντων ἐφρόντισε, δείκνυται θεία οὖσα καὶ οὐράνιος. (αὐτοθ. 1125—1125.)

## ΚΕΦΑΛΑΙΟΝ ΛΣΤ'.

### Περὶ σοφῶν καὶ σοφίας.

— Ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει (ὁ σοφὸς) καὶ ἐπίβουλον. (Ἐπίκτ. ἐγχ. 48.)

— Ὅταν ἐμποδισθῇ τι (ὁ σοφὸς) ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. (Ἐπικτ. ἐγχ. 48.)

— Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκε καλῶς.
Σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται. (Ἐπικτ. ἐγχειρ. 52.)



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τὰ μέγιστα τῶν ἀγαθῶν ἡμῖν γίγνεται διὰ μανίας θείᾳ μέντοι δόσει διδομένης.* (*Πλατ. Φαιδρ. 244 α.*)

— *Σοφοὺς θείους εἶναι.* (*Διογ. Λαέρτ, 7 1.*

— *Φιλοσοφία ὄρεξις τῆς θείας σοφίας.* (*Πλ. παρ. Διογεν. Λαερτ. β΄ γ΄. 1,38.*

— *Ἐκ Θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ πραπίδεσσιν.* (*Πίνδαρ. Ὀλυμπ. 10, 10.*)

— *Φεύξονται ἀφ' ἑαυτῶν εἰς φιλοσοφίαν, ἵν' ἄλλοι γενόμενοι ἀπαλλαγῶσι τῶν οἵ πρότερον ἦσαν.* (*Πλάτ. Θεαίτητος 168.*)

— *Ἡ φιλοσοφία τὴν ψυχὴν λείην ἐπιχειρεῖ.* (. . . .

— *Αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων.* (*Πλάτ. Πρωταγ. 352.*)

— *Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται.* (*Πλ. Φαίδων.*)

— *Μηδένα εἶναι σοφὸν ἄνθρωπον ἀλλ' ἢ θεόν.* (*Διογ. Λαερτ. 8, προοίμ.*)

— *Τοὺς ἐπὶ τῇ πρακτικῇ σοφίᾳ διαλάμποντας, τούτους σοφοὺς λεκτέον. Εἰ δὲ κοσμοίη τούτους καὶ ἡ λογική, σοφωτέρους ὀνομαστέον. Εἰ δὲ καὶ ἡ θεωρητική, φημὶ δ' ἡ εὐσέβεια, ἣν μόνην κυρίως σοφίαν ὁριζόμεθα, σοφωτάτους προσαγορευτέον.*»

*Τὸ μὲν σοφόν, ὦ Φαῖδρε καλεῖν ἐμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν· τὸ δὲ φιλόσοφον ἢ τοιοῦτόν τι μᾶλλόν τε ἂν αὐτῷ ἁρμόττοι καὶ ἐμμελεστέρως ἔχοι.* (*Πλάτ. Φαῖδ. 368.*)

*Πλούσιον νομίζοιμι τὸν σοφόν.* (» » *229.*)

*Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ἡμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστι.* (*Παύλου.*)

*Μακάριος ἄνθρωπος ὃς εὗρε συφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν· κρείσσον γὰρ αὐτῆς ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. Κτῆσαι σοφίαν, καὶ κτῆσαι σύνεσιν· μὴ ἐπιλάθῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων.— Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου Αὐτοῦ γνῶσις καὶ σύνεσις.* (*Παροιμ.*)

*Μετὰ σοφῶν συμβουλεύου, καὶ μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου.* (*Σειράχ.*)

*Σοφία ἐστὶν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτοις αἰτίων.*

*Καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τὸ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον τὰ φύλλα τοῖς κλάδοις περισειόμενα, οὕτω δὴ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ψυχῇ, προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρι γεμὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. (Βασιλείου)

Τὸ φιλοσοφεῖν ὅσον μέγιστον, τοσοῦτον καὶ χαλεπώτατον, καὶ οὐ πολλῶν τὸ ἐγχείρημα, ἢ τῶν ὑπὸ τῆς θείας κεκλημένων μεγαλονοίας, ἢ τοῖς προῃρημένοις καλῶς χεῖρα δίδωσιν. — Σοφία κεκρυμμένη, καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις; — Σοφία γὰρ οὐχ ἡ τῷ λόγῳ λαμπρυνομένη, ἀλλ' ἡ δι' ἔργων ἐλεγχομένη. (Γρηγ. τοῦ Θεολόγου.)

Ἐγὼ μίαν σοφίαν οἶδα τὸ φοβεῖσθαι τὸν Θεόν. Ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου. (Χρυσοστόμου.)

Εἰς ἀσύνετον ψυχὴν σοφία οὐκ ἐλεύσεται· καὶ ζητήσεις παρὰ κακοῖς σοφιαν, καὶ οὐχ εὑρήσεις· οὐ χρείαν γὰρ ἐχει σοφίας ἐνδεὴς φρενῶν· μᾶλλον δὲ ἄγεται ἀφροσύνῃ. (Συμεὼν τοῦ Μεταφραστοῦ.)

Εἴ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ δίδοντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος. (Ἁγ Ἰακώβου.)

Τέλος τῷ φιλοσοφοῦντι, ἡ πρὸς θεὸν ὁμοίωσις κατὰ τὸ δυνατόν. (Ἰουστίνου.)

Πλάτων ἐρωτηθείς, πότε οἰκηθήσονται αἱ πόλεις ἄριστα; ἔφη· ὅτε οἱ φιλόσοφοι βασιλεύσουσιν, ἢ οἱ βασιλεῖς φιλοσοφήσουσιν. (Πλάτωνος.)

Ἐμπεδοκλῆς ὁ φιλόσοφος πρὸς τὸν λέγοντα, ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον, εἶπε· «Τὸν γὰρ ζητοῦντα σοφόν, αὐτὸν πρότερον δεῖ εἶναι σοφόν. (Ἐμπεδοκλῆς.)

Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλὰ τοῦ κατὰ ἀλήθειαν ὑγιαίνειν. (Ἐπικούρου.)

— Ἱέρων ὁ Σικελὸς τύρανος, ἐρωτηθεὶς ὑπό τινος, τί αὐτῷ γέγονεν ἐκ φιλοσοφίας; ἔφη· «τὸ ἀνεπιτάκτως ποιεῖν, ἅ τινες διὰ τὸν τῶν νόμων φόβον ποιοῦσιν. (Ἱέρωνος.)

— Μόνος ὁ σοφὸς ἐλεύθερός τε καὶ ἄρχων κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας (Φίλωνος.)

— Ἰδιώτου μέν ἐστι τὰ ἀγαθὰ ἴσως ἐφ' ἑαυτοῦ ἔχειν οἴεσθαι, τὰ δὲ κακὰ πάντως ὑπ' ἄλλων αὐτῷ συμβαίνειν· φιλοσόφου δὲ αὐτὸν ἑαυτῷ ἀμφοτέρων αἴτιον εἶναι. (Ἐπικτήτου.)

— Φιλοσοφεῖτε πυλλάκις ἢ ἀναπνεῖτε· ὡς ἀμείνονος ὄντος τοῦ εὖ ζῆν, ᾧ ὑπάρχει φιλοσοφία, τοῦ ζῆν ἁπλῶς, ὃ ποιεῖ ἀναπνοή. (Κράτητος.)

— Πλῆθος δὲ σοφῶν σωτηρία κόσμου. Καλὸν δὲ καὶ γέροντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μανθάνειν σοφά. Σοφοῖς χρῶ. Σοφίαν καὶ παιδείαν ἀσθενεῖς ἐξα
σθενήσουσιν. Δὸς σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσῃ. (Διαφόρων.

— Τὸ εἰδέναι τινὰ ὅ,τι ἀγνοεῖ, σοφίας ἐστίν· ὡς τὸ εἰδέναι ὅ,τι ἠδίκησε, δικαιοσύνης. (Διδύμου.)

— Γενναίας δέ, καὶ τῷ ὄντι φιλοσόφου ψυχῆς, τὸ μὴ παραι
τεῖσθαι τὴν πρὸς τὸ ὁμόφυλον ὁμιλίαν οἰκουροῦσαν, καὶ ἐν παρα
βύστῳ σοι κειμένην, κἂν γήρᾳ κάμνῃ κἂν νόσῳ παλαίῃ. (Φιλοθέου
Πάρεργα).

— Διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φι
λοσοφίαν. Τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσο
φία μόνη φάρμακόν ἐστιν. Ὅσῳ γὰρ πλέον ἐστὶ τὸ προσειλημμένον
ἐκ φιλοσοφίας, τοσούτῳ μᾶλλον ἐνοχλεῖ τὸ ἀπολειπόμενον. Οἱ μὲν
Γεωργοὶ τῶν στάχεων ἥδιον ὁρῶσι τοὺς κεκλιμένους καὶ νεύον
τας ἐπὶ γῆς, τοὺς δὲ ὑπὸ κουφότητος ἀκροωμένους ἄνω κενοὺς
ἡγοῦνται καὶ ἀλαζόνας· οὕτω δὴ καὶ τῶν φιλοσοφεῖν βουλομένων
νέων οἱ μάλιστα κενοὶ καὶ βάρος οὐκ ἔχοντες θράσος ἔχουσι, κα
σχῆμα καὶ βάδισμα καὶ πρόσωπον ὑπεροψίας καὶ ὀλιγωρίας μεστὸν
ἀφειδούσης ἁπάντων· ἀρχόμενοι δὲ πληροῦσθαι καὶ συλλέγειν καρ
πὸν ἀπὸ τῶν λόγων, τὸ σοβαρὸν καὶ φλοιῶδες ἀποτίθενται. (Πλτ.

— Ὡς γὰρ οἱ τελούμενοι κατ' ἀρχὰς ἐν θορύβῳ καὶ βοῇ πρὸς
ἀλλήλους ὠθούμενοι συνίασι, θρωμένων δὲ καὶ δεικνυμένων τῶν
ἱερῶν προσέχουσιν ἤδη μετὰ φόβου καὶ σιωπῆς· οὕτω καὶ φιλοσο
φίας ἐν ἀρχῇ καὶ περὶ θύρας πολὺν θόρυβον ὄψει καὶ θρασύτητα
καὶ λαλιάν, ὠθουμένων πρὸς δόξαν ἐνίων ἀγροίκως τε καὶ βιαίως·
ὁ δ' ἐκτὸς γενόμενος, καὶ φῶς μέγα ἰδών, οἷον ἀνακτόρων ἀνοι
γομένων, ἕτερον σχῆμα λαβών, καὶ σιωπὴν καὶ θάμβος, ὥσπερ θεῷ
τῷ λόγῳ ταπεινὸς συνέπεται κεκοσμημένος. (Τοῦ αὐτοῦ.)

— Τὸ μετὰ λόγου καὶ ἐλευθέρως τὰ ὄντα θεωρεῖν, καὶ περ
αὐτῶν, ὡς δέον, διασκέπτεσθαι, καὶ τὸ φιλοσοφεῖν αὐτὸ ἔμφυτο
ἔχει ὁ ἄνθρωπος. (Θεοφίλου Καΐρη.)

— Τὴν σοφίαν θείων τε καὶ ἀνθρωπίνων ἐπιστημῶν τῶν ἀρ
χαίων τινὲς εἶναι ἔφασαν. Ἔστι δὲ κυρίως σοφία, γνῶσις ἔλλο
γος τῆς πρωτίστης τῶν ὄντων αἰτίας, καὶ ἡ κατ' αὐτὴν καὶ δι' αὐ
τὴν διαβίωσις· ἡ γνῶσις τοῦ Θεοῦ καὶ τῶν ὑπ' Αὐτοῦ δημιουργη
θέντων πάντων, καὶ ἡ κατ' αὐτὸν καὶ δι' αὐτὸν ἀμετάπτωτος· ὅθε
καὶ σοφία ἐστὶν ἡ τῆς γνώσεως καὶ διαγωγῆς ταύτης ἀληθὴς φι
λία, ἢ ἡ ἐνδελεχὴς τούτων ἄσκησις· φιλόσοφος δ' ἂν εἴη, ὁ ταύτη
ἐγκαρδίως φιλῶν, ἢ ὁ ἐπιμόνως αὐταῖς ἐνασχολούμενος. (Τοῦ αὐτοῦ.)

— Τῷ ὄντι οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, κα
τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. Εἰ γὰρ διαβέβλη

ται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' ἑαυτὴν ἐπιθυμοῦσι
τὴν ψυχὴν ἔχειν, τούτου γιγνομένου, εἰ φοβοῖντο καὶ ἀγανακτοῖεν,
οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν, οἷ ἀφικομέ-
νοις ἐλπὶς ἐστιν οὗ διὰ βίου ἥρων, τυχεῖν· ἥρων δὲ φρονήσεως.
Φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐ-
τὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξασθαι αὐτῇ ἀξίας λό-
γου, ἢ ἐν ᾅδου, ἀγανακτήσει τε ἀποθνήσκων, καὶ οὐκ ἄσμενος εἶ-
σιν αὐτόσε; Οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι ᾖ φιλόσοφος· σφόδρα
γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξασθαι φρο-
νήσει, ἀλλ' ἢ ἐκεῖ. Εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐ πολλὴ ἂν ἀλογία
εἴη, εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος; Οὐκοῦν ἱκανόν σοι τεκ-
μήριον τοῦτο ἀνδρός, ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μέλλοντα ἀποθα-
νεῖσθαι, ὅτι οὐκ ἄρ' ἦν φιλόσοφος, ἀλλά τις φιλοσώματος; Ὁ αὐ-
τὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος
ἢ. (Πλάτ. Φαίδων.)

— Φιλοσοφία τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. Αὐτῆς
ἀπρὶξ ἀντεχόμεθα, ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς γνώσεως οἱ
ἀπόκρυφοι. (Σεβασ. Δωροθέου Σχολαρίου.)

— Εἰς θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ
ἀπιόντι, οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ, ἢ τῷ φιλομαθεῖ. Ἀλλὰ τού-
των ἕνεκα οἱ ὀρθῶς φιλόσοφοι ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπι-
θυμιῶν ἁπασῶν, καὶ καρτεροῦσι, καὶ οὐ παραδιδόασιν αὑταῖς αὖ
τούς, οὔτε οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι, ὥσπερ οἱ πολ-
λοὶ καὶ φιλοχρήματοι, οὔτε αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας
ἀφειδίστες, ὥσπερ οἱ φίλαρχοί τε καὶ φιλότιμοι, ἔπειτα ἀπέχονται
αὐτῶν. (Πλάτ. Φαίδ.)

— Ὁπότε τὸ φιλοσοφεῖν αἰσχρὸν ἡγησάμην εἶναι οὐδ' ἂν ἄν-
θρωπον νομίσαιμι ἐμαυτὸν εἶναι, οὐδ' ἄλλον τὸν οὕτω διακείμε-
νον. (Πλάτ. ἐρασταί.)

— Μάλα φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη
ἀρχὴ φιλοσοφίας, ἢ αὕτη. (Πλάτ. Θεαίτητος.)

— Ἡ δὲ διάνοια φιλοσόφου πανταχῇ φέρεται (κατὰ Πίνδαρον),
ἅ τε γᾶς ὑπένερθε καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ
ἀστρονομοῦσα, καὶ πάντῃ φύσιν ἐρευνωμένη· τί δέ ποτ' ἐστὶν ἄν-
θρωπος, καὶ τί τῇ τοιαύτῃ φύσει προσῆκον διάφορον τῶν ἄλλων
ποιεῖν ἢ πάσχειν ζητεῖ; (Πλάτ. Θεαίτητος.)

— Γῆς δὲ ὅταν μυρία πλέθρα ἢ ἔτι πλείω ἀκούσῃ ὁ φιλόσο-
φος, ὥς τις ἄρα κεκτημένος, θαυμαστὰ πλήθει κέκτηται, πάνυ σμι-
κρὰ δοκεῖ ἀκούειν, εἰς ἅπασαν εἰωθὼς τὴν γῆν βλέπειν· τὰ δὲ γένει
ὑμνούντων, ὡς γενναῖός τις, ἐπτὰ πάππους πλουσίους ἔχων ἀπο-

φῆναι, παντάπασιν ἀμβλὺν καὶ ἐπὶ σμικρὸν ὁρῶντων ἡγεῖται τὸν ἔπαινον, ὑπὲρ ἀπαιδευσίας οὐ δυναμένων εἰς τὸ πᾶν ἀεὶ βλέπειν οὐδὲ λογίζεσθαι, ὅτι πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γε γόνασιν ἀναρίθμητοι, ἐν αἷς πλούσιοι καὶ πτωχοί, καὶ βασιλεῖς καὶ δοῦλοι, βάρβαροί τε καὶ Ἕλληνες, πολλάκις μυρίοι γεγόνασιν ὅτῳ οὖν· ἀλλ' ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμνυνομένων καὶ ἀναφερόντων εἰς Ἡρακλέα τὸν Ἀμφιτρύωνος, ἄτοπα αὐτῷ κατα φαίνεται τῆς σμικρολογίας. (Πλάτ. Θεαίτητος.)

— Πολὺ δὲ μεγίστη καὶ ἰσχυροτάτη διαβολὴ γίγνεται τῇ φιλο σοφίᾳ, ὡς παμπόνηροι οἱ πλεῖστοι τῶν ἰόντων ἐπ' αὐτήν, οἱ δ ἐπιεικέστατοι ἄχρηστοι. (Πλάτ. Πολιτείας ς'.)

— Πολλάκις ἀγαθὰ πάντα φθείρει καὶ ἀποσπᾷ φιλοσοφίας, κάλ λος, καὶ πλοῦτος, καὶ ἰσχὺς σώματος, καὶ ξυγγένεια ἐρρωμένη ἐ πόλει, καὶ πάντα τὰ τούτων οἰκεῖα. (Πλάτ. Πολιτείας ς'.)

— Τῆς ψυχῆς περιαγωγήν, ἐκ νυκτερινῆς τινος ἡμέρας εἰς ἀλη θινὴν τοῦ ὄντος ἰούσης ἐπάνοδον, φιλοσοφίαν ἀληθῆ φήσομε εἶναι (Πλάτ. Πολιτείας Ζ'.)

— Φιλοσοφία τῆς τῶν ὄντων ἀεὶ ἐπιστήμης ὄρεξις· ἕξις θεω ρητικὴ τοῦ ἀληθοῦς, πῶς ἀληθές, ἐπιμέλεια ψυχῆς μετὰ λόγο ὀρθοῦ. (Πλάτ. Ὅροι.)

— Τῶν τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσοφία μόν φάρμακόν ἐστι. (Πλουτάρχ. παίδ. ἀγωγή 10.)

— Ἡ πολυμάθεια οὐκ ἄλλου τινός ἐστιν, ἢ τοῦ τὰ θεῖα κα τὰ ἀνθρώπεια ἐπιβλέποντος, ὧν τὴν φιλοσοφίαν ἐπιστήμην φασίν (Στράβ. 1, 1, 1.)

— Φιλόσοφοι τῆς ἀληθείας φιλοθεάμονες. (Πλάτ. πολ. 5,475. ε

— Τοῦτο μὲν δὴ τῶν φιλοσόφων φύσεων πέρι ὁμολογείσθ ἡμῖν, ὅτι μαθήματός γε ἀεὶ ἐρῶσιν, ὃ ἂν αὐτοῖς δηλοῖ ἐκείνης τῆ οὐσίας τῆς ἀεὶ οὔσης καὶ μὴ πλανωμένης ὑπὸ γενέσεως καὶ φθο ρᾶς. Ἦ οὖν δυνατὸν εἶναι τὴν αὐτὴν φύσιν φιλόσοφόν τε καὶ φι λοψευδῆ; Οὐδαμῶς γε. Τὸν ἄρα τῷ ὄντι φιλομαθῆ πάσης ἀλη θείας δεῖ εὐθὺς ἐκ νέου ὅτι μάλιστα ὀρέγεσθαι. Ἀλλὰ μὴν ὅτῳ γ εἰς ἕν τι αἱ ἐπιθυμίαι σφόδρα ῥέουσιν, ἴσμεν που, ὅτι εἰς τἆλλ τούτῳ ἀσθενέστεραι, ὥσπερ ῥεῦμα ἐκεῖσε ἀποχετευόμεναι. (Πλα Πολιτ. ς'.)

— Τὸ γοῦν νῦν ἁμάρτημα καὶ ἡ ἀτιμία φιλοσοφία διὰ ταῦτ προσπέπτωκεν, ὅτι οὐ κατ' ἀξίαν αὐτῆς ἅπτονται· οὐ γὰρ νόθου ἐδει ἅπτεσθαι ἀλλὰ γνησίου. (Πλατ. Πολιτείας Ζ'.)

— Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατ σκεύασε καὶ πρὸς τὰς πράξεις ἡμᾶς ἐπαίδευσε καὶ πρὸς ἀλλήλου

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

*ἐπράϋνε καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν, ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε. (Ἰσοκρ. Παναγ. 13.)*

*— Σοφίαν καὶ σωφροσύνην οὐ διώριζε (Σωκράτης), ἀλλὰ τὸν τὰ μὲν κακὰ καὶ ἀγαθὰ γινώσκοντα χρῆσθαι αὐτοῖς καὶ τὸν τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι σοφόν τε καὶ σώφρονα ἔκρινεν. (Ξενοφ. Ἀπομνημ. 3, 9, 4.) (Ἴδε Τόμ. Α'. κεφ. μς'.)*

## ΚΕΦΑΛΑΙΟΝ ΛΖ'

### Περὶ παιδείας, φιλομαθείας καὶ ἀμαθείας.

*— Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος (Ψαλμ. β'.)*

*— Αἶσχος μήτε μαθεῖν ἐθέλειν τὸ δ' ἐναντίον αἶνος. (Κάτων Ρωμαῖος.)*

*— Οἱ εὐγενοῦς καὶ βασιλικῆς τῷ ὄντι παιδείας τυχόντες, πρῶτον σιγᾶν, εἶτα λαλεῖν μανθάνουσι· καὶ ἐπὶ μὲν τῆς γνώμης ἔχουσι σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.*

*— Ἡ μὲν φύσις ἄιευ μαθήσεως τυφλόν· ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπής· ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. (Πλουτ. Παιδ. ἀγωγή.)*

*— Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς. (Μένανδρ.)*

*— Τῆς παιδείας αἱ μὲν ῥίζαι εἰσὶ πικραί, γλυκεῖς δὲ οἱ καρποί. (Ἀριστοτ. παρὰ Διογ. Λαερτ. 6, 18. καὶ Σοφ. Σειράχ. ς'. 18.)*

*— Παιδεία τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Ὅγε μὴν πόλεμος χειμάρρου δίκην πάντα σύρων καὶ πάντα φέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. (Πλουτ. Παιδ. Ἀλωγ. 8.)*

*— Ἄνθρωπος παιδείας μὲν ὀρθῆς τυχὼν θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ. (Πλατ. Νόμ. 796. α.)*

*— Παίδευσις καλὴ διδάσκει χρῆσθαι νόμοις, καὶ λέγειν περὶ τῶν δικαίων, καὶ ἀκούειν. (Ξενοφ.)*

*— Τὴν δὲ παιδείαν, οὐσίαν εὐδαιμονίας οὖσαν, αἰτίαν τ' εὐβουλίας, οὐ μόνον ἐστὶν εὑρεῖν ἢ οἴκῳ, ἢ πόλει, ἢ ἔθνει χρησίμην, ἀλλὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει. (Πλουτ. περὶ Μουσ.)*

*— Οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισιν, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑπολητέον τοὺς οὕτως ἔχοντας· οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι κατ' αὐτῆς, ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς κρύπτεται. (Γρηγ. Θεολ. εἰς ἐπιταφ. Βασιλ. ιε'.)*

*— Ἄνθρωπος μὲν ζῶον ἥμερόν ἐστιν ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς, θειότατον ἡμερώτατόν τι ζῶον*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέλμιος

γίγνεσθαι φιλεῖ μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφέν, ἀγριώτατον ὁπόσα φύει γῆ. (Πλατ. Νόμων 6. 766. Παραβλ. Θεαίτ. 176. Πολίτ. 10, 613. 6, 500 Νομ. β'. 4, 716. Τιμ. 46. Γενεσ. α 26. 27.)

— Πηγὴ καὶ ῥίζα καλοκἀγαθίας, τὸ νομίμου τυχεῖν παιδείας. (Πλουτάρχ. Παίδ. ἀγωγή.)

— Ὕδωρ θολερὸν καὶ ψυχὴν ἀπαίδευτον οὐ δεῖ ταράττειν. (αὐτόθι.)

— Ἐξ ἀμαθίης πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει. (Πλτ.)

— Οὔτ' ἐν ἰχθύσι φωνὴν οὔτ' ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν. Ταὐτόν ἐστιν ἀρρωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτοις εὐτυχίαν. (Σωκράτ.)

— Τέκνον, ἐν νεότητί σου ἐπίλεξαι παιδείαν, καὶ ὡς ὁ ἀροτριῶν καὶ σπείρων πρόσελθε αὐτήν, καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς. (Σειράχ.)

— Ἄμεινον καὶ συμφερώτερον ἰδιώτας, καὶ ὀλιγομαθεῖς τινας ὑπάρχειν, καὶ διὰ τῆς ἀγάπης πλησίον γενέσθαι τοῦ Θεοῦ, ἢ πολυμαθεῖς καὶ ἐμπείρους δοκοῦντας εἶναι, βλασφήμους εἰς τὸν ἑαυτῶν εὑρίσκεσθαι Δεσπότην. — Καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τὸ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω καὶ ψυχῆς προηγουμένη μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρι γέ μην οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα, σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. — Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. (Βασιλείου.)

Ὥσπερ γῆν μὴ βρεχομένην οὐκ ἔστι, κἂν μυρία λάβῃ σπέρματα, στάχυας ἐξενεγκεῖν, οὕτω ψυχήν, οὐκ ἔστι, μὴ ταῖς θείαις γραφαῖς φωτισθεῖσαν πρότερον, κἂν μυρία τις ἐκχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι. (Χρυσοστόμου.)

— Τὸ σὺν ἀμαθίᾳ κεκτῆσθαι τὴν τῆς γνώσεως οἴησιν, χαλεπὸν καὶ ἐπίμωμον καὶ συγγνώμης ἁπάσης ἀνάξιον, καὶ μείζονος, ἵνα μὴ λέγω τῆς ἄκρας, ἀμαθίας τεκμήριον. (Δαμασκηνοῦ).

— Ἐὰν ᾖς φιλομαθής, ἔσῃ καὶ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρόν, ἀκούοντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. — Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιλοκαλίαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εἰρημένα, συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρόνου παραμένει. —Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. (Ἰσοκράτους).

— Οὐκ ἔστι περὶ ὅτου ἂν θειοτέρου ἄνθρωπος βουλεύσαιτο, ἢ περὶ παιδείας καὶ αὐτοῦ καὶ τῶν αὐτοῦ οἰκείων. (Πλάτωνος).

— Οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα ἐν μεθύουσι. (Δημοκρίτου.)

— Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Ὄργανον τῆς παιδείας ἡ χρῆσις τῶν βιβλίων ἐστί, καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην ἰηρεῖν συμβέβηκεν.—Τὴν δὲ παιδείαν,οὐσίαν εὐδαιμονίας οὖσαν, αἰτίαν τ' εὐβουλίας, οὐ μόνον ἐστὶν εὑρεῖν ἢ οἴκῳ, ἢ πόλει, ἢ ἔθνη χρησίμην, ἀλλὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει. Ὅσῳ οὖν ἡ ἐκ παιδείας ὠφέλεια μείζων πάντων στρατηγημάτων, τοσούτῳ καὶ ἡ περὶ αὐτῆς μνήμη ἀξία σπουδῆς (Πλουτάρχου.)

— Παιδείαν καὶ σοφίαν ἀσεβεῖς ἐξασθενήσουσι.—Μὴ ζῴην μετ' ἀμουσίας. — Μανθάνων μὴ κάμνε. — Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά. (Διαφόρων )

— Ἀμαθία μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας. (Θουκιδ. 3, 37.)

— Ἴτε, ὦ νέοι, αἱ χρησταὶ τῶν Ἑλλήνων ἐλπίδες· ἴτε, ὁράξασθε παιδειας, πανταχόθεν συλλέγοντες τὸ χρήσιμον κατὰ μέλισσαν, ἵνα μηκέθ' ὁ Κύριος ὀργισθῇ ἐφ' ἡμᾶς χερσὶ παραδοὺς ἀλλοφύλων.— Ἡ παιδεία τύχῃ μέν ἐστιν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δὲ ἀλύμαντος.—Παιδεία μὲν εἰσηγεῖται τὸν λόγον, Ἀρετὴ δὲ προστίθησι καὶ τὴν πρᾶξιν· ἡ μὲν λυχνοφόρῳ, ἡ δὲ λικνοφόρῳ ἐοικυῖα παρθένῳ. — Ἄνευ γὰρ φρονήσεως τὰ τῶν Μουσῶν δῶρα οὐ μᾶλλον ὠφέλησεν ἢ ἔβλαψεν. (Νεοφύτου Δούκα.)

— Ὡς δεινὸν ἡ μάθησις, ἐὰν μὴ νοῦς παρῇ.

—Ἡ ἀμάθεια ὑπῆρξε πάντοτε πηγὴ πολλῶν καὶ μεγάλων κακῶν. Ἐὰν βλέπωμεν τὴν πίστιν ἐξασθενοῦσαν· ἐὰν παρατηρῶμεν τὴν πλάνην καὶ τὴν ἀπάτην ὑφερπύζουσαν εἰς τὴν κοινωνίαν δίκην ὄφεως· ἐὰν θεωρῶμεν τὴν ἀπιστίαν ἱστῶσαν κατὰ τῶν πεποιθήσεων ἡμῶν τὰς φθοροποιοὺς αὐτῆς πλεκτάνας, ἡ ἀμάθεια εἶναι πάντων τούτων τῶν κακῶν ἡ αἰτία.— Ὁ ἄνθρωπος ὁ ἀγαπῶν τὴν σπουδὴν ζῇ ὡς ἐν ἄλλῳ κόσμῳ ζῇ διὰ τοῦ λογισμοῦ, καὶ τότε μάλιστα ἐπιδιώκει τὸν μονήρη βίον, τὸν ἠγαπημένον τοῦτον φίλον πάντων τῶν μεγάλων ἀνδρῶν. (Κοντογόνου.)

— Πυθία, Ζήνωνι, τῷ ἱδρυτῇ τῆς Στωϊκῆς φιλοσοφίας, πυνθα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νομένῳ περὶ τοῦ πῶς ὤφειλε διάγειν τὸν βίον, ἐχρησμοδότησ
«Συγχρωτίζεσθαι τοῖς νεκροῖς» ὅπερ ἐδήλου, συγγίνεσθαι το
πάλαι σοφοῖς, δι' ὧν καταλελοίπασι λόγων.

— Ἡ παιδεία ἀνυψοῦσα τὸν νοῦν τῆς γυναικός, μακρύνει α
τὴν ἀπὸ τῶν ταπεινῶν πραγμάτων καὶ τῶν προλήψεων. (. . . .

— Εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν. (Εὐριπίδ.)

— Πασῶν κολάσεων βαρυτάτη, ἐν ἀμαθίᾳ καὶ ἀμουσίᾳ κατ
βιῶναι. (Αἰλιαν Ποικλ. Ἱστορ. 8, 15.)

— Κρεῖττόν σε ὀψιμαθῆ ἢ ἀμαθῆ εἶναι.

— Οὕτω δὴ δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατὴν τὰ μ
ἀνθηρὰ καὶ τρυφερὰ τῶν ὀνομάτων, καὶ τῶν πραγμάτων τὰ θρ
ματικὰ καὶ πανηγυρικά, κηφήνων βοτάνην σοφιστιώντων ἡγούμ
νον ἐᾶν, αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λ
γου, ἕλκειν ἀπ' αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον. (Πλουτάρχ. πε
τοῦ Ἀκούειν. η'.)

— Σωκράτης που εἶπε· γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος. Κ
ἐμοὶ δοκεῖ ἀεὶ οὕτω χρῆναι, ἓν γέ τι μανθάνειν τὸν μέλλοντα φ
λοσοφήσειν, καὶ νεώτερον ὄντα καὶ πρεσβύτερον, ἵνα ὡς πλεῖσ
ἐν τῷ βίῳ μάθῃ. (Πλάτ. ἐρασταί)

— Τίς ἡ μεγίστη δικαίως ἂν λέγοιτο ἀμαθία; ἐγὼ μὲν δὴ τ
τοιάνδε τίθεμαι· τήν, ὅταν τῳ δόξαν καλὸν ἢ ἀγαθὸν εἶναι, μ
φιλῇ τοῦτο, ἀλλὰ μισῇ, τὸ δὲ πονηρὸν καὶ ἄδικον δοκοῦν εἶν
φιλῇ τε καὶ ἀσπάζηται. Ἀλλ' ἡ καλλίστη καὶ μεγίστη τῶν ξυμφ
νιῶν μεγίστη δικαιότατ' ἂν λέγοιτο σοφία, ἧς ὁ μὲν κατὰ λόγ
ζῶν μέτοχος, ὁ δ' ἀπολειπόμενος, οἰκοφθόρος, καὶ περὶ πόλιν ο
δαμῇ σωτήρ, ἀλλὰ πᾶν τοὐναντίον, ἀμαθαίνων εἰς ταῦτα ἑκάστο
φαίνεται. (Πλάτ. Νόμ. Γ.)

— Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. (Ἀριστοτέ
Μεταφυσ. 1, 1.)

— Δοκεῖ ἡ παιδεία ἡμεροῦν τὰς ψυχὰς ἀφαιροῦσα τὸ θηριῶδ
καὶ ἄγνωμον.

— Τὸ τρέφεσθαι καὶ παιδεύεσθαι διὰ μυρίων πόνων γίγνετ

— Παραινῶ τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι πρού
γιαίτερον.

— Οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τ
παιδείας τε καὶ τροφῆς. (Πλάτ. Φαίδ. κεφ. 57 δ'. 107.)

— Τῷ τῶν ἀπαιδεύτων βίῳ καθάπερ ὑποκριτῇ πολλὰ τύφ
μετεκδύματα παράκειται.— Οὔθ' οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὐθ'
ἀπαίδευτοι ταῖς ἀτυχίαις δύνανται συναρμόσασθαι. (Σωκράτου

Δημόσιο Κεντρική Βιβλιοθήκη Βάρους

— *Κυβερνήτης μὲν οὔτε ἐν μεγάλῳ πλοίῳ οὔτε ἐν μικρῷ ναυ-*
*άσει, οἱ δ' ἄπειροι ἐν ἀμφοῖν· οὕτως ὁ μὲν πεπαιδευμένος καὶ*
*πλούτῳ καὶ ἐν πενίᾳ οὐ ταράττεται, ὁ δ' ἀπαίδευτος ἐν ἀμφοῖν.*
*Ἀριστωνος τοῦ Χίου.)*

— *Ἀπαιδευσία πάντων τῶν παθῶν μήτηρ· τὸ δὲ πεπαιδεῦσθαι*
*κ ἐν πολυμαθείας λόγων ἀναλήψει, ἐν ἀπαλλάξει δὲ τῶν φύσει*
*κῶν θεωρεῖται. (Πυθαγόρου.)*

— *Οἱ ἀπαίδευτοι μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρουσι.*
*Κλεάνθους.)*

— *Βακτηρία γάρ ἐστι παιδεία βίου. (Μενάνδρου.)*

— *Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαι*
*υσίας, ὅσῳ ἡ ἀπαιδευσία μεῖζον κακόν· τὰ μὲν ἄλλα μιχθηρὰ*
*όντες κερδαίνουσι πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε*
*ὺς ἔχοντας· πολλάκις γὰρ οὓς τοῖς λόγοις ἐλύπησαν, τούτων τοῖς*
*γοις τὴν τιμωρίαν ἔδοσαν. (Ἰσοκρ. πρὸς Δημόν.)*

— *Τῆς παιδείας αἱ μὲν ῥίζαι πικραί, ὁ δὲ καρπὸς γλυκύς. (Ἰσο-*
*κράτ. Δημ.)*

— *Ἡ παιδεία καθάπερ εὐδαίμων χώρα πάντα τὰ ἀγαθὰ φέρει.*
*(Σωκράτ.)*

— *Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς, ὁ ἐκ παιδείας νοῦς*
*σμον καὶ ἀσφάλειαν παρέχει. (Σωκράτ.)*

— *Πανήγυρίς ἐστι ψυχῆς ἡ παιδεία· πολλὰ γάρ ἐστιν ἐν αὐτῇ*
*χῆς θεάματα καὶ ἀκούσματα. (Σωκράτ.)*

— *Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει*
*ὶ τὸ λυσιτελές. (Πυθαγόρ.)*

— *Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα. (Πυθαγόρ.)*

— *Οἱ πεπαιδευμένοι τόσον διαφέρουσι τῶν ἀπαιδεύτων, ὅσον*
*θρωπος τοῦ ἀλόγου ζώου καὶ ὁ τοὺς ὀφθαλμοὺς ἔχων τοῦ τυ-*
*λοῦ. (Πυθαγόρου.)*

— *Ἡ παιδεία εὐτυχοῦσι μὲν κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.*
*Δημοκρίτου.)*

— *Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι, τὸ μὲν*
*όμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύειν. Ἀντισθένους.)*

— *Καλλίστην παιδείαν πρὸς ἀληθινὸν βίον τὴν ἐκ τῆς πραγ-*
*ατικῆς ἱστορίας περιγιγνομένην ἐμπειρίαν· μόνη γὰρ αὕτη χωρὶς*
*άβης ἀπὸ παντὸς καιροῦ καὶ περιστάσεως κριτὰς ἀληθινοὺς ἀπο-*
*λεῖ τοῦ βελτίονος. (Πολυβίου.)*

— *Ἀληθινὴ παιδεία (δίδωσιν) ἀσφαλῆ δόσιν καὶ βεβαίαν καὶ*
*ετάβλητον. (Κέβης 32.)*

Αριστοτέλειο Πανεπιστήμιο Θεσσαλονίκης Κεντρική Βιβλιοθήκη

### Περὶ τοῦ γνῶθι σαυτόν.

(Ἴδε Τόμ. Α'. Κεφ. Κά'.)

— Ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ γνῶθι σαυτὸν ἔχειν πρ
χειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. (Πλουταρ. Δημοσθ.

— Ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός,
δ' οὔ. (Πλατ. ἀπολ. 21 c.) (Παράβ. Τόμ. Α'. κεφ. κά'.)

— Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον, ὅτι κακὸς

(Στοβαίου ἀνθολογ. ε', 1, 19.)

## ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

### Περὶ συμβουλῆς καὶ εἰσηγήσεως πονηρᾶς.

Χρόνου πολλοῦ προβεβηκότος, εἶπε τῷ Ἰὼβ ἡ γυνὴ αὐτοῦ· μ
χρι τίνος καρτερήσεις, λέγων· ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρ
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; ἰδοὺ ἠφάνισταί σ
τὸ μνημόσυνον ἀπὸ τῆς γῆς· υἱοί σου καὶ θυγατέρες σου,
ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς κενὸν ἐκοπίασα μετὰ
χθων· σὺ δὲ αὐτὸς κάθησαι ἐν σαπρίᾳ σκωλήκων διανυκτερεύ
αἴθριος κἀγὼ πλανῆτις, καὶ λάτρις, τόπου ἐκ τόπου περιερ
μένη, καὶ οἰκίαν ἐξ οἰκίας προσδεχομένη δὲ τὸν ἥλιον, πότε δύ
ἵνα ἀναπαύσωμαι τῶν μόχθων καὶ τῶν ὀδυνῶν, αἳ με νῦν συ
χουσιν· ἀλλ' εἰπέ τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα· ὁ δὲ ἐμβ
ψας αὐτῇ, εἶπεν ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐ
λησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ
ὑποϊσομεν; Ἰώβ. β'. 9).

Τίς, μὴ σὲ καταλάβῃ βουλὴ κακή. (Πρμ. ιζ'. 4).

Τίς, μὴ σὲ πλανήσουσιν ἄνδρες ἀσεβεῖς· μὴ βουληθῇς, ἐὰν π
ρακαλέσουσι σε, λέγοντες· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματ
κρύψομεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δ' αὐτ
ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν τὴν μνήμην αὐτοῦ ἐκ τῆς γῆς, τ
κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσωμεν δ' οἰκ
ἡμετέρους σκύλων· τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν· κοινὸν
βαλάντιον κτησόμεθα πάντες, καὶ μαρσίππιον ἓν γενηθήτω ἡμ
μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον δὲ τὸν πόδα σου
τῶν τρίβων αὐτῶν· οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτ
(Αὐτόθι α'. 10).

Ὅταν τι ἐναντίον τῆς τοῦ Κυρίου ἐντολῆς καὶ φθεῖρον ἢ μ
λύνον αὐτὴν ἐπιταχθῶμεν παρά τινος, καιρὸς εἰπεῖν τότε. «Π
θαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις μνημονεύοντες τοῦ Κυρ
λέγοντος, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ὅτι οὐκ οἴδασι τ
ἀλλοτρίων τὴν φωνήν·» καὶ τοῦ Ἀποστόλου τολμήσαντος ὑπὲρ τ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ετέρας πίστεως καὶ αὐτῶν καθάψεσθαι τῶν Ἀγγέλων, δι' ὧν σι· «κἂν ἡμεῖς αὐτοί, κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω·» ἐξ ὧν παιδευόμεθα, ὅτι πολὺ γνήσιος ἦ, κἂν ὑπερβαλόντως ἔνδοξος ὁ κωλύων, βδε τὸς ὀφείλει εἶναι ἑκάστῳ τῶν ἀγαπώντων τὸν Κύριον. (Βασιου).

## ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

### Περὶ συμβουλευομένων.

Βλέπων ὀφθαλμὸς τ' ἄλλα, ἑαυτὸν οὐ βλέπει·
Τούτου χάριν σύμβουλον ἐν παντὶ ἔχε.
Καὶ γὰρ χειρὸς χείρ, καὶ ποδὸς ποῦς ἐνδεής.
(Ναζ. Τετρ. 46).

Ἔστι γὰρ τοῦτο ἀνδρὸς μεγαλόφρονος ἀποδέχεσθαι μᾶλλον υθερίαν, ἢ ἐχθρῶν κολακείαν. (Τοῦ αὐτοῦ).

Οὗς ἀκούων ἐλέγχους ζωῆς, ἐν μέσῳ σοφῶν ἀλισθήσεται (Πρμ. 12).

Εἰσακούει συμβουλίας σοφός. (Αὐτόθι ιβ'. 15).

Οὐ πρέπει ἐν τῇ καρδίᾳ τὸν τῶν ἐλέγχων στῆσαι λόγον· τοτο γὰρ ἡμισύ τι ἐστιν ἰατρείας· τὸ γὰρ δεῖξαν αὐτῷ κάμνοντι τῆς σου τὸ μέγεθος, ὥστε ἀξίαν ποιῆσαι αὐτῷ τοῦ κακοῦ τὴν φρονα, χρήσιμον μέν, τὸ δὲ ἄχρι τούτου καταλιπεῖν, καὶ μὴ πρὸς ν ὑγείαν χειραγωγῆσαι, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἔκδοτον ἀφεῖναι ἀρρωστίᾳ τὸν κάμνοντα. (Βασιλείου).

Τίέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω καρδία· μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί . Τίέ, μὴ παραρρυῇς, τήρησον δὲ ἐμὴν βουλήν, καὶ ἔννοιαν, ζῇ σὴ ψυχή, καὶ χάρις ἡ περὶ σῷ τραχήλῳ, ἔσται δὲ ἴασις ταῖς ρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ἵνα πορευθῇ πεποιθὼς εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ ποῦς σου οὐ μὴ προσκόπτῃ· ν γὰρ κάθῃ, ἄφοβος ἔσῃ, ἐὰν δὲ καθεύδῃς ἡδέως ὑπνώσεις, καὶ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομέ-ς· ὁ γὰρ Κύριος ἔσται ἐπὶ τῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, μὴ ἀγρευθῇς. (Παροιμ. Γ'. 21).

Ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ, ὑπὲρ ἄνδρα ἀκούοντα μα ἀφρόνων. (Ἐκκλ. β'.)

— Τοὺς δὲ νοῦν ἔχοντας, καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν λων, περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε, γιγνώσκων, ὅτι σύμβου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτω
ἐστιν. (Ἰσοκρ.)

— Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθα
σκόπει πρῶτον, πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθε
περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίω
(Ἰσοκράτ.)

— Οἱ εἰρηνεύοντές σοι ἑστωσαν πολλοί, οἱ δὲ σύμβουλοί σ
εἷς ἀπὸ χιλίων. (Σολομῶντος).

## ΚΕΦΑΛΑΙΟΝ Μ΄.

### Περὶ παίδων, ὅτι χρὴ τοὺς γονεῖς τιμᾶν, τοὺς δὲ γονεῖς ἐκτρέφειν τοὺς παῖδας ἐπιμελῶς.

Ἕκαστος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα φοβείσθω. (Δευ
τι. α΄. 3.)

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου ἵνα εὖ σοι γένητ
καὶ μακροχρόνιος ζήσῃς ἐπὶ τῆς γῆς. (Ἐξδ. κ΄. 12.)

Ἄκουε τοῦ γεννήσαντός σε, καὶ μὴ καταφρόνει, ὅτι γεγήρασ
σου ἡ μήτηρ. (Παροιμ. κγ΄. 12.)

Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γ
ἐστι δίκαιον.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου (ἥτις ἐστιν ἐντο
πρώτη ἐν ἐπαγγελίᾳ) ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐ
τῆς γῆς. (Ἐφεσί. ς΄. 1.)

Ἡ περὶ τοὺς γηράσαντας τῶν πελαργῶν πρόνοια ἐξαρκεῖ το
παῖδας ἡμῶν, εἰ προσέχειν βούλοιντο, φιλοπάτορας καταστῆσ
πάντως γὰρ οὐδεὶς ἐλλείπων καὶ τὴν φρόνησιν, ὡς μὴ αἰσχύ
ἄξιον κρίνειν τῶν ἀλογωτάτων ὀρνίθων ὑστερίζειν κατ' ἀρετ
ἐκεῖνοι γὰρ, τὸν πατέρα ὑπὸ γήρως πτερορροήσαντα περιστάν
ἐν κύκλῳ, τοῖς οἰκείοις πτεροῖς περιθάλπουσι, καὶ τὰς τροφ
ἀφθόνως παρασκευάζοντες, τὴν δυνατὴν καὶ ἐν τῇ πτήσει πα
χοντες βοήθειαν, ἠρέμα τῷ πτερῷ κουφίζοντες ἑκατέρωθεν,
οὕτω τοῦτο παρὰ πᾶσι διαβεβόηται, ὥστε ἤδη τινὲς τὴν τῶν
εργετημάτων ἀντίδοσιν, ἀντιπελάργωσιν ὀνομάζουσιν. (Βασιλείο

Ἔργασαι τὸ καλόν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι, κἂν σοι μ
δὲν ἔσεσθαι μέλλῃ· τοῦτο μισθός ἐστι τῷ πατρὶ χαρίζεσθ
(Ναζιγ.)

Ἐντεῦθεν τῶν δούλων οἱ ἐλεύθεροι ἀτιμώρητοι· τοῖς μὲν γ
δούλοις, εἰ καὶ μὴ δι' αὐτούς, ἀλλὰ δι' ἡμᾶς αὐτοὺς ἐπιτιμῶμε
οἱ δὲ ἐλεύθεροι, οὐδὲ ταύτης ἀπολαύουσι τῆς προνοίας, ἀλλὰ

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*τούτων ἡμῖν εἰσιν εὐτελέστεροι· καὶ τί λέγω τῶν δούλων; καὶ γὰρ βοσκημάτων οἱ παῖδες ἀτιμώτεροι καὶ ὄνων καὶ ἵππων μᾶλλον ἐπιμελούμεθα, ἢ παίδων· κἂν μὲν ἡμίονον τις ἔχῃ, πολλὴ ἡ φροντίς, ὥστε ὀνηλάτην εὑρεῖν ἄριστον, καὶ μήτε ἀγνώμονα, μὴ κλέπτην, μὴ μέθυσον, μὴ τῆς τέχνης ἄπειρον· ἂν δὲ ψυχῇ παιδὸς ἐπιστῆσαι παιδαγωγὸν δέῃ, ἁπλῶς καὶ ὡς ἔτυχε τὸν ἐπελθόντα αἱρούμεθα καί τοι γε τῆς τέχνης ταύτης οὐκ ἔστι ἄλλη μείζων· τί γὰρ ἴσον τοῦ ῥυθμῆσαι ψυχήν, καὶ διαπλᾶσαι νέου διάνοιαν; καὶ γὰρ παντὸς ζωγράφου καὶ ἀνδριαντοποιοῦ τὸν ταύτην ἔχοντα τὴν ἐπιστήμην ἀκριβέστερον διακεῖσθαι χρή· ἀλλ' ἡμεῖς οὐδένα τούτου ποιούμεθα λόγον, ἀλλ' ἓν ὁρῶμεν μόνον, ὅπως παιδευθῇ τὴν γλῶτταν· καὶ τοῦτο δὲ διὰ χρήματα πάλιν ἐσπουδάκαμεν· οὐ γὰρ ἵνα δύνηται λέγειν, ἀλλ' ἵνα χρηματίζηται μανθάνει τὸ λέγειν· ὡς, εἰ ἐξῆν καὶ χωρὶς τούτου πλουτεῖν, οὐδεὶς ἡμῖν ἦν οὐδὲ τούτου λόγος· εἶδες πόση τῶν χρημάτων ἡ τυραννίς; πῶς πάντα κατέσχε; καὶ καθάπερ ἀνδράποδά τινα καὶ θρέμματα δήσασα ἔλκει, ὅπου περ ἂν θέλῃ; ἀλλὰ τί τὸ κέρδος ἀπὸ τῶν τοσούτων ἐγκλημάτων ἡμῖν; ἡμεῖς μὲν γὰρ τοῖς λόγοις αὐτὴν βάλλομεν, ἐκείνη δὲ τοῖς ἔργοις ἡμῶν κρατεῖ.* (Χρυστμ. Τμ. Ξ. 605.)

*Ἐκτρέφωμεν αὐτὰ (τὰ τέκνα) ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου δῶμεν αὐτοῖς ὑπόδειγμα ἐκ πρώτης ἡλικίας, τῇ τῶν γραφῶν ἀναγνώσει ποιοῦντες αὐτοὺς ἐνσχολάζειν.* (» τμ. ΙΑ'. 160.)

*Παιδευε υἱόν, καὶ ἀναπαύσει σε, καὶ δώσει κόσμον τῇ ψυχῇ σου.* (Παροιμ. ιθ'. 17.)

*Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ, ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει.* (αὐτόθι ιγ'. 24.)

*Μὴ ἀπόσχει νήπιον παιδεύειν, ὅτι, ἐὰν πατάξῃς αὐτῷ ῥάβδῳ, οὐ μὴ ἀποθανεῖται· σὺ μὲν γὰρ πατάξεις αὐτὸ ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ.* (αὐτόθι κγ. 13.)

*Παίδευε υἱόν σου· οὕτω γάρ ἐστιν εὔελπις.* (αὐτόθι ιθ'. 18.)

*Τέκνα σοι ἐστί; παίδευσον αὐτά, καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν.* (Σειράχ. ζ'. 17.)

*Παίδευσον τὸν υἱόν σου, καὶ ἔργασαι ἐν αὐτῷ, ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ αὐτοῦ προκόψῃ.* (αὐτόθι λ'. 10.)

*Οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.* (Ἐφεσ. ς'. 4.)

*— Παίδων φείδεσθαι πάτριος νόμος· καταγέλαστον ἀνθρώπῳ τῷ τῶν ἰδίων τέκνων καὶ οἰκείων ἀφειδήσαντι, καὶ παιδεύειν ἐπιχειροῦντι ξένους.* (Νζνξ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅτι γὰρ οἱ τῶν παίδων ἀμελοῦντες, κἂν τ' ἄλλα ὦσιν ἐπιεικεῖς καὶ μέτριοι, διὰ ταύτην τὴν ἁμαρτίαν τὴν ἐσχάτην ὑποστήσονται δίκην. (Χρυσοστμ. Τμ. Γ'. 318).

Παιδεύετε τὰ τέκνα ὑμῶν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μετὰ πολλῆς τῆς ἐπιστροφῆς. (Τοῦ αὐτοῦ τόμ. 556).

— Ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν· εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων· κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια. (Σειράχ).

— Ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ, εὐφρανθήσεται ἐπ' αὐτῷ, καὶ ἀναμέσου γνωρίμων ἐπ' αὐτῷ καυχηθήσεται. (Σειράχ).

— Ὡς βλάσφημος ὁ ἐγκαταλείπων πατέρα αὐτοῦ καὶ κατηραμένος ὑπὸ Κυρίου ὁ παροργίζων τὴν μητέρα αὐτοῦ. (Σειράχ).

## ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

### Περὶ διδασκαλίας καὶ διδασκάλων.

Ἀμὴν λέγω ὑμῖν, ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (Μτθ. ε'.)

Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν. Βέλτιον ἀγνοεῖν καλῶς ἢ μανθάνειν κακῶς.

Πολλάκις οὐδὲ ἡ τῶν πραγμάτων φύσις οὐκ ὑπεσκέλισε, ῥῆμα καὶ παραίνεσις διεφθαρμένη κατέλυσεν. (Χρυσοστόμου).

Οὐκ ἀκίνδυνον ἡ ἀκρόασις, ὅταν ἡ διὰ τῶν ἔργων προσθήκη οὐ γίνεται. (»)

Ἔστι γνῶσις λόγου χωρίς, καὶ ἔστι γνῶσις μετὰ λόγου, καὶ γάρ εἰσι πολλοὶ γνῶσιν μὲν ἔχοντες, λόγον δὲ οὐκ ἔχοντες. (»)

Οὐδὲν ὄφελος κατηχήσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνῃ τοῖς λεγομένοις. (»)

Περισσὸς πᾶς λόγος πρὸς διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον νεύουσα ὁρμὴ τοῖς κατὰ συμβουλὴν λεγομένοις ἐναντίως διάκηται. (Νείλου).

Τότε ἀνύει διδάσκαλος, καὶ πιστεύεται λέγων, ὅταν ἀφ' ὧν πράττῃ παιδεύῃ, κατὰ τὸ ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. (Διδύμου.)

Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου. ὁ μὲν γὰρ καὶ σιγῶν ὠφελεῖ, ὁ δὲ βοῶν ἐνοχλεῖ· εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμοιεν φιλοσοφίας ἁπάσης ἀποτελοῦσιν ἄγαλμα. (Ἰσιδώρου τοῦ Πηλουσιώτου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Πράττε λογικῶς, καὶ λέγε πρακτικῶς· ἐσθλῶν μὲν γὰρ (φησὶν) ἀπ' ἐσθλὰ διδάξει· ἂν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖ καὶ τὸν ἐνόντα νόον, (τοῦ αὐτοῦ.)*

*Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. (Ἑβρ. ιγ'. 9.)*

*Ἀξιοπιστία τοῦ διδάσκοντος εὐπρόσδεκτον μὲν τὸν λόγον καθίστησι, προσεχεστέρους δὲ τοὺς μαθητευομένους παρασκευάζει. (Βασιλείου.)*

*Τότε μάλιστα οἱ μαθηταὶ εἰς τὸν τῶν ἀγαθῶν ἀνάγονται ζῆλον, ὅταν παρὰ τῶν διδασκάλων ἔχωσι τὰ παραδείγματα. (Χρυσοστόμου.)*

*Διδάσκων τις μανθάνει πλέον, καὶ λέγων συνακροᾶται πολλάκις τοῖς ὑπακούουσιν αὐτῷ. (Κλήμεντος.)*

*Ὁ λαβὼν χάριν, ὀφείλει ἀφθόνως παραδιδόναι τοῖς θέλουσι μανθάνειν, καθὼς καὶ ὁ Κύριος εἶπε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε· τῷ γὰρ λαβόντι καὶ μὴ μεταδιδόντι, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ· καὶ οὐ μόνον δικαίοις δίδωσι τὴν χάριν, ἀλλὰ καὶ ἁμαρτωλοῖς. Ἐπειδὴ ἄφθονός ἐστι ὁ θεός, καὶ ἀπροσωπόληπτος, καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ οὐ παροράᾳ τὸν ἁμαρτάνοντα, ἀλλὰ δίδωσι κἀκείνῳ μικρὰν χάριν· ἕκαστος οὖν ὀφείλει ἀφθόνως διδάσκειν. (τοῦ αὐτοῦ.)*

*Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν Κύριον· ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ Κύριος αὐτοῦ. (Μτθ. ι'. 24).*

*Τάδε λέγει Κύριος· ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ, καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σέ, καὶ σὺ οὐκ ἀναστρέψεις πρὸς αὐτούς. (Ἱερμ. ιε'. 19).*

*Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοὶ ἔδωκεν ὁ θεός. (Ἡσαΐου Η' 18).*

*Ὥσπερ ὁ ἱερεύς, μὴ πρῶτος μεταλαμβάνων τῶν ὑπ' αὐτοῦ προσκομισθέντων, ἀνίερός ἐστιν, οὕτω καὶ οἱ τολμῶντες διδάσκειν ἄλλους, μὴ πράττοντες, ἃ διδάσκουσιν, ἀνίεροί εἰσι. Δεῖ γὰρ ποιεῖν καὶ οὕτω διδάσκειν· κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου. Ὁ ποιήσας καὶ διδάξας, οὗτος μέγας κληθήσεται. (Μαξ. εἰς τὴν θείαν Ἱεραρχ. σελ. 94).*

*Ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων, οὐ τοσοῦτον ἐκείνου εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος τῆς τε παρὰ τοῦ Θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύων, καὶ αὐτὸς δι' ὧν τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρεῖ, εἰς ὑπόμνησιν ἐρχόμενος, ἀνανεῶν παρ' ἑαυτῷ τὴν μνήμην τῶν εἰρημένων. (Χρυσοστ. ὁμιλ. π'.)*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Μεγάλους ἔλεγε δεῖν τοὺς διδασκάλους μισθοὺς παρὰ τῶν μαθητῶν λαμβάνειν· παρὰ μὲν τῶν εὐφυῶν ὅτι πολλὰ μανθάνουσι· παρὰ δὲ τῶν ἀφυῶν ὅτι πολὺν κόπον παρέχουσι.*

*— Ὁ γνοὺς καὶ μὴ σαφῶς διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη.* (*Θουκυδ. 2, 60.*)

*— Βίαιον μὲν γὰρ μάθημα οὐ πέφυκε παραμένειν, τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος, εἰσθυόμενον, μονιμώτερόν πως ταῖς ψυχαῖς ἡμῶν ἐνιζάνει.* (*Βασιλείου.*)

*— Μὴ ζήτει διδάσκαλος γενέσθαι, εἰ τῆς τοῦ πράγματος ἀρετῆς ἀπέχεις, ἀλλὰ ἑλκόμενος ἀποπήδα· ἐπικίνδυνον γὰρ τὸν μὴ διὰ τοῦ πρακτικοῦ βίου ἀναχθέντα διδάσκειν ἐπιχειρεῖν. — Οὐδὲν διδασκάλου ψυχρότερον ἐν λόγοις φιλοσοφοῦντα μόνον· τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ· ὡς ὁ Θεῖος Ἀπόστολος φησί· «ποιεῖν τε καὶ διδάσκειν.» Οὐχ οὕτω γὰρ εἴωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ μαθήματα ὑπὸ τῶν ῥημάτων, ὡς ἀπὸ τῶν πραγμάτων.*

*— Ἡ τοῦ διδασκάλου ἀπειρία ἀπόλλυσι τοὺς μαθητευομένους· καὶ ἡ τῶν μαθητευομένων ἀπώλεια, κίνδυνον φέρει τῷ διδασκάλῳ, καὶ μάλιστα ὅταν παρὰ τὴν αὐτοῦ ἀνεπιστημοσύνην ῥαθυμοῖεν ἐκεῖνοι.* (*Νείλος.*)

*— Ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγινομένην.* (*Σωκράτους.*)

*— Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον.* (*Πιττακοῦ.*)

*— Ἀλέξανδρος ὁ Μέγας, ἐρωτηθεὶς ὑπό τινος, τίνα μᾶλλον ποθεῖ, τὸν πατέρα Φίλιππον, ἢ Ἀριστοτέλην τὸν διδάσκαλον; ἔφη· ἐπίσης ἀμφοτέρους· ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος.* ( .

*— Δεῖ τοὺς ἐν τοῖς μαθήμασι καταγινομένους, καὶ τοὺς ἐν τοῖς διδασκαλείοις φοιτῶντας, τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης, σωφροσύνην· ἐπὶ δὲ τῆς γλώττης σιγήν· ἐπὶ δὲ τοῦ προσώπου, αἰδῶ. — Διδασκάλους δὲ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. Πηγὴ γὰρ καὶ ῥίζα καλοκἀγαθίας, τὸ νομίμου τυχεῖν παιδείας. Καὶ καθάπερ τὰς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων ἐπιμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνῃ τὰ ἤθη. — Ὕπνοι καὶ κόποι μαθήμασι πολέμιοι. — Πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν. — Εἰ δέ τις οἴεται, τοὺς οὐκ εὖ πεφυκότας, μαθήσεως*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετήν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν, ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνειν. (Πλουτάρχ.)

— Δεῖ γὰρ δὴ τοὺς ἐξ ἐπαγγέλματος ἑτέρους τὴν τῶν ἀρχαίων μεγαλώνυμον γλῶσσαν διδάσκοντας, αὐτούς τε πρώτους ἐν ταύτῃ ἐπίστασθαι γράφειν, καὶ τοὺς ἄλλους κελεύειν, εἴ γε μέλλοιμεν καὶ τὴν ἐκείνων ἐν πᾶσιν ἀνασώσεσθαι εὔκλειαν. — Δεῖ γὰρ τὸν διδάσκαλον, βαθυτέραν ἀεὶ τὴν τῆς λογικῆς χώρας ἄλοκα ἀρότρῳ πηκτῷ, καθ' Ὅμηρον, διατέμνοντα, σπουδαιότερα αὐτῇ καταβάλλων τὰ σπέρματα, ἵν' ἔχῃ ἐν καιρῷ εὐθυνέστερον κατὰ τὸν σῖτον ἀμήσασθαι. — Δεῖ γὰρ δή, ὥσπερ ἐπὶ τῶν ἄλλων, οὕτω κἂν ταῖς ἐπιστήμαις, τῶν πρὸ ὁδοῦ ἐπιμέλειαν πρότερον ἔχειν· τοῦτο δὴ καὶ ἡ φύσις ἡμᾶς ἐκπαιδεύει· πάνθ' ὅσα ἐργάζεται, ταῖς κατὰ μικρὸν διπλάσιον αὔξουσά τι καὶ καταρτίουσα. — Δεῖ γὰρ δὴ τοὺς διδάσκοντας οὐχ ὅσ' αὐτοὶ τυγχάνουσιν ἐπιστάμενοι, ταῦτ' ἀθρόα φέροντες ἐπιτιθέναι ἀκαίρως παισίν, οἷς μήτ' ὦμοι, μητ' ἐπιγουνατίδες που κρατεραὶ καὶ σφριγῶσαι ὑπάρχουσιν· ἀλλ' ἃ ἂν αὐτοῖς δυνατὰ καὶ ἀναγκαῖα ᾖ ἅρασθαι, εἶγ' ἐθέλοιεν μὴ καὶ τὸν δυνατὸν καὶ χρήσιμον, ἐκείνους βαρυνομένους, συναποτίθεσθαι φόρτον. — Ὁ μὲν γὰρ διδάσκαλος νυμφοστόλῳ ἔοικεν ἀνδρί, ὃς παραλαβὼν παρθένου ἀμελῶς ἔχουσαν ἑαυτῆς, ἐπικοσμήσας ἐπιμελῶς, καὶ εὐώδεσιν ἄνθεσι περιστέψας, κοσμιωτέραν ἀπέφηνεν ὡς καὶ διαπρέπουσαν ὥρᾳ συχνοτέροις τοῖς θελγήτροις προσάγεσθαι ἐραστάς. — Σκάπτειν μὲν καὶ ξύλα τέμνειν καὶ ὅ,τι οὖν τῶν μοχθηρῶν ἔργων διὰ τοῦ σώματος πέφυκε γίγνεσθαι, δυναίμεθ' ἂν ἐκβιάζεσθαι καὶ τοὺς παῖδας ἐν τούτοις ἐργάζεσθαι τὴν μάστιγα ἐπισείοντες· θέλησιν δὲ κεκτῆσθαι καὶ νοῦν προσχεῖν οἷς οὐ διδάσκωνται, οὐκέτι· τοῦτο γὰρ ὑπόκειται τῇ θελήσει, ἥτις δύναμίς ἐστι τῆς ψυχῆς, ἣν ὁ Θεὸς ἐλευθέραν πάνυ καὶ πάσης βίας ἐποίησε κρείττονα. (Νεοφ. Δούκα.)

Ὥσπερ γὰρ τὸ σῶμα δεῖται τῆς αἰσθητῆς τροφῆς, οὕτω καὶ ἡ ψυχὴ δεῖται καθημερινῆς ὑπομνήσεως, καὶ τροφῆς πνευματικῆς, ἵνα νευρουμένη ἀντέχειν δύνηται πρὸς τὰς ἐπαναστάσεις τῆς σαρκός, καὶ πρὸς τὸν διηνεκῆ πόλεμον, τὸν ἐπικείμενον ἡμῖν, καὶ αἱχμάλωτον ἡμῶν ἀπεργαζόμενον τὴν ψυχήν, ἐὰν κἂν πρὸς βραχὺ ῥᾳθυμῆσαι βουληθῶμεν. (αὐτόθι.)

— Οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν. (Ξεν. Ἀπομν. 1, 6, 3.)

— Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
Συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. (Θεογν. 35.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οἱ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλὰ ἐν ἡδοναῖς ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι.* (*Ξενοφ.*)

— *Τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται.* (*Ματθ. ιε'. 14.*)

## ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

### Περὶ πράξεως καὶ θεωρίας.

*Πρᾶξις ἐστὶν ἐπίβασις θεωρίας. Ὁμοίως ἀτελὴς ἄλογος πρᾶξις, καὶ λόγος ἄπρακτος· ἄφωνον ἔργον κρεῖττον ἀπράκτου λόγου.* (*Θεολόγου.*)

*Πρᾶξις λόγου ἐναργεστέρα, ὡς ἀκοῆς ὄψις, καὶ τῆς διὰ στόματος διδαχῆς ἡ διὰ πείρας διδασκαλία.* (*Χρυσοστόμου.*)

*Φαύλην πρᾶξιν ἐσθλὸς λόγος οὐκ ἀμαυροῖ, οὔτε δὲ πρᾶξιν ἀγαθὴν λόγου βλασφημία λυμαίνεται.*

*Κακῶν πράξεων, κακὸς δαίμων ἡγεμών· χρόνος μαλάσσει πάντα, καὶ ἐξερ) άζεται.*

*Πολλῶν ὁ καιρὸς γίνεται διδάσκαλος· τὰ μὲν ξίφη ταῖς λαβαῖς, αἱ δὲ πράξεις τοῖς καιροῖς κρατοῦνται.*

*Ἀνδριάντας μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.*

*Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς, ἀνδρῶν δικαίων καὶ ἀγαθῶν παρουσία.*

*Γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν.* (*Ιακώβ. ε'.*)

— *Τοὺς περὶ τὰς καλὰς πράξεις διαφερόντως σπουδάζοντας πάντες ἀποδέχονται καὶ ἐπαινοῦσιν* (*Ἀριστοτ. Ἠθικ. Νικομ. 9,8,7.*)

— *Πᾶσα πρᾶξις ὧδ' ἔχει αὐτὴ ἀφ' ἑαυτῆς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά· ἀλλ' ἐν τῇ πράξει ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη.* (*Πλάτ. Συμπόσ. 181.*)

— *Πάντες πράττουσι πάντα, χάριν τῶν ἐπιγιγνομένων τοῖς ἔργοις ἡδέων, ἢ καλῶν ἢ συμφερόντων.* (*Πολύβ. 3, 4, 11.*)

— *Τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει.* (*Δημοσθ. Ὀλυνθ. 2, 12.*)

— *Σωκράτης ἐρωτηθείς, τίνων μάλιστα ὁ λόγος ἰσχύει; ὧν ἡ πρᾶξις, εἶπε, συνέπεται τῷ λόγῳ.*

### Περὶ διηγήσεως ὑπὸ συνετῶν. ἢ ἀνοήτων γενομένης.

*Διήγησις μωροῦ προσόχθισμα.* (*Σειρχ. κα'. 16.*)

*Μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου.* (*» η'. 8.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Μὴ ἀστόχει διηγήματα γερόντων, καὶ γὰρ αὐτὰ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν. (» 9.)*

*Λαλεῖτε ἀνθρώποις δικαίοις. (» εἰ΄.)*

*Λόγους σοφῶν παράβαλε τὸ σὸν οὖς. (Παρμ. εἰ΄ 1.)*

*Διήγησις μωροῦ, ὡς ἐν ὁδῷ φορτίον, ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται χάρις. (Σειράχ. κα΄. 8.)*

*Κηρῷ τὰ ὦτα φράσσε πρὸς φαύλους λόγους*
*Ὠδῶν τε τερπνῶν ἐκμελῆ λυγίσματα.*
*Τοῖς δ' αὖ καλοῖς τε κἀγαθοῖς ἀεὶ δίδου.*
*Εἰπεῖν ἀκοῦσαι καὶ δράσαι μικρὸν μέσον. (Γρηγ.Ναζ. τετρ.17)*

*Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε (Ψαλμ. ρια΄. 85.)*

## ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

### Περὶ τῶν μὴ δεχομένων συμβουλήν.

*Εἶπε Δαυῒδ πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως· πορεύθητε, ἀριθμήσατε τὸν Ἰσραὴλ· καὶ εἶπεν Ἰωάβ· ἵνα τί ζητεῖ ὁ Κύριός μου τοῦτο; ἵνα μὴ γένηται εἰς ἁμαρτίαν τῷ Ἰσραήλ; (Α΄. Παρλ. κα΄. 2.)*

*Ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐὰν σοῦ ἀκούσῃ ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἔτι ἕνα καὶ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων, ἢ τριῶν σταθῇ πᾶν ῥῆμα· ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ. Ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὅπως ὁ ἐθνικὸς καὶ ὁ τελώνης. (Ματθ. ιη΄. 15.)*

*Ἀσυμβούλευτος ἄνθρωπος, πλοῖόν ἐστιν ἀκυβέρνητον. (Βασιλείου)*

*Ὁ μὴ δεχόμενος τὴν παρὰ τοῦ ἀδελφοῦ θεραπείαν, προσαγομένην αὐτῷ, ἀσύμφωνος αὐτὸς ἑαυτῷ (Ναζιανζοῦ.)*

*Ψυχὴ πᾶσα ἀνυπόθετος, ἀθεράπευτος. (τοῦ αὐτοῦ.)*

*— Πολλοὶ πολλάκις, ὑπὲρ τοῦ μὴ φανῆναι δεόμενοι συμβουλῆς τῆς παρ' ἑτέρων, εἵλοντο παραδοῦναι τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς ἐκείνων γνώμης, ἢ δεξάμενοι τὴν παραίνεσιν, διορθῶσαι τὸ ἁμάρτημα· καὶ μᾶλλον ἀγνοεῖν κατεδέξαντο, ἢ μαθεῖν, οὐκ εἰδότες ὅτι οὐ τὸ μαθεῖν ἔγκλημα, ἀλλὰ τὸ ἀγνοεῖν κατηγορία· οὐ τὸ διδάσκεσθαι, ἀλλα τὸ ἐν ἁμαρτίᾳ εἶναι· οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν ἀδιόρθωτα.— Ὁ μὲν ἀρκῶν καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι θεραπείαν καὶ ποιήτω βελτίους· ὁ δὲ ἀτονώτερος ὤν, φευγέτω τοὺς πονηρούς, ὥστε μὴ τὴν παρ' ἐκείνων δέχεσθαι λύμην. (Χρυσοστ.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Περισσὸς πᾶς λόγος πρὸς διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ἀποκλίνουσα σπουδή, τοῖς κατὰ συμβουλὴν λεγομένοις ἐναντίον διάκειται. (Νείλου.)*

— *Ἐν ᾧ γὰρ αὕτη πράγματι μὴ πείθηται τὸ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτάνων δὲ ζημιώσεται. (Σωκράτους).*

— *Οὗτος μὲν πανάριστος, ὅς αὐτὸς πάντα νοήσῃ,*
*ἐσθλὸς δὲ κἀκεῖνος, ὅς εὖ εἰπόντι πείθηται.*
*ὅς δέ κε μήτ αὐτὸς νοέῃ, μηδ' ἄλλων ἀκούων*
*ἐν θυμῷ βάλληται, ὃδ αὖτ' ἀχρήϊος ἀνήρ. (Ἡσιόδου.)*

— *Ἀνὴρ ἄβουλος ἑαυτοῦ πολέμιος.*

## ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

### Περὶ βουλῆς, ὅτι χρὴ μετὰ βουλῆς καὶ σκέψεως πράττειν πάντα.

*Βουλὴ καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρήσει σε. (Παροιμ. Κεφ. εγ'.)*

*Ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη ἀτείχιστος, οὕτως ἀνήρ, ὃς οὐ μετὰ βουλῆς τὰ πάντα πράττει. (αὐτόθι κε'.)*

*Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν, ὥσπερ φύλλα, σωτηρία δὲ πολλῇ βουλῇ ( » ια'.)*

*Συνάχθητε ἅμα καὶ βουλεύσασθε οἱ σωζόμενοι. (Ἡσαι. με'. 20.)*

*Ἄνευ βουλῆς οὐδὲν ποιήσεις, καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμέλου. (Σολ. λβ'.)*

*Κρείσσων λελογισμένη βραδύτης τάχους ἀπερισκέπτου. (Γρηγ. Ναζιαν.)*

*Μακαριότης ἐστι βουλῆς κακῆς ἐκπεσεῖν.*

*Ἰμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομήν, ἐν συσεισμῷ οὐ διαλυθήσεται. (Σρχ. κη'. 16.)*

*Οὕτω καρδία ἐστηριγμένη ἐπὶ διανοήμασι βουλῆς ἐν καιρῷ φόβου οὐ δειλιάσει. (αὐτόθι.)*

*Τὰ μὴ σὺν λόγῳ πάντα αἰσχρά, ὥσπερ τὰ σὺν λόγῳ κόσμια (Φίλωνος.)*

*Ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ, συνέτισον παιδείαν καὶ οὕτως ἀποκριθήσῃ (Σρχ. λγ'.)*

*Μετὰ σοφοῦ πηγὴ ζωῆς. ( » θ'.)*

*Βουλὴ σοφοῦ πηγὴ ζωῆς. ( » κβ'.)*

*Χρυσίον καὶ ἀργύριον ἐπιστήσουσι πόδα, καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται. (ὁ αὐτός. μ'. 25.)*

*Μετὰ κυβερνήσεως γίνεται πόλεμος· βοήθειαν δὲ μετὰ καρδίας βουλευομένης.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Μετὰ βουλῆς πάντα ποίει.*
*Μετὰ βουλῆς οἰνοπότει. (Παρμ. κ'. λα'. ιγ'.)*
*— Οἳ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,*
*Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη. (Ἡσιόδ. ἔργ. 265.)*
*— Τὸ εὖ βουλεύεσθαι κέρδος μέγιστον εὑρίσκω ἐόν· εἰ γὰρ καὶ ἐναντιωθῆναί τι θέλει, βεβούλευται μὲν οὐδὲν ἔσσου εὖ, ἔσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευσάμενος αἰσχρῶς, εἰ οἱ ἡ τύχη ἐπίσσοιτο, εὕρημα εὕρηκε, ἔσσον τε οὐδὲν οἱ κακῶς βεβούλευται. (Ἡροδότ. 7, 10, 9.)*
*— Βουλεύου πρὸ ἔργου, ὅπως μὴ μῶρα πέλῃται. (Πυθαγ.)*
*— Οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες ἐπὶ τῷ δυστυχεῖν καὶ γέλωτα ὀφλισκάνουσιν. (Αἰσώπ. μυθ. 69.)*
*— Οἱ ἐν ταυτῷ τοῖς ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες, εἰκότως περὶ τὰ ἑκάτερα πταίουσιν. (Αἰσωπ. μυθ. 77.)*
*— Οἱ τὰ οἰκεῖα ἐπιτηδεύματα λιπόντες καὶ τοῖς μὴ προσήκουσιν ἐπιβάλλοντες, εἰκότως δυστυχοῦσι. (Αἰσωπ. μύθ. 112.)*

## ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

### Περὶ συμβούλου.

*— Ὁ διανοηθεὶς κακῶς περὶ τῶν ἰδίων οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. (Ἰσοκρ.)*
*— Ἄκουσον, ὦ παῖ τῆς ἐμῆς συμβουλῆς*
*Δὸς πάντα καὶ φρόνησιν ἐκπρίω μόνην,*
*Ἔωλα πάντα τῆς φρονήσεως ἄτερ. —*
*Καλῶς βάδιζε, καὶ κακὸν πᾶν ἐκτρέπου —*
*Ἔργων πονηρῶν μητ' ἄκουε, μηθ' ὅρα.*
*Θήρευε τὰ κράτιστα τῶν νοημάτων. —*
*Λόγους τρόπῳ κόσμησον, μὴ λόγῳ τρόπους. —*
*Μὴ τῶν ῥεόντων, τῶν μενόντων δ' ἀνέχου. —*
*Ψυχὴν ἴθυνε πρὸς ὁδοὺς τὰς εὐθείας. —*
*Ψυχὴν κάλλυνε δι' ἀγαθοεργίας.*
*— Συμβουλὴν παρὰ παντὸς φρονίμου ζήτησον. —*
*Συμβούλευε οὐ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα. —*
*(Γρηγ. Θεολ. τετραστ.)*

*— Νόσημα τοῦτο κοινὸν κατεκράτησε πάντων, ἐφίεσθαι μὲν πάντας παραινεῖν ἑτέρους τὰ δέοντα, αὐτοὺς δὲ μήτε παρ' ἄλλων ἐθέλειν ἀκούειν, μήθ' οὗ νουθετοῦσι ξυνωδὰ φαίνεσθαι πράττοντας, ἵνα δὴ καὶ πιθανώτερα δόξειεν λέγειν. (Νεοφ. Δούκα.)*

*Καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοιαύτην ἔχοντας τὴν δύναμιν ὠφελῆσαι τοὺς ἀκούοντας ἀποδοκιμάζειν. (Ἰσοκράτ.)

Ἀσυμβούλευτος ἄνθρωπος πλοῖόν ἐστιν ἀκυβέρνητον (Βασίλειος)

Τὸ μηδενὸς οἴεσθαι χρῄζειν ἀλλ' ἑαυτῷ προσέχειν ὡς μόνῳ κράτιστα συμβουλεύσασθαι δυναμένῳ ἀνοήτων ἴδιον.

## Περὶ ἀρετῆς.

(Ἴδε Τόμ. Α'. Κεφ. ΡΙΔ'.)

— Ἀρετὴ καὶ σωτηρία ἡμετέρα οὐχ ὑπείκουσι τῇ ἀνάγκῃ (αὐτόθι. 319—327.)

— Ἀρετὴ καρπὸς αἰώνιος. (Νε'. 419.)

— Ἀρετὴ ἐνδόξων φιλοσόφων καὶ ἐν δουλείᾳ ἔτι. Τοιοῦτόν ἐστιν ἡ ἀρετή. ΜΖ'. 339.)

— Ἡ ἀρετὴ ἐν ταῖς θλίψεσι λαμπροτέρα. Καθ' ἑκάστην παρὰ πάντων ἀνακηρύττεται ἡ ἀρετή, καὶ διηνεκῶς στηλιτεύεται ἡ λύμη τῆς κακίας. (ΝΓ'. 176.)

— Οὐδὲν ἴσον οὐδὲν ἰσχυρότερον ἀρετῆς . . . . . Αὕτη γάρ, αὕτη ἡ μεγίστη περιουσία, οὗτος ὁ ἄφατος πλοῦτος, ὁ ἀδαπάνητος, ὁ καθ' ἑκάστην ἡμέραν τὴν περιουσίαν πλείονα ἐργαζόμενος. (ΝΔ'. 570.)

— Τῆς μὲν ἑνὸς ἀρετῆς πολλοὶ συναπολαμβάνουσι καὶ τῶν πονηρῶν· τῇ δὲ τῶν πολλῶν κακίᾳ, κἂν εἷς ὁ κατορθῶν ᾖ μεταξὺ δήμου πολλοῦ, οὐ συγκαταφέρεται . . . . (Ν'. 662.)

— Ἀρετὴ γονέων ἀπογόνοις ὠφέλιμος. (ΜΘ'. 323)

— Ἡ τῆς ἀρετῆς φύσις, οὐ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον ἀλλὰ καὶ ἐνταῦθα ἤδη δίδωσι τὰς ἀμοιβάς. (αὐτόθ. 42.)

— Χρῆμα δέ, οἶμαι καὶ πολυσχιδὲς καὶ πολύμορφον ἡ ἀρετή. (Κυρίλ Ἀλεξ. ΞΗ'. 137.)

— Ἀνάντης ἡ ἀρετή, καὶ τὸ εἰς αὐτὴν ἰέναι τραχύ, καὶ ἱδρῶν ἀνάγκη τὸν κατορθοῦν ἠρημένον. (αὐτόθι 377.)

— Εὖ γὰρ δὴ ἀποφηνάμενος, τί θεοῖς ὅμοιον ἔχομεν; εὐεργεσίαν εἶπας, καὶ ἀλήθειαν « (Λογγίν. περὶ ὕψους.)

— «Ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης ὑπὸ Θεῶν τε καὶ ἀνθρώπων. (Πλάτ. Γοργ. 475.)

— Κακίας ψυχῆς ἀπαλλάττεται δίκην διδούς· αἴσχιστον δὲ ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία (ν)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ἡ ἀδικία καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν. ( » 477)*

*Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη· δεύτερος δήπου ὁ ἀπαλλαττόμενος· οὗτος δ' ἐστὶν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς. ( » 478)*

*Κατηγορεῖν δεῖν μάλιστα μὲν ἑαυτοῦ, ἔπειτα δὲ καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων, ὅς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ' εἰς τὸ φανερὸν ἄγει τὸ ἀδίκημα, ἵνα δῷ δίκην καὶ ὑγιὴς γένηται. (Πλάτ. Γοργίας 480.)*

*— Ἀρετὴ μόνη κλέος ἀΐδ.ον καὶ ἀοίδιμον, κτῆμα διαιωνίζον. (Κοσμ. Ἱεροσολ. λή'. 415.)*

*— Ἡ ἀρετὴ μόνη κτῆμα τῇ ψυχῇ πάντων περιφανέστερον· καὶ ταύτην ἐχρῆν τοὺς ἀνθρώπους σπουδαιότερον μεταδιώκειν. (Αὐτόθι 436.)*

*— Πᾶσα μὲν ἀρετὴ περισπούδαστος ὑπάρχει τοῖς τὸ λογικὸν μὴ ἀμαυρωθεῖσιν ὑπὸ τῆς ὕλης, παρά τε τοῖς ἀντίφροσιν ἀληθῶς. Πᾶσα δὲ κακία βδελυκτή, οἵα δὲ ἀντίπαλος ἱσταμένη τοῦ κρείττονος κατὰ τῆς ἡμετέρας ἀγωνιζομένη φύσεως. (Καισάρ. αὐτοθ. 1137—1140.)*

*— Ἀρετὴ τιμωμένη πολλοὺς ἐγείρει πρὸς ζῆλον. (Ἀστέρ. Ἀμασ. μ'. 301.)*

*— Ῥᾳδία καὶ εὐκατόρθωτος ἡ ἀρετή, καὶ ὅτι παρὰ τὴν ἡμετέραν ὀλιγωρίαν μόνον ἐπίπονος εἶναι δοκεῖ. (Χρυσοστ. ὁμιλ. μθ'. 263—274.)*

*— Ἀρετῆς οὐδὲν ἴσον· ὠφέλιμος καὶ ἐν τῇ παρούσῃ καὶ ἐν τῇ μελλούσῃ ζωῇ. (Χρυσ. ὁμιλ. νγ'. 75.)*

*— Ἀδούλωτον ἡ ἀρετή, καὶ οὐδὲν αὐτῆς περιγενέσθαι δύναιτ' ἄν, οὐ δουλεία, οὐκ αἰχμαλωσία, οὐ πενία, οὐ νόσος, οὐκ αὐτό, ὃ πάντων τυραννικώτατον, ὁ θάνατος. (Χρυσ. νς'. 152.)*

*— Ἡ μὲν γὰρ κακία, κἂν τὴν οἰκουμένην ἔχῃ μεθ' ἑαυτῆς, πάντων ἐστὶν ἀσθενεστέρα· ἡ δ' ἀρετή, κἂν μεμονωμένη τύχῃ, πάντων ἐστὶ δυνατωτέρα· τὸν γὰρ Θεὸν ἔχει μεθ' ἑαυτῆς ἱστάμενον. (Χρυσ. νε'. 82.)*

*— Οὐδὲν οὕτως ἐπιδιδόναι ποιεῖ τὴν ἀρετήν, ὡς τὸ συνεχῶς ὁμιλεῖν Θεῷ, καὶ διηνεκῶς εὐχαριστεῖν καὶ ψάλλειν τῷ Θεῷ· ψάλλει δὲ τῷ Θεῷ ἐκπληττόμενος αὐτοῦ· τὴν δικαιοκρισίαν καὶ τὴν μακροθυμίαν. (αὐτοθ. 104.)*

*— Οὐδὲν οὕτως ἐλεύθερον ὡς ἀρετή. (αὐτοθ. 237.)*

*— Εὔκολος ἡ ἀρετὴ καὶ λεία, καὶ ἄδολος, καὶ ἄπλαστος, καὶ μὴ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὕπουλος· ὡσπεροῦν ἡ πονηρία διεστραμμένον, ποικίλον ἀδιεξόδευτον. αὐτοθ. 359.)

Ἡ ἀρετὴ ἐκ τῶν μικρῶν αὔξεται. Ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. (Χρυστ. Ξ. 72.)

— Ἡ ἀρετὴ ἀθάνατον ἔχει τὴν μνήμην. (Χρυσ. ΞΑ'. 573.)

— Κατὰ φύσιν ἡ ἀρετή, παρὰ φύσιν δὲ ἡ κακία, καθάπερ ἡ νόσος καὶ ἡ ὑγίεια (Χρυσ. ΞΒ' 21.)

— Πάσας δεῖ κατορθῶσαι τὰς ἀρετάς. Οὐ γὰρ ἀρκεῖ μίαν μόνον ἀρετὴν παραστῆσαι τῷ βήματι τοῦ Χριστοῦ ἀλλὰ πολλὰς δεῖ καὶ ποικίλας καὶ παντοδαπάς, καὶ πάσας συλλήβδην τὰς ἀρετὰς (αὐτοθ. 34.)

— Οὐκ ἔστιν ἡ ἀρετὴ ἐπίπονος, οὐκ ἔστι δυσκατόρθωτος. Οὐ τὸ φεύγειν πᾶν τὸ χρήσιμον καὶ ἀναγκαῖον ἀρετή, ἀλλὰ φεύγειν τὴν πλεονεξίαν. Χρῶ τοῖς πᾶσιν, οὐ κωλύω· πανταχοῦ τὴν πλεονεξίαν ἐκβαλλε. Ἐκείνη γάρ ἐστιν ἡ τὴν ἁμαρτίαν ποιοῦσα, καὶ τὸ αὐτὸ πρᾶγμα πλεονάζον ἁμαρτία γέγονε. (αὐτόθ. 97.)

— Οὐδὲν τῆς ἀρετῆς ἥδιον, οὐδὲν κοσμιότητος γλυκύτερον, οὐδὲν σεμνότητος ποθεινότερον. (αὐτοθ. 389.)

— Ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς εὔχεσθαι, ἀλλ' οὐ μέχρι ῥημάτων· θέλω σε σπουδάζειν ἀεί, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν καὶ εἰς τὸ μέλλον (αὐτόθ. ΞΓ. 86.)

Ἐν τῇ κακίᾳ πρώτη ἡ ἡδονή, εἶτα ἡ ἀθυμία καὶ ἡ μεταμέλεια· ἐν δὲ τῇ ἀρετῇ πρώτη δοκοῦσα ἡ ἀθυμία, καὶ τότε ἡ ἡδονὴ καὶ ἡ ἀνέκφραστος εὐφροσύνη. (ΞΓ'. 207—208.)

— Ἡ ἀρετὴ τῷ τὰ θεῖα μελετῶντι οὐ φορτικόν. (αὐτόθ. 256—264.)

— Ἀρετῆς ζυγὸς κοῦφος, ὁ δὲ τῆς ἁμαρτίας φορτικώτατος. (αὐτ. 426—428. — νη'. 548.)

— Ἡ ἀρετὴ μόνη ἱμάτιον διάχρυσον ἔνδοθεν καὶ ἔξωθεν. (NE. 201.)

— Ὄνομα ἀθάνατον τίκτει ἡ ἀρετή. Εἰ γὰρ μνήμης ἐρᾷς διηνεκοῦς, μὴ ὄνομα περιθῇς οἰκοδομήμασιν, ἄνθρωπε, ἀλλὰ ἀνάστησον τρόπαια κατορθωμάτων, ἃ καὶ ἐν τῷ παρόντι σοι βίῳ τὸ ὄνομα διατηρεῖ, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν ἀθάνατον κατασκευάζει σοι ἀνάπαυσιν. Εἰ μνήμης ἐρᾷς, καὶ ἐπιθυμεῖς, ἐγώ σε διδάσκω τὴν ἀληθῆ καὶ σαφεστάτην ὁδόν· ἀρετῆς ἐπιμελοῦ. Κοὐδὲν γὰρ οὕτως ἀθάνατον ὄνομα ποιεῖ, ὡς ἀρετῆς φύσις. (αὐτόθ. 231.)

— Δουλοπρεπὲς ἡ κακία, ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή. (Πλ. α'. Ἀλκιβ. καὶ Πλατ. πολιτεία. θ'. 579δ, νόμου 863ε.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Σπάνιοι οἱ τοιοῦτοι (οἱ πρόσω ἀρετῆς ἀνήκοντες. (Ἡροδ. 7,237.)*

— *Οἰκτείροντες τῆς ἀνθρωπίνης φύσεως τῆς ἀσθένειαν, εἰ μηδ' ἐν ἤθεσιν οὕτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον. (Πλουτ. Κλεομ. 16.)*

— *Ἀρετὴ ἂν εἴη οὔτε φύσει οὔτε διδακτόν, ἀλλὰ θεία μοίρᾳ. (Πλάτ. Μένων.)*

— *Ζεῦ, μεγάλαι ἀρεταὶ θνητοῖς ἔπονται ἐκ σέθεν.*

— *Ἀρετὴ μὲν ἄρα ὑγιειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς. (Πλάτ. πολιτεία δ'. 444 ε.)*

— *(Ἀρετὴ) διάθεσις ψυχῆς σύμφωνος αὐτῇ περὶ ὅλον τὸν βίον. (Στοβ. ἐκλογ. ἠθικ. 766.)*

— *Τὴν ἀρετήν, ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτόν, ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ, φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. (Πλουτ. Δημοσ. 1.)*

— *Ἡ μὲν οὖν Λακεδαίμων .... ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δοναμένην ὑπὸ τῆς τύχης. (Πλουτ. Κλεομ. 39.)*

— *Εἰ ὀρθῶς ποιεῖς, τί φοβῇ τοὺς ἐπιπλήξαντας οὐκ ὀρθῶς ; (Ἐπικτ. Ἐγχ. 35.)*

— *Ὅτι αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. (Κικ. παραδ. β'.)*

— *Θεόδοτος ἡ ἀρετή. (Πλάτ. Μένων.)*

— *Ἀρετά, μολύμοχθε γένει βροτείῳ,*
*θήραμα κάλλιστον βίῳ,*
*σῆς πέρι παρθένε μορφᾶς*
*καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος,*
*καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας*
*ποῖον ἐπὶ φρένα βάλλεις*
*ἅρπυν ἐς ἀθάνατον χρυσοῦ τε κρείσσω.*
*καὶ γανέων μαλακαυγήτοιό θ' ὕπνου·*
*σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι*
*πόλλ' ἀνέτλαν σὰν ἐπ' ἔργοις*
*ἀναγορεύοντες δύναμιν·*
*σοῖς δὲ πόθοις Ἀχιλλεὺς Αἴας τ' Αἴδαο δόμους ἦλθον·*
*σῆς δ' ἕνεκεν φιλίου μορφᾶς Ἀταρνέος ἔντροφος ἀελίου χείρωσεν αὐγᾶς·*
*τοιγὰρ ἀοίδιμος ἔργοι, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι*
*Μνημοσύνας θύγατρες, Διὸς ξενίου σέβας ἀπιοῦσαι φιλίας τε γέρας βεβαίου.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΜΣΤ'.

### Περὶ παίδων ἀγωγῆς.

— Ἀγαθὸν ἀνδρί, ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ. (Ἱερεμίου.)

— Παίδευε υἱόν σου· οὕτω γὰρ ἔσται σοι εὔελπις.—Καὶ ἵππος ἀδάμαστος ἀποβαίνει σκληρός, καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προώλης. (Σειράχ.)

— Ἀλλ' ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύιτε· μάρτυρες δὲ τῆς θεραπείας, ὧν τὰ πάθη τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι· οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλινοῦ· οἱ μὲν γάρ εἰσι νωθεῖς καὶ δυσκίνητοι πρὸς τὸ καλόν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον· οἱ δὲ θερμότεροι τοῦ μετρίου τῷ πνεύματι, καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι· οὓς βελτίους ἂν ποιήσειεν, ἄγχων καὶ ἀνακόπτων ὁ λόγος· τοὺς μὲν ἐπαινος ὤνησε, τοὺς δὲ ψόγος, ἀμφότερα μετὰ τοῦ καιροῦ· ἢ τοὐναντίον, ἔβλαψεν, ἔξω τοῦ καιροῦ καὶ τοῦ λόγου· τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δ' ἐπιτίμησις· καὶ αὕτη, τοὺς μὲν ἐν τῷ κοινῷ διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. (Γρηγ τοῦ Θεολόγου.)

— Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν· καὶ γῆν ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔταμε καὶ ἡμέρωσε· ψυχὴν δέ, ἣν οὔπω λόγος ἐχάραξε μοχθηρός, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας ἐνεσημάνθη γράμματα. (Τοῦ αὐτοῦ.)

— Ὥσπερ οὖν εἴτις θηρίον ἐκ πολλῶν θηρίων συγκείμενον, πολυειδὲς καὶ πολύμορφον, μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ ἀγριωτέρων, ἄγειν ἐπιχειροίη καὶ τιθασσεύειν, πάντως ἂν ἦν ἔργον αὐτῷ, καὶ οὐ μικρὸν τὸ ἀγώνισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστατεῖν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τροφαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν, οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν θηρίων χαίροντας, ἄλλων δὲ ἄλλοις ἡδομένων ἢ ἀχθομένων, ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια. Καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστάτην ; τί δ' ἄλλογε, ἢ πολυειδῆ τι εἶναι, ποικίλον τὴν ἐπιστήμην, καὶ κατάλληλον ἑκάστῳ προσάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐτῷ τὸ τὴν θεραπείαν, καὶ διασώζοιτο. (Τοῦ αὐτοῦ.)

— Οἱ τῆς τῶν παιδων κοσμιότητός τε καὶ σωφροσύνης ἀμελοῦντες πατέρες, παιδοκτόνοι τυγχάνουσι, καὶ χαλεπώτερον ἢ ἐκεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοι, ὅσῳ καὶ πρὸς ψυχὴν ἡ ἀπώλεια καὶ ὁ θάνατος. (*Χρυσοστόμου*.)

— Ὥσπερ ἐπὶ τῆς γεωργουμένης γῆς οἷά τις σπείρει, τοιαῦτα καὶ θερίσει· κἂν μὲν ἐμφυτεύσῃ ταύτῃ δένδρα εὔκαρπα, ἢ σπείρῃ σῖτον ἢ κριθήν, ἢ ἄλλοτι εὔχρηστον, ταῦτα ἐκείνη καὶ τρέφει καὶ αὔξει καὶ τελεσφορεῖ .... οὕτω καὶ ἐπὶ τῆς ψυχῆς· ὁποίας τις ἐμπνεύσῃ ταύτῃ διαθέσεις, τούτων καὶ ἀπολαύει. (*Γρηγ. τοῦ Παλαμᾶ*.)

— Καὶ τοὺς τραχυτάτους πώλους ἀρίστους ἵππους γίνεσθαι, ὅταν, οἷς προσήκει, τύχωσι παιδείας καὶ καταρτίσεως. — Ὡς γὰρ ἰατρὸς εὐγνώμων βούλοιτ' ἂν ὕπνῳ καὶ τροφῇ μᾶλλον ἢ καστορίῳ καὶ σκαμμενίῳ τὸ νόσημα λῦσαι τοῦ κάμνοντος· οὕτω καὶ φίλος ἐπιεικής, καὶ πατὴρ χρηστὸς καὶ διδάσκαλος, ἐπαίνῳ μᾶλλον ἢ ψόγῳ χαίρει πρός τε ἐπανόρθωσιν ἤθους χρώμενος. (*Πλουτάρχου*.)

— Τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμάς, καὶ πρὸς πόνον ὑποψίας οὐ θηραίας οὐδ' ἐπὶ λόγων ἐπεισάκτοις, ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγάς, ἐὰν ἐᾷ τις ἀφέτας, ἢ πεφύκασι, χωρεῖν, καὶ μὴ λόγοις χρηστοῖς ἢ παρατρέπων καταρτύῃ τὴν φύσιν, οὐκ ἔστιν ὃ τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανείη. — Ὥσπερ δ' ἐπὶ γεωργίας, πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα· τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. (*Τοῦ αὐτοῦ*.)

— Εἰ δέ τις οἴεται, τοὺς οὐκ εὖ πεφυκότας, μαθήσεως καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετήν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν, ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντὸς διαμαρτάνων. Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή .... Τίνες δ' ἵπποι καλῶς πωλοδαμηθέντες, οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δ' ἀδάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν; Καὶ τί δεῖ' ἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν, πολλὰ καὶ τιθασσευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; (*Τοῦ αὐτοῦ*.)

— Οὐκ οἶδα ὑπὲρ ὅτου ἄν τις νοῦν ἔχων σπουδάζοι, ἢ ὑπὲρ υἱέως αὐτοῦ, ὅπως ἂν βέλτιστος ἔσται. (*Πλάτωνος*.)

— Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα. (*Φωκυλίδ*.)

— Σωκράτης ἡγεῖτο τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ εὐεργετικωτάτους, ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίνεσθαι ... ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γιγνομένους κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι. — Ὁ αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τός, θεῶν ὑπηρεσίαν ἡγήσατο τὴν ἐπιμέλειαν καὶ σωτηρίαν τῶν νέων. (Σωκράτους.)

— Ἡ ἀρετὴ διδάσκεται· ἡ ἀγαθότης ὑπάρχει ἔργον τῆς τέχνης, καὶ ἀπατᾶται ὅστις νομίζει ὅτι ἐκ φύσεως γινόμεθα κακοί. (Σενέκα.)

— Ὁ ἄνθρωπος ἅμα γενιηθείς, καὶ ἀνατραφείς, ὀφείλει παιδεύεσθαι συζῆν τιμιότητι· εἶθ' οὕτω κατὰ βραχὺ προσλαβὼν καὶ τὸ ἀπὸ τῆς θρησκείας πολίτευμα, συνιστᾶν ἑαυτῷ τὴν ἀγάπην, ἐν ᾗ πᾶσα συγκλείεται ἀρετή.

— Γῆ μὲν ὅσῳ ἂν ᾖ ἀγαθή, τοσούτῳ ἀμελουμένη ἐξαγριοῦται, ἀκάνθας καὶ παλιούρους ἀδιεξιτήτους ἐξανθουμένη· γεωργουμένη δέ, εἰ μέν τις καταβάλῃ αὐτῇ καὶ σπέρμα σπουδαῖον, καὶ φραγμὸν περιβάλῃ, οὐκ ἀχάριστος πάντως ἔσται τῷ κεκτημένῳ· τούτου δὲ μὴ προσγιγνομένου, μάταιος αὐτῷ ὁ πόνος γένηται· ἀνήσει γὰρ αὖθις αὐτῷ τ' ἄγρια πολλῶν τῶν πρώτων χείρω καὶ πλείω, ὅσῳ καὶ κινουμένη προθυμοτέρα καὶ γονιμωτέρα ἑαυτῆς καθίσταται εἰς τὴν ἔκφυσιν. (Νεοφύτου Δούκα.)

— Οὔτε σπινθὴρ πυρός, μὴ ἐκτριβέντος πυρίτου πρὸς χάλυβα ἀναφαίνεται, οὔτε φιλοτιμία παιδὸς πρὸς τὰ καλὰ ἐξ ἀδρανείας προκύψει· δεῖ γὰρ δὴ παντοίως τὸ ἔμφυτον τοῖς παισὶ ζώπυρον ἐξ αὐτῶν τῶν παθῶν, ἃ ἡ φύσις σωστικὰ ἐνεφύτευσε τοῖς ἀνθρώποις προσπορίζειν ἠρέμα πρὸς τὰ μαθήματα· οὕτω γὰρ ἂν μάλιστα τό τε τῆς φύσεως ἀδρανὲς εἰς δραστήριον καὶ τὸ σκολιὸν εἰς εὐθὺ μεταβάλοι· καὶ ὥσπερ πνεύματος ῥοπή, τὴν ἀπὸ τῶν ἀνθράκων διασκεδάζει τέφραν ἰσχὺν αὐτοῖς πρὸς αὔξησιν ἐντίθησι τῆς φλογός· οὕτω ψόγος καὶ ἔπαινος τὴν πρὸς τὰ καλὰ τῶν παίδων φιλοτιμίαν ἐξάπτουσι. (Τοῦ αὐτοῦ.)

— Ὅπου ἐλλείπει ἡ καλὴ ἀνατροφή, ἐλλείπει καὶ ἡ ἀρετή. Καὶ ὅπου ἐλλείπει ἡ ἀρετή, ἐκεῖ ἀναγκαίως, ὑπάρχει πᾶσα ἀθλιότης καὶ δυστυχία. (Φ. Δ.)

— Ἡ ἀγωγὴ δὲν πρέπει νὰ ἔχῃ σκοπὸν τὴν ἀποκλειστικὴν διδασκαλίαν τῶν κοινωνικῶν τοῦ ἀνθρώπου καθηκόντων, ἀλλὰ μᾶλλον τὴν καλλιέργειαν τοῦ πνεύματος καὶ τῆς καρδίας. (Διαφόρων λογίων.)

— Ἡ φυσικὴ ἀγωγὴ εἶναι τὸ ἐλάχιστον μέρος τῶν ὅσα τὸ τέκνον περιμένει ἐκ τῆς μητρός. Τῆς φύσεως τῆς ψυχῆς οὔσης ἀνωτέρας τῆς τοῦ σώματος, ἡ ἠθικὴ ἀγωγὴ δέον νὰ θεωρῆται σπουδαιοτέρα τῆς φυσικῆς (. . . . .

— Ὁ ἁρμοδιώτερος τρόπος καθ' ὃν γίνεται δυνατὴ ἡ ἐπίτευξις τῆς τε πνευματικῆς καὶ θρησκευτικῆς μορφώσεως τοῦ ἀνθρώπου εἶναι ἐκεῖνος, ὅστις ἄρχεται ἀπὸ τῆς βρεφικῆς αὐτοῦ ἡλικίας. (. .

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μεγάλη ἀπαιτεῖται προσοχὴ εἰς τὴν ἀνατροφὴν τῶν μητέρων· διότι ἡ ἐλλιπὴς αὐτῶν ἀνατροφὴ θέλει ἔχει ὡς ἄφυκτα ἐπακόλουθα τὴν ἐπιλήψιμον τῶν τέκνων ἀνατροφήν, ἥτις θέλει καταστήσει αὐτὰ δυστυχῆ καὶ μάστιγας τῆς κοινωνίας. «Τί λείπεται, ἠρώτησέ ποτε ὁ Μέγας Ναπολέων διάσημόν τινα παιδαγωγόν, (τὴν* Campan) *ὅπως ἐκπαιδεύωνται ἐντελῶς τὰ παιδία;» «Μητέρες,» ἀπεκρίθη εὐθὺς ἡ περίφρων ἐκείνη γυνή. «Κατάστησον λοιπόν, ὑπέλαβεν ὁ μεγαλοφυὴς Μονάρχης ἱκανὰς εἰς τὸν ἐθνικὸν τοῦτον σκοπόν.»*

— *Διογένης ἔλεγε τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα ὅπῃ θέλουσι σχηματίζουσι καὶ ῥυθμίζουσιν, ὀπτηθέντα δὲ οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς νέους, μὴ διὰ πόνων παιδευθέντας, τελείους γενομένους, ἀμεταπλάστους γίγνεσθαι. (....*

— *Ὁ Σωκράτης ἐδίδασκε τοὺς μαθητάς του ὅτι οἱ νέοι πρέπει νὰ ἔχουν τρία πλεονεκτήματα, ἁπλότητα καρδίας, σιωπὴν στόματος καὶ αἰδῶ ὄψεως.*

— *Ἀρχὰ πολιτείας ἁπάσης νέων τροφά.*

— *Χρὴ συνηθίζειν ἐκ παίδων (ἔλεγεν ὁ νομοθέτης Χαρώνδας) κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵνα ἐμφυσιῶται ἑ ἀστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. (Παρὰ Στοβαίῳ Σελ. 289.)*

— *Εἶπε δὲ καὶ Εὐριπίδης, ἐγὼ δ' ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς Χείρωνος, ἐμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν (Φοίνισσαι 301. ἰδε καὶ ιγ'. κεφ. τῆς Α'. πρὸς Κορινθίους ἐπιστολ.)*

— *Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ἐν τῇ καρδίᾳ σου καὶ ἐν τῇ ψυχῇ σου καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου καὶ λαλήσεις αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ καὶ κοιταζόμενος καὶ διανιστάμενος· καὶ ἀφάψεις αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἔσται ἀσάλευτον πρὸ τῶν ὀφθαλμῶν σου· καὶ γράψατε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν. (Μωϋσῆς.)*

— *Εἰ μὲν γὰρ ἐκ φύσεως ἡ κακία τοῖς ἀνθρώποις προσῆν, εἰκότως αὐτὸς πρὸς ἀπολογίαν κατέφυγεν· ἐπειδὴ δ' ἐκ προαιρέσεως καὶ φαῦλοι γινόμεθα καὶ σπουδαῖοι, τίνα ἂν λόγον ἔχει εὐπρόσωπον εἰπεῖν ὁ τὸν μάλιστα πάντων ποθούμενον διαταραχῆναι ἀμελήσας, καὶ γενέσθαι πονηρὸν ἀφεὶς (Χρυσοστ. περὶ παίδων ἀγωγῆς.)*

— *Κλαύμασι καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται, καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα. (Ξενοφ. Κύρ. Παιδ 2,2,14.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὦ ἄνθρωποι ποῖ φέρεσθε, οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπουδήν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε. (*Πλουτ. Παίδ. ἀγωγ.* 7.)

— Εἰ δ' ἄρα τι καὶ τέκοι γενναῖον ὁ παῖς, ταῖς τῶν κακῶν λόγων ἐπομβρίαις, πρὶν ἢ βλαστῆσαι, ταχέως ἀποπνίγεται. (*Χρυσοστ. πρὸς πιστὸν πατέρ. λόγ. γ'. ς'.*)

— Εἰ καί τι καλὸν ἡ φύσις αὐτομάτως ἐνέφερει, τοῦτο πολλῷ τῷ ἀλλοτρίῳ, καθάπερ ὕλη καρπὸς ἀγρία καὶ ἀκαθάρτῳ, μιγνύμενος ἐξαμαυροῦται. (*Πλουτάρχ. περὶ τοῦ ὅτι διδακτὸν ἡ ἀρετή.*

— Ἦν ἐκ παιδὸς ἔλαβον ἔννοιαν περὶ Θεοῦ παρὰ τῆς μακαρίας μητρός μου, ταύτην αὐξηθεῖσαν ἔσχον ἐν ἐμαυτῷ· οὐ γὰρ ἄλλα ἐξ ἄλλων μετέβαλον ἐν τῇ τοῦ λόγου συμπληρώσει ἀλλὰ τὰς παραδοθείσας μοι παρ' αὐτῆς ἀρχὰς ἐτελείωσα. (*Βασιλείου τοῦ Μεγάλου Ἐπιστ. σκγ'.*)

— Ὁ μὲν τῶν παίδων τῆς μητρικῆς φωνῆς ὁμοιότητα σώζει· ἄλλος τὸ πολὺ τοῦ χαρακτῆρος ἐφέλκεται· ἕτερος τὴν τοῦ ἤθους κατάστασιν ἐμορφώθη πρὸς τὴν τεκοῦσαν. (*Ἀστερ. ε'. ὁμιλ. ς' τὸν Ματθαῖον.*)

— Σωκρ. Ἔχεις οὖν τινὰ εἰπεῖν τέχνην, ἥτις ἐστὶν ἐπὶ ταῖς φύσεσι τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἀποδεδειγμένη, ὥστε δύνασθαι αὐτὰς κρίνειν; ΦΙ. Οὐκ ἔχω — Σωκρ. Καὶ μὲν δὴ πλείστου ἂν ἦν ἀξίας καὶ οἱ ἔχοντες αὐτήν. Οὗτοι γὰρ ἂν ἡμῖν ἀπέφαινον τῶν νέων τοὺς μέλλοντας ἀγαθοὺς ἔσεσθαι, ἔτι παῖδας ὄντας οὓς ἂν ἡμεῖς παραλαβόντες ἐφυλάττομεν ἐν ἀκροπόλει δημοσίᾳ, ὥσπερ τὸ ἀργύριον, καὶ μᾶλλόν τι ἵνα μή τι φαῦλον ἡμῖν πάθοιεν μήτε ἐν μάχῃ, μήτε ἐν ἄλλῳ μηδενὶ κινδύνῳ· ἀλλ' ἐπέκειντο τῇ πόλει σωτῆρες καὶ εὐεργέται, ἐπειδή γε εἰς τὴν ἡλικίαν ἀφίκοντο. (*Αἰσχ. ὁ Σωκρ. ἐν διαλόγ. περὶ ἀρετ. ιβ'.*)

— Μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς ᾅδου ἐλθὼν ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. (*Πλάτ. Κρίτων.*)

— Παιδεύουσιν οἱ Πέρσαι τοὺς παῖδας ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρις εἰκοσαέτεος τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. (*Ἡροδ. 1, 139.*)

— Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ γίνεται πονηρίας ἡ δίκη. (*Πλάτ. Γοργ. 478.*)

— Νόμος ἦν Ἀθήνησι παλαιὸς καὶ κάλλιστα ἔχων· ἐπειδὰν φθάσαιεν εἰς ἥβην οἱ νέοι πρὸ τέχνας ἄγεσθαι· ἄγεσθαι δὲ τὸν τρόπον τοῦτον. Προτίθεσθαι δημοσίᾳ ἑκάστης τέχνης ὄργανα, καὶ προσάγεσθαι τούτοις τοῖς νέοις· ὅτῳ δὲ τύχῃ χαίρων ἕκαστος καὶ

Δημοσία Κεντρική Βιβλιοθήκη Βόλου

προστρέχων, τούτου καὶ τὴν τέχνην διδάσκεται· ὡς τοῦ μὲν κατὰ φύσιν ἐπιτυγχάνοντος, ὡς τὰ πολλά, τοῦ δὲ παρὰ φύσιν διαμαρτάνοντος. (Γρηγ. Θεολ. ἐπιστ. ροη' Εὐδοξίῳ Ρήτορι.)

— Λέγω οὖν καί φημι τὸν ὁτιοῦν ἀγαθὸν ἄνδρα μέλλοντα ἔσεσθαι, τοῦτ' αὐτὸ ἐκ παίδων εὐθὺς μελετᾶν δεῖν παίζοντά τε καὶ σπουδάζοντα ἐν τοῖς τοῦ πράγματος ἑκάστου προσήκουσιν· οἷον τὸν μέλλοντα ἀγαθὸν ἔσεσθαι γεωργόν, ἢ τινα οἰκοδόμον, τὸν μὲν οἰκοδομοῦντά τι τῶν παιδείων οἰκοδομημάτων παίζειν χρή· τὸν δ' αὖ γεωργοῦντα (.....

— Οὗ (Ἀθανασίου) καὶ τὸ τῆς ψυχῆς εὐγενές τε καὶ ἐλευθέριον, καὶ τὸ ὑγιὲς τοῦ ἤθους στάσιμον, ἥ τε πρὸς τὸν Θεὸν νεῦσις καὶ ἡ πρὸς τὰ πνευματικὰ ῥοπὴ ἐκ παιδὸς εὐθὺς διεφαίνετο. Ἅρτι γὰρ τὴν νηπίων ἀμείβων ἡλικίαν, ἔρχεται καὶ οὗτός ποτε μετὰ τῶν ἡλικιωτῶν ἐπί τινα τῆς θαλάσσης ἀκτήν. Καὶ συμπαίζειν μὲν αὐτοῖς παρὰ ταῖς ὄχθαις ἐδόκει, σπουδὴ δὲ ἦν ἀληθῶς ἡ παιδιά, καὶ τῶν μελλόντων οὐ τύπος μόνον, ἀλλὰ καὶ πρόφασις Ἀθανασίῳ, καὶ ἀπαρχὴ τῆς πρὸς Θεὸν οἰκειώσεως. Ὑποκρινόμενοι γὰρ ἐν τῇ παιδιᾷ τὰ τῶν ἱερέων οἱ παῖδες, Ἀθανάσιον μὲν ἐπίσκοπον δῆθεν χειροτονοῦσιν· αὐτοί, εἰς πρεσβυτέρους καὶ διακόνους ἀφορισθέντες, προσῆγον αὐτῷ παῖδας ἑτέρους ἀσφραγίστους ἔτι τῷ θείῳ βαπτίσματι, ὥστε ὑπ' αὐτοῦ βαπτισθῆναι. Κἀκεῖνος πάντα τελῶν ἐπ' αὐτοῖς τὰ νενομισμένα, καὶ θαλαττίῳ τοὺς παῖδας βαπτίζων ὕδατι, ἐῴκει βούλεσθαί τινος πρὸς αὐτοὺς καὶ παραινέσεως ἅψασθαι κτλ. (.....

— Ἀρχὴ παντὸς ἔργου μέγιστόν ἐστι, ἄλλως τε καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν· μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος, ὃν ἄν τις βούληται ἐνσημαίνεσθαι ἑκάστῳ. Ἆρ' οὖν ῥᾳδίως οὕτω παρήσομεν τοὺς ἐπιτυχόντας ὑπὸ τῶν ἐπιτυχόντων μύθους πλασθέντας ἀκούειν τοὺς παῖδας, καὶ λαμβάνειν ἐν ταῖς ψυχαῖς ὡς ἐπὶ πολὺ ἐναντίας δόξας ἐκείνας, ἃς, ἐπειδὰν τελεωθῶσιν, ἔχειν οἰήσόμεθα δεῖν αὐτούς; Οὐδ' ὑπωστιοῦν παρήσομεν. Πρῶτον δὴ ἡμῖν, ὡς ἔοικεν ἐπιστατέον τοῖς μυθοποιοῖς· καὶ ὃν μὲν ἂν καλὸν μῦθον ποιήσωσιν, ἐγκριτέον· ὃν δ' ἂν μή, ἀποκριτέον. Τοὺς δ' ἐγκριθέντας πείσομεν τὰς τροφούς τε καὶ μητέρας λέγειν τοῖς παισί, καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον, ἢ τὰ σώματα ταῖς χερσίν.... Ὁ γὰρ νέος οὐχ οἷόν τε κρίνειν, ὅ,τι τε ὑπόνοια, καὶ ὃ μή· ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις, δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίνεσθαι. (Πλάτων Πολιτείας β'.)

— Μειράκια μὲν ὄντα καὶ παῖδας, μειρακιώδη παιδείαν καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

φιλοσοφίαν δεῖ μεταχειρίζεσθαι, τῶν τε σωμάτων, ἐν ᾧ βλαστάνει τε καὶ ὑδροῦται, εὖ μάλα ἐπιμελεῖσθαι, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους· προϊούσης δὲ τῆς ἡλικίας ἐν ᾗ ἡ ψυχὴ τελειοῦσθαι ἄρχεται ἐπιτείνειν τὰ ἐκείνης γυμνάσια· ὅταν δὲ λήγῃ μὲν ἡ ῥώμη, πολιτικῶν δὲ καὶ στρατιῶν ἐκτὸς γίγνηται, τότε ἤδη ἀφέτους νέμεσθαι καὶ μηδὲν ἄλλο πράττειν, ὅ,τι μὴ πάρεργον, τοὺς μέλλοντας εὐδαιμόνως βιώσεσθαι, καὶ τελευτήσαντας τῷ βίῳ τῷ βεβιωμένῳ τὴν ἐκεῖ μοῖραν ἐπιστήσειν πρέπουσαν (*Πλάτ. Πολιτείας Ζ'. α'. 498*).

— Οὐδὲ μάθημα μετὰ δουλείας τὸν ἐλεύθερον χρὴ μανθάνειν· οἱ μὲν γὰρ τοῦ σώματος πόνοι, βίᾳ πονούμενοι, χεῖρον οὐδὲν τὸ σῶμα ἀπεργάζονται· ψυχῇ δὲ βίαιον οὐδὲν ἔμμονον μάθημα. Μὴ τοίνυν βίᾳ τοὺς παῖδας ἐν τοῖς μαθήμασιν, ἀλλὰ παίζοντας τρέφε, ἵνα καὶ μᾶλλον οἷός τ' ἦς καθορᾶν, ἐφ' ὃ ἕκαστος πέφυκε. (*Πλάτων. Πολιτείας Ζ'.*)

— Ἡ μὲν τρυφὴ δύσκολα καὶ ἀκρόχολα καὶ σφόδρα ἀπὸ σμικρῶν κινούμενα τὰ τῶν νέων ἤθη ἀπεργάζεται· τὸ δὲ τούτων ἐναντίον, ἥ γε σφοδρὰ καὶ ἀγρία δούλωσις, ταπεινοὺς καὶ ἀνελευθέρους καὶ μισανθρώπους ποιοῦσι, ἀνεπιτηδείους ξυνοίκους ἀποτελεῖ. (*Πλάτ. Νόμων Ζ'.*)

— Ὑμεῖς ποῖ φέρεσθε ἄνθρωποι; καὶ ἀγνοεῖτε οὐδὲν τῶν δεόντων πράττοντες, οἵτινες χρημάτων μὲν πέρι τὴν πᾶσαν σπουδὴν ἔχετε, ὅπως ὑμῖν ἔσται· τῶν δ' υἱέων, οἷς ταῦτα παραδώσετε, ὅπως ἐπιστήσονται χρῆσθαι δικαίως τούτοις, ἀμελεῖτε, καὶ οὔτε διδασκάλους αὐτοῖς εὑρίσκετε τῆς δικαιοσύνης, εἴ τι μαθητόν· ἢ μελετητόν τε καὶ ἀσκητόν, οἵτινες ἐξασκήσουσι καὶ ἐκμελετήσουσιν ἱκανῶς. Οὐδέ γ' ἔτι πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε, ἀλλ' ὁρῶντες γράμματα καὶ μουσικὴν καὶ γυμναστικὴν ὑμᾶς τε αὐτοὺς καὶ τοὺς παῖδας ὑμῶν ἱκανῶς μεμαθηκότας, ἃ δὴ παιδείαν ἀρετῆς εἶναι τελείαν ἡγεῖσθε, κἄπειτα οὐδὲν ἧττον κακοὺς γιγνομένους περὶ τὰ χρήματα, πῶς οὐ καταφρονεῖτε τῆς νῦν παιδεύσεως, οὐδὲ ζητεῖτε, οἵτινες ὑμᾶς παύσουσι ταύτης τῆς ἀμουσίας: καίτοι διά γε ταύτην τὴν πλημμέλειαν καὶ ῥᾳθυμίαν, ἀλλ' οὐ διὰ τὴν ἐν τῷ ποδὶ πρὸς τὴν λύραν ἀμετρίαν, καὶ ἀδελφὸς ἀδελφῷ, καὶ πόλεις πόλεσιν ἀμέτρως καὶ ἀναρμόστως προσφερόμενοι, στασιάζουσι, καὶ πολεμοῦντες τὰ ἔσχατα δρῶσι καὶ πάσχουσιν. (*Πλάτων.*)

— Δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥτε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά· πρὸς ἑκάτερον δὲ τούτων ἀποβλέποντες τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ διὰ τὴν δόξαν ἐπιθυμοῦσι. (*Λυκ. κατὰ Λεωκράτ.*)

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

— Τίῳ καὶ θυγατρὶ μὴ προσμειδιάσῃς, ἵνα μὴ δακρύσῃς (Σιμωνίδης.)

— Ἡ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον. (Ἔβενος.)

— Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλλονται. (Ὀδυσ. Β. 276.)

— Ἀναίτιοι ἔργα τείνουσιν ἢ παῖδες τούτων ἢ γένος ἐξοπίων. (Σολομ.)

— Θυγατέρες σοί εἰσιν, πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. (Σειράχ.)

— Τοὺς υἱοὺς σπούδαζε, πεπαιδευμένους μᾶλλον ἢ πλουσίους καταλιπεῖν· κρείττους γάρ εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ἢ ὁ τῶν ἀγαθῶν πλοῦτος. (Επικτήτου.)

— Ἐπαιδεύοντο οἱ Ἀθήνησι παῖδες . . . γράμματα διὰ τὸ κοσμεῖν τὸν λόγον. (Ὀλυμ. ἐν τῷ βίῳ Πλάτ.)

— Γράμματα ἕνεκα τῆς χρείας ἐμάνθανον . . . . Ἡ δὲ παιδεία ἦν αὐτοῖς πρὸς τὸ ἄρχεσθαι καλῶς καὶ καρτερεῖν πονοῦντα καὶ μαχόμενον νικᾶν ἢ ἀποθνήσκειν. (Πλουτ. ἐπιτηδ. Λακων. 4.)

— Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα, μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύοντος, καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι, τῶν παίδων ἔνδον ἐόντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς ἢ θυγατρὸς ἀνήρ. Ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ θανάτῳ ζημιούσθω. (Αἰσχ. κατὰ Τιμάρχ. 12.)

— Οἵ τ' αὖ καθαρισταὶ ἕτερα ταῦτα σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι. (Πλάτ. Πρωτ. 236.)

— Παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγινώσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν ἀναγκάζουσι, ἐν αἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισι, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι. (Πλάτ. Πρωτ. 325.)

— Ὁ πατὴρ ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν καὶ νῦν δυναίμην ἂν Ιλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν. (Ξενοφ. Συμπ. 3, 5. καὶ Πλουτάρ. Ἀλκιβ. 7.)

— Μόνης τῶν ἀρετῶν ταύτης (τῆς σωφροσύνης) καὶ παιδὶ καὶ παρθένῳ καὶ γυναικὶ καὶ τῇ τῶν πρεσβυτέρων τάξει προσήκει, καὶ μάλιστα τοὺς νεωτέρους. (Ἰαμβλ. β. π. 41.)

— Τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν ὑποθείμην ἂν ἔγωγε μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν. (Πλουταρ. Παιδ. ἀγωγ. κεφ. 2.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. (Κολοσ. 3, 21 παραβλ. ἐφεσ. 6, 1.)*

— *Ἐξ ἀρχῆς ἔδει ταῦτα (τὰ ἐπιτώματα) προορῶντας, ὅτε εὐήνιος ἦν καὶ κομιδῇ νέος, χαλινοῦν μετ' ἀκριβείας ἐθίζειν πρὸς τὰ δέοντα, ῥυθμίζειν, κολάζειν αὐτοῦ τὰ νοσήματα τῆς ψυχῆς. Ὅτε εὐκολωτέρα ἡ ἐργασία, τότε τὰς ἀκάνθας ἐκτέμνειν ἔδει, ὅτε ἀπαλωτέρας οὔσης τῆς ἡλικίας εὐκολώτερον ἀνεσπῶντο, καὶ οὐκ ἀμελούμενα τὰ πάθη καὶ αὐξανόμενα δυσκατέργαστα γέγονε. Διὰ τοῦτο, φησί, κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτοῦ, ὅτε εὐκολώτερα γένοιτ' ἂν ἡ παιδαγωγία. (Χρυσοστ. ἑρμην. εἰς α'. Τιμόθ. 5 τομ. 8, 378.)*

— *Διὰ δὴ τοῦτο παρακαλῶ πάντας ὑμᾶς, ἐκ πρώτης ἡλικίας ἐκδιδόναι καὶ υἱοὺς καὶ θυγατέρας ταῖς τοιαύταις λειτουργίαις, — οὐ χρυσίον κατορύττοντας, οὐδὲ ἀργύριον συλλέγοντας, ἀλλ' ἐπιείκειαν σωφροσύνην, σεμνότητα τὴν ἄλλην ἅπασαν ἀρετὴν ἐναποτιθεμένους αὐτῶν τῇ ψυχῇ. — Ἂν ταύτην οὖν καὶ ἑαυτοῖς καὶ τοῖς παιδίοις συλλέξωμεν τὴν εὐπορίαν καὶ κατὰ τὸν παρόντα βίον πολλῆς ἀπολαυσόμεθα τῆς λαμπρότητος, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν τῆς μακαρίας ἐκείνης ἀκουσόμεθα φωνῆς. (Χρυσ. τόμ. 4.600.)*

— *Χρὴ συνηθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵνα ἐμφυσιῶται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. (Χαιρώνδ. παρὰ Στοβαίῳ.)*

— *Πᾶς ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ. (Μένανδρος παρὰ Στοβ. 31, 5.)*

— *Ὃς οὔτ' ἐρυθριᾶν οἶδε οὔτε δεδιέναι, τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει. (Δίφιλ. παρὰ Στοβ. 32, 2.)*

— *Εὔλογον οὖν ἀπελαύνειν ἀπὸ τῶν ἀκουσμάτων καὶ τῶν ὁραμάτων τῶν ἀνελευθέρων καὶ τηλικούτους ὄντας. Ὅλως μὲν οὖν αἰσχρολογίαν ἐκ τῆς πόλεως, εἴπερ ἄλλο τι δεῖ τὸν νομοθέτην ἐξορίζειν ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς· μάλιστα μὲν οὖν ἐκ τῶν νέων, ὅπως, μήτε λέγωσι μήτε ἀκούωσι μηδὲν τοιοῦτον. (Ἀριστ. Πολ. δ'. ἢ Ζ κεφ. 17.)*

— *Καὶ μέντοι καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς υἱεῖς· λόγος γὰρ ἔργου σκιὴ κατὰ Δημόκριτον. (Πλουτ. περὶ παίδ. ἀγωγ. 14.)*

— *Δεῖ τοῖς νέοις πάντα ποιεῖν ξένα τὰ φαῦλα, μάλιστα δὲ αὐτῶν ὅσα ἔχει ἢ μοχθηρίαν ἢ δυσμένειαν. (Ἀριστ. Πολ. δ' ἢ ζ' 17.)*

— *Ὁ ἔμφρων νομοθέτης τοῖς πρεσβυτέροις ἂν μᾶλλον παρακελεύοιτο αἰσχύνεσθαι τοὺς νέους· καὶ πάντων μάλιστα εὐλαβεῖσθαι μήποτέ τις αὐτὸν ἴδῃ τῶν νέων ἢ καὶ ἐπακούσῃ δρῶντα ἢ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγοντά τι τῶν αἰσχρῶν· ὡς ὅπου ἀναισχυντοῦσι γέροντες, ἀνάγκη τοὺς νέους ἐνταῦθα εἶναι ἀναιδεστάτους. (*Πλάτ. Νόμ. 5. 729.*)

— Πασῶν κολάσεων βαρυτάτη ἐν ἀμαθίᾳ καὶ ἀμουσίᾳ καταβιῶναι. (*Αἰλ. Ποικλ. Ἱστορία 7, 15.*)

— Παιδεία τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. (*Πλουτ. περὶ παίδ. ἀγ. 8.*)

— Ἀρχὴ σοφίας ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία. (*Σοφ. Σολομ. 6, 18.*)

— Δεῖ δὲ αὐτοὺς (τοὺς παῖδας) μηδὲ ἐν τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς καὶ θρύπτονται. (*Πλουταρ. περὶ παίδ. ἀγωγῆς 12.*)

— Κἀκεῖνο, φημί, δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία πληγαῖς μηδ' αἰκισμοῖς. Δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον ἢ τοῖς ἐλευθέροις πρέπειν· ἀπουαρκῶσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. Ἔπαινοι καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ αἰσχρῶν ἀπείργοντες. Δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλως χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις. (*Περὶ παίδ. Ἀγωγῆς. 12.*)

— Ἄνθρωπος ἥμερον ζῷον· ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον ἡμερώτατόν τε ζῷον γίγνεσθαι φιλεῖ· μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφέν, ἀγριώτατον ὁπόσα φύει γῆ. (*Πλάτ. Νόμ. 6.*)

— Οὐκ ἔστι περὶ ὅτου ἂν θειοτέρου ἄνθρωπος βουλεύσαιτο ἢ περὶ παιδείας καὶ αὐτοῦ καὶ τῶν αὐτοῦ οἰκείων. (*Πλάτ.*)

— Παίδευε τὸν υἱόν σου καὶ ἀγαπήσει σε καὶ δώσει κόσμον τῇ ψυχῇ σου. (*Ἰώβ.*)

— Ὃς τύπτει πατέρα, ἢ κακολογεῖ μητέρα θανάτῳ θανατούσθω· λέγει Κύριος. (*Ἐξόδ.*)

— Ἐπικατάρατος πᾶς ὁ ἀτιμάζων πατέρα ἢ μητέρα· καὶ ἐρεῖ πᾶς ὁ λαὸς γένοιτο, γένοιτο. (*Δευτερονόμ.*)

— Τίμα τοὺς πενθερούς σου· αὐτοὶ νῦν γονεῖς σού εἰσιν. (*Τωβὶτ πρὸς Τωβιαν.*)

— Τί πατρὸς γνησιώτερον; καὶ τί μητρὸς συμπαθέστερον; (*Γρηγ. Θεολόγ.*)

— Οἱ τῆς τῶν παίδων κοσμιότητός τε καὶ σωφροσύνης ἀμελοῦντες πατέρες, παιδοκτόνοι τυγχάνουσι, καὶ χαλεπώτερον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πρὸς ψυχὴν ἡ ἀπώλεια καὶ ὁ θάνατος. (*Χρυσοστμ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονέας ἀχάριστον εἶναι οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.* (*Σωκράτ.*)

— *Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.* (*Ισοκράτ.*)

— *Χρὴ τὸν υἱὸν δοῦλον εἶναι τοῦ πατρὸς μᾶλλον, ἢ τὸν οἰκέτην· ὁ μὲν γὰρ φύσει τοῦ πατρὸς δοῦλός ἐστιν, ὁ δὲ νόμῳ.* (*Ἀριστ.*)

— *Μέγα γὰρ κακὸν υἱῷ πατρὸς ἀγαθοῦ, τὸ μὴ πατρώξειν.* (*Ἡσιόδ.*)

— *Παῦροι μὲν παῖδες ἐοίκασι πατράσιν· οἱ δὲ πλείους κακοί.* (*Ἡσιόδ.*)

— *Οὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας.*
*Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,*
*Καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.* (*Εὐριπίδου.*)

— *Δεῖ τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν, καὶ ἑκόντα ὑποτελεῖν.* (*Δημοσθ. 4 κατα Φιλίππου* 142.)

— *Ἐγὼ ἀπίστων καὶ θεοῖς ἐχθρῶν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα.* (*Δημοσθ. κατὰ Ἀριστ.* 790.)

— *Τρεῖς εἰσιν ἀρεταὶ τὰς χρεὼν σ' ἀσκεῖν τέκνον,*
*Θεούς τε τιμᾶν, τούς τε θρέψαντας γονεῖς,*
*Νόμους τε κοινοὺς Ἑλλάδος καὶ ταῦτα δρῶν,*
*Κάλλιστον ἕξεις στέφανον εὐκλείας αἰεί.* (*Εὐριπίδου.*)

— *Ὅστις δ' ἀνωφέλητα φυτίει τέκνα,*
*τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὐτῷ πόνους*
*φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσι γέλων;* (*Σοφοκλέους.*)

— *Τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις*
*ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;* (*Σοφοκλέους.*)

— . . . . . *Τοῖς τεκοῦσι γὰρ*
*οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.* (*Σοφοκλέους.*)

— *Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον· ἐν νεότητι, μήποτε παρακμάσῃ, καὶ παρῳχηκυῖα, μήποτε μισηθῇ· ἐν παρθενίᾳ μήποτε βεβηλωθῇ· καὶ μετὰ ἀνδρὸς οὖσα μήποτε παραβῇ.* (*Φίλωνος.*)

— *Οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως σκληροὺς καὶ τραχεῖς εἶναι τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν ὅτι ἐγένοντο νέοι . . Μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα ἢ βαρύθυμον· ὡς τόγε δυσμενὲς καὶ δυσκατάλλακτον μισοτεκνίας οὐ μικρὸν τεκμήριόν ἐστι.* (*Πλουτάρχου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Φίλων ἁμαρτήματα φέρομεν· τί θαυμαστὸν εἰ καὶ τέκνων;*
— *Πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα, ἃ δεῖ, πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον, ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων.* (*Πλουτάρ.*)

— *Ἄξιον δὲ ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς, αὐτοὶ τῆς τούτων μαθήσεως οὔτε αὐτόπται γίνονται τὸ παράπαν, οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. Αὐτοὺς γὰρ παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει· καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας.* (*Πλουτάρχου.*)

— *Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονεῖς καὶ τοὺς τελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς εὐσέβειαν. Εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλ' ὅτι μὴ εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι, μέγιστον ἀσέβημά ἐστι.* (*Λυκούρ. κατὰ Λεωκράτ.*)

— *Ὅστις δὲ τοὺς τεκοντας ἐν βίῳ σέβει,*
*ὅδ' ἐστί καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.* (*Εὐριπίδ.*)
— *Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.* ( »
— *Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων.*
*κέρδους δ' ἔκατι καὶ τὸ συγγενὲς νοσεῖ.* ( »
— *Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα.* ( »
— *Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.* ( »
— *Ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,*
*εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα*
*θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.*
*ὁρῶ γάρ, οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους·*
*ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους·*
*καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,*
*κἂν αὖ γίνωνται σώφρονες, κακὸν μέγα·*
*λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.* (*Εὐριπίδου.*)
— *Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.* (*Μενάνδρ.*)
— *Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί,*
*ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα*
*τῶν ἐξ αὐτοῦ.* (*Μενάνδρ.*)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

— *Νόμον*
*κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.* (*Σοφ. Γραχν. 1178.*)
*Οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,*
*γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.* (*Σοφ. Ἀντιγ. 539.*)
— *Οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα,*
*πρώτην δὲ σώζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσι*
*τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστι ποτέ.* (*Ἀλέξιδος.*)
— *Τούς τε γονεῖς τίμα, τοὺς τ' ἄγχιστ' ἐκγεγαῶτας.* (*Πυθαγ. Χρυ. Ἔπη.*)
— *Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.* (*Φιλήμονος.*)
— *Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.* (*Δικαιογένους.*)
— *Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου.* (*Πιττακοῦ.*)
— *Γενναιοτέρων ἕκατι κατθανεῖν καλόν.* (*Λιφίλου.*)
— *Αἰσχρὸν τοὺς παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων.* (*Ἰσοκράτ.*)
— *Τοὺς γονεῖς τίμα.— Πρέπει τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν.* (*Ἰσοκράτ.*)
— *Αἰσχρὸν τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζῴων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων.* (*Ἰσοκρ.*)
— *Χρὴ τοὺς γονεῖς γηροτροφεῖν καλῶς, ταῖς τ' ἐκείνων βουλήσεσι τὸν αὑτοῦ βίον εὐπειθῆ κατασκευάζειν . . . Καὶ μὴν καὶ γυναικὸς καὶ παίδων ἐπιμελητέον καλῶς καὶ φιλανθρώπως· οἱ μὲν γὰρ εἰς τὸ γῆρας ἀμείβονται ταῖς θεραπείαις, ἡ δ' ἐν ταῖς νόσοις καὶ ταῖς καθ' ἡμέραν οἰκονομίαις ἀποδώσει τὴν εὐεργεσίαν.* (*Θεοφράστου.*)
— *Οὗτος γὰρ μάλιστα φιλοπάτωρ ἐστίν, ὅστις ζητεῖ δι' οὗ μηδὲν λυπήσας τὸν πατέρα πλεῖστ' αὐτὸν εὐφράναιτ' ἄν. Τί γάρ ἐστι δικαιότερον ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν ;* (*Ἀναξιμένους τοῦ Μιλησίου.*)
— *Δεῖ φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.* (*Αἰλιανοῦ.*)
— *Πᾶς δὲ νοῦν ἔχων φοβεῖται καὶ τιμᾷ γονέων εὐχάς, εἰδὼς πολλοῖς πολλάκις ἐπιτελεῖς γινομένας.* (*Ἀριστοξένους.*)
— *Πείθεσθαι μὲν μητρὶ ἢ πατρὶ τῷ ἑαυτοῦ ἕκαστον φαίνεται καλόν, καὶ ἐπαινῶ ἔγωγε . . . . ὥστε εἴτε πατρὸς εἴτε ἄρχοντος εἴτε καὶ νὴ Δία δεσπότου προστάγματι μὴ ὑπουργεῖ τις κατὰ προστάττοντος ἢ ἄδικα ἢ αἰσχρά, οὐκ ἀπειθεῖ οὐδαμῶς, ὥσπερ οὐδ' ἀδικεῖ οὐδ' ἁμαρτάνει· ἀλλ' ἐκεῖνος ἀπειθεῖ μόνος ὁ τῶν εὖ καὶ καλῶς καὶ συμφερόντως προσταττομένων ἀφρονιστῶν καὶ παρακούων.* (*Μουσωνίου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ ἐπιδάκνοντος.* (*Ξενοφῶντ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

### Περὶ γερόντων καὶ ὡς χρὴ τιμᾶσθαι αὐτούς.

*Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου.* (*Λευιτ.. ιθ' 32.*)

*Ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ μακρῷ χρόνῳ ἐπιστήμη.* (*Ἰώβ. ιβ'. 12.*)

*Στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται.* (*Παρμ. ις'. 31.*)

*Δόξα πρεσβυτέρων πολιά.* (*αὐτόθι κ'. 29.*)

*Ἐν πλήθει πρεσβυτέρων στῆθι· καὶ εἴτις ἔστι σοφός, προσκολλήθητι αὐτῷ.* (*Σειράχ. ς'. 34.*)

— *Μὴ ἀτιμάσῃς ἄνδρα ἐν γήρᾳ αὐτοῦ.* (*αὐτόθι η'. 6.*)

*Στέφανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.* (*αὐτόθι κε' 6.*)

*Ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν.* (*αὐτόθι κε'. 4.*)

*Κρείσσων πολιὰ μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος.* (*Ναζ.*)

*Πολιὰ γερόντων πραότης, ζωὴ δ' αὐτῶν γνῶσις ἀληθής* (*Νύσσης*)

— *Μὴ ἀστόχει διηγήματος γερόντων σοφῶν· καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν.*

— *Νεκρὸν ἰατρεύειν καὶ γέροντα συμβουλεύειν ταὐτὸν ἐστιν.* (*Ἀπολλώνιος.*)

— *Θρὶξ λευκὴ τὴν τῆς ψυχῆς ἀποδημίαν διαμαρτύρεται.* (*Νεῖλος*)

— *Ὁ Σωκράτης ἐδίδασκε τοὺς μαθητάς του ὅτι οἱ γέροντες πρέπει νὰ ἔχουν τρία πλεονεκτήματα· σοβαρότητα εἰς τὴν ὄψιν, γλυκύτητα εἰς τοὺς λόγους καὶ φρόνησιν εἰς τὴν καρδίαν.*

— *Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη.* (*Μένανδρος*)

— *Εἰς τὸ γῆρας πάντα τὰ χαλεπὰ συρρεῖ καὶ μάλα ἔρημα τῶν εὐφροσυνῶν.* (*Ξενοφ. Ἀπολογ. Σωκρ. 8.*)

— *Ἀργαλέον γῆρας ἔθηκε Θεός.*

— *Ἔχει μέν τινα τὸ γῆρας καὶ τῶν τῆς νεότητος· ἔχει δὲ ὅμως καὶ τὸ νωθρόν, τὸ ὀκνηρόν, τὸ λήθαργον, τὸ ἀμβλύ, τὸ ἀκρόχολον... Πολλὰ γάρ ἐστι τὰ ποιοῦντα μὴ νήφειν τοὺς ἐν ἡλικίᾳ τοιαύτῃ· καὶ πρῶτον αὐτό, ὅπερ ἔφην, τὸ πανταχόθεν ἀμβλύνεσθαι, καὶ δυσκόλως διεγείρεσθαι, καὶ δυσκόλως κινεῖσθαι.* (*Χρυσοστμ. εἰς τὴν πρὸς Τίτ. ἐπιστ. ὁμιλ. β'. α'.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὅσον αἱ ἄλλαι αἱ περὶ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. (Πλάτ. Πολιτείας α'.)

— Γῆρας λεόντων κρεῖσσον ἀκμῆς νεβρῶν. (Σολομ.)

— Γῆρας τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δ' ἔστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. (Σολομ.)

— Πλέον τῷ ὄντι τῆς ἐπὶ θριξὶ λευκότητος ἐν πρεσβύταις ἅπασι, τὸ ἐν φρονήσει πρεσβυτικόν. (Βασιλείου.)

— Οὐχ ὡραῖον ἐν γήρᾳ παίδων ἀθύρματα. (Γρηγ. Θεολόγ.)

— Αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, τὴν δὲ ἀσέλγειαν μὴ παρακμάσαι. (Γρηγ. Θεολόγ.)

— Τὸ ἔντιμον ἐν γήρᾳ εἶναι, ἀπόδειξις τοῦ φιλόπονον πρὸς γήρως γεγονέναι τὸ δὲ σπουδαῖον ἐν νέῳ ἐχέγγυον τοῦ ἔντιμον ἐν γήρᾳ ἐσεσθαι. (Εὐαγρίου.)

— Πρὸς γὰρ τὸ γῆρας, ὥσπερ ἐργαστήριον
Ἅπαντα τἀνθρώπεια προφοιτᾷ κακά. (Ἀντιφάνους.)

— Καλοῦ γὰρ γήρως θεμέλιον ἐν παισὶν τῶν σωμάτων εὐεξία. (Πλουτάρχ.)

— Ὅπου γὰρ γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθα ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. (Πλουτάρχ.)

— Οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ πρόσεστιν, ἀλλ' ἐμπειρία ἔχει δεῖξαι τῶν νέων σοφώτερον. (Εὐριπίδου.)

— Γῆρας ἐὰν μὲν ἀπῇ, πᾶς τις εὔχεται· ἢν δέ ποτ' ἔλθῃ, μέμφεται. Ἔστι δέ τι κρεῖσσον ὀφειλόμενον (. . . .

— Γέροντα δ' ὀρθοῦν φλαῦρον ὃς νέος πέσῃ. (Σοφοκλ.)

— Οὔτοι τὸ γῆρᾴ ἐστιν, ὡς οἴει, πάτερ,
Τῶν φορτίων τὸ μέγιστον· ἀλλ' ὃς ἂν φέρῃ
Ἀγνωμόνως αὐθ, οὗτός ἐστιν αἴτιος·
Ὃς δ' εὐκόλως, τάχιστα κομίζειν ποιεῖ,
Μεταλαμβάνων ἐνδέξ' αὐτὸν τὸν τρόπον,
Λύπην ἀφαιρῶν, ἡδονήν τε προσθείς.
Λύπην τ' ἐποίησεν, ὅστις εἶχε δυσκόλως. ( . . .

— Φοβοῦ τὸ γῆρας οὐ γὰρ ἔρχεται μόνον.

— Ἦξε, τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.

— Γῆρας καὶ πενία, δύο τραύματα δυσθεράπευτα.

— Ἔστι γὰρ καὶ διανοίας ὥσπερ σώματος γῆρας.

— Το γῆρας εἶναι ὅρμος κακῶν· εἰς αὐτὸν γοῦν πάντα κατα φεύγει.

— Οὐ γὰρ οἰκτρὸν τὸ γῆρας, μήθ' ἡ νεότης εὔδαιμον πάντως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ὃς μὲν ἂν καλῶς ἀμφοτέροις χρήσηται τούτοις, οὗτος ἂν εἴη μακάριος· ὃς δ' ἂν κακῶς, τοὐναντίον οἴκοθεν τὸ κακόδαιμον ἑαυτῷ ἀναθέμενος. — Εὐδαιμονία ἐν γήρᾳ, βίος ἀμετανόητος ἐν νεότητι. — Οὐκ ἂν οὖν εἰποιμι τὸ γῆρας ἀπόβασιν, ἀλλ' ἐπίβασιν εἶναι. οὐδὲ μαρασμόν, ἀλλ' ἐκ μαρασμοῦ ἄνθους εἰς κάρπωσιν πρόοδος· καθάπερ γὰρ καὶ ὁ βότρυς τελειοῦται ἀποβαλὼν τὸ ἄνθος, οὕτω καὶ ὁ ἄνθρωπος, τὸ ἐκ τῆς νεότητος ἀποσεισάμενος ἀνόητον καὶ εἰκαῖον, ἐν γήρᾳ τὸ φρονεῖν περιβάλλεται, ὅπερ ἐστὶν ἀνδρὸς τελειότης πρὸς τὸ πάντα σὺν λόγῳ πράττειν. — Ἤξει, λέγουσι, τὸ γῆρας, «πᾶσαν αἰτίαν αἶρον»· τοὺς γὰρ τῆς νεότητος φόβους καὶ τὰ ἀκάθεκτα καὶ φλογώδη σκιρτήματα, τάς τε τῆς τελείας ἡλικίας ἐπιθυμίας... ἀφελόν, ἀντικαθίστησι τὴν ἀπάθειαν καὶ τὴν φρόνησιν ἐν τῷ τῆς ψυχῆς ἀτρεμεῖ. (*Νεοφ. Δοῦκα.*)

— Ἔργα μὲν νεωτέρων
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος. (*Εὐριπίδ.*)

— Ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες,
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον. (*Εὐριπίδου.*)

— Ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ' ἡ μπειρία
ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον. (*Εὐριπίδ.*)

— Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει,
ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει. (*Εὐριπίδου.*)

Ἀνειμένον τι χρῆμα πρεσβυτῶν (γένος) ἔφυ
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο. (*Εὐριπίδ.*)

— Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή. (*Σοφοκλέους.*)

— Τοῦ ζῆν οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. ( »

— Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. ( »

— Καίπερ γέρων ὤν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χω' νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ. ( »

— Ὀχληρὸν ὁ χρόνος ὁ πολύς· ὦ γῆρας βαρύ,
ὡς οὐδὲν ἀγαθόν, δυσχερῆ δὲ πόλλ' ἔχεις
τοῖς ζῶσι καὶ λυπηρά· πάντες εἰς σὲ δεῖ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν. (*Μενάνδρου.*)

— Σοφὸν γέ τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν. (*Ἀντιφάνους.*)

— Ὦ γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος. ( »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον. (Αἰσχύλ.)

— Μὴ νουθέτει γέροντα ἁμαρτάνοντά τι,
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον (Φιλήμονος.)

— Ἰσχὺς καὶ εὐμορφία νεότητος ἀγαθά, γῆρας δὲ σωφροσύνη ἄνθος.

— Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδε (Δημοκρ.)

— Πρεσβύτερον σέβου (Χίλωνος.)

— Καὶ Πλάτωνι καὶ Πυθαγόρᾳ δοκεῖ τὸ γῆρας οὐκ ἐπ' ἐξόδ τοῦ βίου εἶναι, ἀλλ' ἐπ' ἀρχῇ μακαρίας ζωῆς. (Φαβωρίνου.)

— Τὸ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον· καὶ γὰρ φρονιμωτ ρους τοὺς ἀνθρώπους ἀπεργάζεται καὶ τῶν ἡδέων ἀμελεστέρου (Φαβωρ.)

— Τῆς ἡλικίας τὸ μὲν ἀκμάζον ἔαρ ἐστί, τὸ δὲ μετὰ τὴν ἀ μὴν θέρος καὶ μετόπωρον χειμῶνα δὲ τὸ γῆρας. (Ἐρατοσθέν.)

— Πᾶς ἡμῖν αἰδεισθῶ τὸν ἑαυτοῦ πρεσβύτερον ἔργῳ τε κ ἔπει (Πλ. νόμ. 879.)

— Οἱ νεώτεροι αὐτῶν (Αἰγυπτιων καὶ Λακεδαιμονίων) τοῖ πρεσβυτέροισι συντυγχάνοντες εἴκουσι τῆς ὁδοῦ καὶ ἐκτράποντ καὶ ἐπιοῦσι ἐξ ἕδρας ὑπανιστέαται. (Ἡροδ. 2, 80.)

— Εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους. (Ὁμήρ. Ἰλ. κγ'. 68

— Οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. (Ξενοφ. ἀπομ βα', 1, 33.)

## ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

### Περὶ συνδιαγωγῆς μετὰ κακῶν ἀνδρῶν.

Τὸ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν ἐπιστήμη (Ἰώβ. κη'. 28.)

Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθησε (Ψαλμ. α'. 1—2.)

Υἱὲ μὴ σὲ πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ πορευθῇς ἐν ὁδ μετ' αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν (Παρμ. α'. 10

Υἱὲ μὴ ζηλώσῃς κακοὺς ἄνδρας· μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' α τῶν· ψεύδη γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη α τῶν λαλεῖ. (» κδ'. 1)

Ἀπόστητε ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· ἐξέ θετε ἐκ μέσου, ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη Κυρίου (Ἡσα νβ'. 11'.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ. (Σειράχ. ιγ'. 1.)

Οὐκ ἐκάθησα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. (Ψαλ. κε'. 4.)

Παραγγέλλομεν ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. (Β. Θεσσαλ. γ'.)

Τρία προέβαλεν ὑμῖν τὰ φυλακῆς ἄξια· μὴ πορευθῆναι ἐν βουλῇ ἀσεβῶν μὴ στῆναι ἐν βουλῇ ἁμαρτωλῶν καὶ μὴ καθεσθῆναι ἐπὶ καθέδρᾳ λοιμῶν. (Βασιλ. εἰς ψαλ. α'.)

Νῦν δὲ ἔγραψα ὑμῖν, μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μὴ συνεσθίειν. (Α'. Κορινθ. ε'.)

## ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

### Περὶ συνδιαγωγῆς μετὰ χρησπῶν ἀνδρῶν.

Ὁ συμπορευόμενος σοφοῖς σοφὸς ἔσται. (Παροιμ. ιγ'. 20.)

Ἐὰν ἴδῃς συνετόν, ὄρθριζε πρὸς αὐτόν, καὶ σταθμοὺς αὐτοῦ ἐκτριβέτω ὁ ποῦς σου. Ἐν πλήθει πρεσβυτέρων στῆθι, καὶ εἴτις σοφός, προσκολλήθητι αὐτῷ. (Σειράχ. ς'. 14.)

Μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν παροιμίαις αὐτῶν ἀναστρέφου. (αὐτόθι η'. 8.)

Ἄνδρες δίκαιοι ἔστωσαν οἱ σύνδειπνοί σου. (αὐτόθι.)

Μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε, ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολὰς Κυρίου, ὃς ἐν τῇ ψυχῇ αὐτοῦ, κατὰ τὴν ψυχήν σου, καὶ ἐὰν πταίσῃς συναλγήσει σοι (» γζ'. 15.)

— Ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα βλέποντες τῶν εἰκόνων, τὸν ἐκείνων χαρακτῆρα πρὸς τὸ αὐτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα, οὕτω δὲ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον· οἱονεί, πρὸς ἀγάλματά τινα κινούμενά τε καὶ ἔμπρακτα, ἢ βίους τῶν ἁγίων ἀποβλέπειν χρή, καὶ τὸ ἐκείνων ἀγαθόν, οἰκείων ποιεῖσθαι διὰ μιμήσεως. (Βασιλείου.)

Σοφῶν θύρας ἔκτριβε πλουσίων δὲ μή. (Ναζιανζ.)

Οἷς δέ τις ὁμιλεῖ συνεχῶς, τούτοις ἀφομοιοῦται τὸ ἦθος. (Χρυσοστόμ. τμ. Α'. 115.)

— Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων· οἱ δὲ (μαθηταὶ) διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, . . . .

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν, προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων Τότε συνῆκαν, ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδαχῆς αὐτῶν (Ματθαίου ις'. 6 — 12)*

— *Επισκοπεῖτε ἑαυτοὺς μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ρίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί. — Παραγγέλλομεν δ' ὑμῖν ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβε παρ' ἡμῶν. — Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.(Παύλου)*

— *Μὴ πρόσπαιζε ἀπαιδεύτοις, ἵνα μὴ ἀτιμάζωνται οἱ γονεῖς σου. (Σειράχ.)*

— *Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, μηδὲ συναυλίζου φίλῳ ὀργίλῳ, μήποτε μάθῃς τὴν ὁδὸν αὐτοῦ, καὶ λάβῃς βρόχον τῇ σῇ ψυχῇ. (Σολομ.)*

— *Οὗ ἂν ᾖ πρόδηλα τὰ τῆς ἀσεβείας, καὶ πυρὶ καὶ σιδήρῳ καὶ καιροῖς καὶ δυνάσταις καὶ πᾶσι πρότερον ὁμόσε χωρητέον, ἢ τῆς ζύμης μεθεκτέον τῆς πονηρᾶς καὶ συγκαταθετέον τοῖς κακῶς ἔχουσι. (Γρηγ. Θεολόγ.)*

— *Ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν.*
*Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός, (Γρηγ. Θεολ.)*

— *Δεῖ μὴ μόνον ἀπέχεσθαι τῶν κακῶν, ἀλλὰ καὶ τοὺς ταῦτα πράσσοντας ἀποστρέφεσθαι. (Ἀθανασίου.)*

— *Τὸ συνδιαιτᾶσθαι τοῖς φαύλοις ἐπιβλαβὲς καὶ ἐπίψογόν ἐστι. (Κυρίλλ.)*

— *Οὐ ποιεῖ ἀγροὺς φαύλους, οὐδὲ ἄστυ σπουδαίους, ἀλλ' ἡ μετὰ τῶν τοιούτων συνδιατριβὴ καὶ συνεχὴς συνεστίασις. (Φίλωνος.)*

— *Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται. (Σοφοκλέους.)*

— *Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. (Σωκράτ.)*

— *Εἰ χωλῷ παροικήσεις, ὑποσκάζειν μαθήσῃ.*

— *Ἡ μὲν γὰρ περὶ ψαλμοὺς καὶ φόρμιγγας ἁρμονία δι' ἀντιφώνων ἔχει τὸ σύμφωνον, ὀξύτησι καὶ βαρύτησιν ἀμωσγέπως ὁμοιότητος ἐγγινομένης· τῆς δὲ φιλικῆς συμφωνίας ταύτης καὶ ἁρμονίας οὐδὲν ἀνόμοιον, οὐδὲ ἀνώμαλον, οὐδὲ ἄνισον εἶναι δεῖ μέρος, ἀλλ' ἐξ ἁπάντων ὁμοίως ἐχόντων ὁμολογεῖν καὶ ὁμοδοξεῖν καὶ ὁμοβουλεῖν καὶ συνομοπαθεῖν, ὥσπερ μιᾶς ψυχῆς ἐν πλείοσι διῃρημένης σώμασι. — Τί οὖν ἐστιν οὕτως ἐπίπονος καὶ μετάβολος*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ παντοδαπὸς ἄνθρωπος, ὥστε πολλοῖς ἑαυτὸν ἐξομοιοῦν καὶ προσαρμόττειν, καὶ μὴ καταγελᾶν τὸ τοῦ Θεόγνιδος παραινοῦντος, «Πουλύπους, ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.» Καίτοι τοῦ πολύποδος αἱ μεταβολαὶ βάθος οὐκ ἔχουσιν, ἀλλὰ περὶ αὐτὴν γίγνονται τὴν ἐπιφάνειαν..... αἱ δὲ φιλίαι τὰ ἤθη ζητοῦσι συνεξομοιοῦν, καὶ τὰ πάθη καὶ τοὺς λόγους, καὶ τὰ ἐπιτηδεύματα καὶ τὰς διαθέσεις. (Πλουτάρχ.)

— Μὴ γεύεσθαι μελανούρων. (Πυθαγόρας.)

— Οἷς γὰρ ἂν ὁμιλεῖ τις τούτοις καὶ ἐξομοιοῦται.

— Στέλλεσθαι ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ συνεναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μήτε συνεσθίειν. (Κορ. Α΄.)

— Τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. (Ξεν. Ἀπομν. 1, 2, 20.)

— Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός. (Μένανδρ.)

— Ὁ νοῦν ἔχων ἐπιθυμεῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὑτοῦ βελτίονι. (Πλάτ. Φαίδ.)

## ΚΕΦΑΛΑΙΟΝ Ν΄

### Περὶ πεπαιδευμένων καὶ τελείων ἀνδρῶν.

Πεπαιδευμένους ὀνομάζω (ἔλεγεν ὁ Ἰσοκράτης) οὐχὶ τοὺς μαθόντας τέχνας ἢ ἐπιστήμας, ἢ ἔχοντας δυνάμεις τινὰς (νοημοσύνην ἔκτακτον καὶ νοῦν ἐφευρετικὸν) ἀλλὰ πρῶτον τοὺς γινώσκοντας τἀληθῆ αὐτῶν συμφέροντα· δεύτερον, τοὺς φυλάσσοντας δικαιοσύνην πρὸς ἀλλήλους, τρίτον τοὺς χαλινοῦντας τὰς ἡδονὰς των· τέταρτον, τοὺς μὴ ὑπερηφανευομένους ἐν ταῖς εὐτυχίαις. Οἱ ταῦτα ἔχοντες αὐτοί εἰσιν οἱ τέλειοι ἄνδρες. (Ἰσοκρ. Παναθην. §. 11 σελ. 238 ἴδε καὶ Παύλ. Ἐφεσ. ἐπιστ. 6. 4.)

Τὰς δ' ἀρετὰς λαμβάνομεν (λέγει ὁ Ἀριστοτέλης) ἐνεργήσαντες πρότερον, ὥσπερ καὶ ἐπὶ πολλῶν τεχνῶν· ἃ γὰρ δεῖ μαθόντες ποιεῖν, ταῦτα ποιοῦντες μανθάνομεν, οἷον οἰκοδομοῦντες οἰκοδόμοι καὶ κιθαρίζοντες κιθαρισταί, οὕτω δὲ καὶ τὰ μὲν δίκαια πράττοντες δίκαιοι γινόμεθα· τὰ δὲ σώφρονα σώφρονες, τὰ δὲ ἀνδρεῖα ἀνδρεῖοι. (Ἠθικ. Νικομάχ. 11. 1 22,23.)

Ἡμεῖς ἀληθῆ φιλοσοφίαν ὁριζόμεθα, τὴν μηδὲν τῶν ἡκόντων εἰς εὐσέβειαν καὶ ἀρετὴν παρορῶσαν. (Γρηγ. Νύσσης.)

Τοῖς σταδιοδρομοῦσι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπο-

Δημόσιο Κεντρικό Βιβλιοθήκη Βέροιας

νοῦσι, τὸ πρωτεῖον τῆς φρονήσεως δίδοται· τῇ ἀμαθίᾳ ὥσπερ νόσῳ χαλεπῇ πολλὰ ἁμαρτήματα συνέπεται. Ἡ δὲ παιδεία καθάπερ εὐδαίμων χώρα πάντα φέρει τὰ ἀγαθὰ ἐν τῷ βίῳ· ὅτι οὐκ ἔστιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς· πλῆθος γὰρ σοφῶν σωτηρία κόσμου καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου. (Σολομ.)

Ἀνὴρ πεπαιδευμένος ἔγνω πολλὰ καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν· ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν. (Σειράχ.)

— Τίμα σώφρονα νέον ὑπὲρ ἀκόλαστον γέροντα, καὶ γέροντα φιλομαθῆ ὑπὲρ νεώτερον ἀμαθῆ, καὶ ἀκτήμονα ἰδιώτην ὑπὲρ πεπαιδευμένον φιλάργυρον, καὶ κοσμικὸν ἐνάρετον ὑπὲρ μοναχὸν ἄρπαγα. (Χρυσ. διάλογ. πρὸς Παλλάδιον ἐπίσκοπον.)

— Πολὺ διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται. (Θουκ. 1,84.)

## ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

### Περὶ ἀγαθοῦ καὶ ἀγαθοποιΐας.

— Τἀγαθὸν ἐρωτᾷς μ' οἷον ἔστ' ; ἄκουε δή.
Τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές.
Κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλόν, δέον·
Αὐστηρόν, αὐθέκαστον αἰεὶ συμφέρον.
Ἄφοβον, ἄλυπον, λυσιτελές, ἀνώδυνον.
Ὠφέλιμον, εὐάρεστον, ὁμολογούμενον.
Εὐκλεές, ἄτυφον, ἐπιμελές, πρᾶον, σφοδρόν.
Χρονιζόμενον, ἀμίμητον, ἀεὶ διαμένον. (Κλήμ. Ἀλεξ. Στρωμ. Ε. 257.)

— Ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι. (Πλάτ. πολιτεί. ζ'. 517 β.)

— Οὐδὲν ἡμῶν ἀγαθὸν ὅ,τι ἂν μὴ ἐκεῖνοι (οἱ θεοὶ) δῶσιν. (Πλάτ.)

— Ἀνδρὶ μελητέον, οὐ τὸ δοκεῖν εἶναι ἀγαθόν, ἀλλὰ τὸ εἶναι καὶ ἰδίᾳ καὶ δημοσίᾳ (Πλ. Γοργ.)

— Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ θεός. (Λουκ. ιη'. 19.)

— Τῶν ἀγαθῶν ἕνεκα δεῖ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων. (Πλάτ. Γοργ. 500.)

— Οὐδὲν ἄλλο ἐστὶν οὗ ἐρῶσιν ἄνθρωποι ἢ τοῦ ἀγαθοῦ. (Πλ. Συμπ. 205.)

— Μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον, δούλους δὲ τοὺς φαύλους ἅπαντας. (Πλουτ. Κάτων νεώτερ. 56.)

— Οἱ πλεῖστοι κακοί· ὅ,τι ἂν ἀγαθὸν πράττῃς εἰς θεοὺς ἀνάπεμπε. (Βίας παρὰ Διογ. Λαερτ. α'. 5, 88.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

### Περὶ ἀληθείας.

(Ἴδε Τόμ. Α' Κεφ. ΡΙ'.)

— Εὖ ἀποφηνάμενος, ἐρωτηθεὶς τί θεοῖς ὅμοιον ἔχομεν; εὐσεβείαν, εἶπε, καὶ ἀλήθειαν. (Λογγῖνος 1, 2.)

— Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. (Εὐριπίδ. ἑπτ. ἐπὶ Θήβ. 9,12.)

— Ὁ Μέτελλος τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδαρον ἡγεῖτο. (Πλουτ. Μάριος. 29.)

— Ἀρχὰ μεγάλας ἀρετᾶς ἄνασσ' ἀλήθεια. (Πινδάρ. παρὰ Κλημ. Α'. 304.)

— Σοφὸν τἀληθές, μάλιστα ὅταν ἁπλοῦν ᾖ καὶ σύντομον· δεινὸν δὲ καὶ μωρὸν τὸ ψεῦδος, κἂν δεινότητι καὶ καλλιεπείᾳ δοκῇ κεκοσμῆσθαι. (Ἰσίδ. οη'. 1520—1521.)

— Οὐδὲν γὰρ τῆς ἀληθείας σαφέστερον, οὐδὲ ἁπλούστερον, ὅταν τις μὴ κακουργῇ· ὥσπερ οὖν, ἐὰν κακουργῇ, οὐδὲν δοκεῖ δυσκολώτερον. (Ἰσίδ. οη'. 1536.)

— Ἡδέως ἂν καὶ ἀσμένως τὴν ἀλήθειαν τιμῶν ἡττᾶσθαι δοκῶ, ἢ ψευδόμενος νικῶ. Ἀληθεύων μὲν γάρ, κἂν ἡττῆσθαι δόξω, νενίκηκα, ἀπάτῃ δὲ κρατήσας, κἂν νενικηκέναι δόξω, ἥττημαι. (αὐτόθ. 1565. 1508.)

— Οὐδὲν τῆς ἀληθείας φανερώτερον, οὐδὲν ἰσχυρότερον γένοιτ' ἂν ὥσπερ τοῦ ψεύδους οὐδὲν ἀσθενέστερον, κἂν μυρίοις παραπετάσμασι συσκιάζηται. Ἡ δὲ ἀλήθεια γυμνὴ πρόκειται πᾶσι τοῖς βουλομένοις αὐτῆς τὴν ὥραν περισκοπεῖν. (Χρυσ. νθ'. 165.)

— Οἱ σωφρονοῦντες τὴν ἀλήθειαν ἀξιόκτητον ἴσασι χρῆμα· λαμπροτέραν δ' ὅμως αὐτὴν καὶ θειοτέραν παρεξεταζόμενον ἀποφαίνει τὸ ψεῦδος. (Θεοδώρ. πγ'. 440 — 441 — καὶ πρὸς τοὺς Ἕλληνας 881—825.)

— Ἔνθα γὰρ ἡ ἀλήθεια πρόεισιν, οὔτε ψεῦδός ποτε πολιτεύεται, οὔτε ἀπιστία χώραν ἕξει κακίστης εἰσδόσεως· ἀπιστίας γὰρ οὐδὲν πρὸς λόγους θεϊκοὺς χαλεπώτερον. Οὐ γὰρ καταλαμβάνει ποτὲ τὴν ἀλήθειαν, ἕως οὗ ψεῦδός ἐστι καὶ γινώσκεται· οὐδὲ σκοτία φωτίζεται πώποτε, ἕως σκότος ἐστὶ καὶ ἐξόφωται. (Σωφρ. Ἱεροσ. πζ' 3228.)

— Ἀλήθεια πάντων ἰσχυρότατον, ὡς τῷ Ἔσδρᾳ, κἀμοὶ δοκεῖ. Ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα. Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σείεται καὶ τρέμει καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδικον οὐδέν. (Γρηγορ. Ναζ. λε'. 1156—λζ'. 965.)

— Ἀλήθεια πάσας τὰ τέχνας καὶ τὰς ἐπιστήμας κοσμεῖ· εἰ δ' αὕτη ἀπείη, οὐδεμίαν ἔχουσι κοσμιότητος ὥραν.

— Μεῖζον δὲ ἀληθείας οὐδέν. (Ἰσιδ. Πηλουσ. οη'. 1136.)

— Ἡ ἀλήθεια ῥημάτων τε καὶ ὀνομάτων τιμαλφεστερα, καὶ οὐδὲν ταύτην λωβᾶται τῆς τοιαύτης κομψείας ἡ ἄγνοια. (Θεοδώρ. περὶ πιστεως πγ'. 789—825.)

## ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

### Περὶ ἐπιεικείας.

— Τοῦτο ἀληθῶς ἐπιείκεια, οὐχ ὅταν τις παρὰ τῶν ἐν δυνασστείᾳ ἀδικούμενος φέρῃ πράως, ἀλλ' ὅταν καὶ ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ· ἐνταῦθα μὲν γὰρ τῇ ἐπιεικείᾳ ἄν τις τὸ πᾶν λογίσαιτο τοῦ ἐπηρεαζομένου· ἐκεῖ δὲ ἴσως τις εἴποι, διὰ τὸ μὴ δύνασθαι ἀντιτείνειν τῇ δυνασιείᾳ τοῦ ἠδικηκότος, τὴν ἐπιείκειαν ἐνδείκνυσθαι. (Χρυσ. εἰς τὴν Γεν. ὁμιλ. νβ'.)

— Πρὸ τῶν ἄλλων ἁπάντων αὐτὸς (ὁ Χριστὸς) οἶδε τὴν τῶν πραγμάτων φύσιν. Οἶδεν ὅτι θρασύτης οὐ θρασύτητι, ἀλλ' ἐπιεικείᾳ σβέννυται. (Χρυσ. ὁμιλ. λδ' εἰς Ματθ.)

— Ἀντιτυπήσωμεν τοὺς τύπτοντας τῇ ἐπιεικείᾳ, τῇ σιγῇ καὶ τῇ μακροθυμίᾳ. (Χρυσ. ὁμιλ. λθ' εἰς τὰν Πράξ. τῶν Ἀποστλ.)

— Νομίζω δίκαιον εἶναι τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς, καὶ πράττοντας τοιαῦτα, τυγχάνειν δόξης τῆς προσηκούσης. (Πλάτ. Ἐπστ.)

— Ἐπιείκεια δικαίων καὶ συμφερόντων ἐλάττωσις· μετριότης ἐν συμβολαίοις, εὐταξία ψυχῆς λογιστικὴ πρὸς τὰ καλὰ καὶ αἰσχρά. (Πλάτ. Ὅροι.)

— Μιξον τῷ φόβῳ τὴν ἐπιείκειαν, κέρασον τῇ ἀπειλῇ τὴν ἐλπίδα· πολλὰ καὶ χρηστότητα κατορθοῦν οἶδα. (Γρηγ. Θεολ.)

— Νικήσωμεν ἐπιεικείᾳ τοὺς τυραννήσαντας καὶ μάλιστα μὲν φιλανθρωπίᾳ ἔστω τὸ συγχωρεῖν καὶ ἡ τῆς ἐντολῆς δύναμις, τὴν ἴσην ἀντιδιδοῦσα φιλανθρωπίαν ἡμῶν ἐν οἷς αὐτοὶ χρῄζομεν. (τοῦ αὐτοῦ.)

## ΚΕΦΑΛΑΙΟΝ ΝΔ'.

### Ταπεινοφροσύνη.

(Ἴδε Τόμ. Α'. Κεφ. ΡΚΖ'.)

— Μακάριος ὁ βίου ἔχων ὑψηλόν, ταπεινὸν δὲ τὸ φρόνημα. (Νείλος.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἐγὼ εἶδον τὰς παγίδας τοῦ Διαβόλου ἡπλωμένας ἐν τῇ γῇ καὶ εἶπον· τίς δύναται ἐκφυγεῖν ταύτας; καὶ εἶπε μοι Ἄγγελος: ἡ ταπεινοφροσύνη. (Ἀντώνιος ὁ Μέγας.)

— Τὸ κατοικητήριον καὶ ἡ ἀνάπαυσις τοῦ πνεύματος ἡ ταπεινοφροσύνη ἐστί καὶ μεγάλη ταπείνωσις ἡ ὑψηλοφροσύνη· καὶ μεγάλη ὕψωσις καὶ τιμιότης καὶ ἀξίωμα ἡ ταπεινοφροσύνη καὶ μὴ θελούσης τῆς καρδίας. (Μακάρ. Αἰγύπτιος ὁμιλ. ιθ'.)

— Ὁ ταπεινὸς οὐδέποτε πίπτει· πόθεν γὰρ πεσεῖν ἔχει ὑποκάτω πάντων ὤν; (Μακάρ. Αἰγύπτιος.)

— Τοῦτο οὐκ ἔστι ταπεινοφροσύνη τὸ ὄντα ἁμαρτωλὸν νομίζειν εἶναι ἁμαρτωλόν· ταπεινοφροσύνη γάρ ἐστιν ὅταν τις πολλὰ καὶ μεγάλα συνειδὼς ἑαυτῷ κατορθώματα, μηδὲν μέγα περὶ ἑαυτοῦ φαντάζεται· ἀλλ' ὅμως διὰ τὴν ἄφατον αὐτοῦ εὐπλαγχνίαν, οὐχὶ τοὺς ταπεινόφρονας μόνον ἀλλὰ καὶ τοὺς εὐγνωμόνως τὰ ἑαυτῶν ἁμαρτήματα λέγοντας προσίεται καὶ δέχεται καὶ γίνεται ἵλεως καὶ εὐμενὴς τοῖς οὕτω διακειμένοις· ταπεινοφροσύνη ἐστὶν ὅταν ἴσος ὑπακούει τῷ ἴσῳ. (Χρυσόστομ. λόγ. ς' ἴσος ὁ Πατήρ, ἴσος ὁ Υἱός, καὶ τὸ Ἅγιον Πνεῦμα.)

— Ταπεινόφρων ἐστὶ κατ' ἀλήθειαν, ὅστις ἔχει ἐν τῷ κρυπτῷ τι ἄξιον ὑπερηφανείας καὶ οὐχ ὑπερηφανεύεται, ἀλλὰ ὡς ἁπλοῦν ἔχει αὐτὸ ἐν τῷ αὐτοῦ λογισμῷ, ἀλλ' οὐδὲ τὸν ἐν τῇ μνήμῃ τῶν παραπτωμάτων καὶ πλημμελημάτων ταπεινοφρονοῦντα καὶ μνημονεύοντα αὐτὸν ἕως ἂν συντριβῇ ἡ καρδία αὐτοῦ καὶ συγκαταβῇ ἐκ τῶν ἐννοιῶν τῆς ὑπερηφανείας, τῇ μνήμῃ αὐτῶν καλοῦμεν ταπεινόφρονα κἂν καὶ ᾖ τοῦτο ἐπαινετόν . . . . ταπεινόφρων δὲ τέλειος ἐστὶ ὁ μὴ χρήζων μηχανᾶσθαι αἰτίας τῷ ἑαυτοῦ φρονήματι τοῦ ταπεινοφρονεῖν, ἀλλ' ὁ ἐν πάσῃ τούτοις τελείως καὶ φυσικῶς αὐτὴν κτησάμενος, ἀνευ ἔργου, ὥσπερ ὁ χάρισμά τι μέγα καὶ ὑπερέχον πᾶσαν κτίσιν καὶ φύσιν δεξάμενος ἐν ἑαυτῷ αὐτὸς δὲ ὁρᾷ ἑαυτὸν ὡς ἁμαρτωλὸν καὶ εὐτελῆ καὶ εὐκαταφρόνητον τοῖς ἰδίοις ὀφθαλμοῖς. (Ἰσαὰκ ὁ Σῦρος λόγος κ'. σελ. 114.)

— Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμένον· καρδίαν συντετριμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. (Ψαλμ. ν'.)

— Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. (Ψαλμ.)

— Ἐπ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντα τοῖς λόγοις μου. (Ἡσαΐου.)

— Καλὸν ἡ ταπεινοφροσύνη, καὶ πολλὰ ταύτης καὶ πολλαχόθεν τὰ ὑποδείγματα, καὶ πρὸ τῶν ἄλλων, ὁ πάντων σωτὴρ καὶ Δεσπότης. (Γρηγ. τοῦ Θεολόγου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὥσπερ γὰρ ἡ ἀπόνοια πηγὴ κακίας ἁπάσης ἐστίν, οὕτως ἡ ταπεινοφροσύνη φιλοσοφίας ἀρχή. (Χρυσοστόμ.)

— Ἐὰν ἕληται ἄνθρωπος τὴν ταπείνωσιν, συντόμως ἔρχεται εἰς τὴν καρδίαν αὐτοῦ φόβος τοῦ Θεοῦ, ὃς φωτίζει καὶ διδάσκει πάσας τὰς ἀρετὰς καὶ ἐντολὰς τοῦ Θεοῦ.—Οὔτε ἄσκησις,οὔτε κακουχία, οὔτε παντοῖοι πόνοι σώζουσιν, εἰμὴ γνησία ταπεινοφροσύνη. — Ἄνθρωπος δεῖται τῆς ταπεινοφροσύνης καὶ τοῦ φόβου τοῦ Θεοῦ διὰ παντός, ὥσπερ τῆς πνοῆς τῆς ἐκπορευομένης ἐκ τῆς ῥινὸς αὐτοῦ. — Ἐὰν τὸν ἀμαθῆ καὶ ἀφελῆ ἡ ταπείνωσις ὑψοῖ, πόσῃς οἴει τιμῆς τοῖς μεγάλοις καὶ τιμίοις πρόξενος γίνεσθαι ; Κρεῖσσον ἐργάζεσθαι ἐν κόποις καὶ πόνοις, καὶ σιωπᾷν ἐν ταπεινώσει, ἢ δικαιοῦσθαι καὶ μεγαλαυχεῖν, διὰ τὸ δοξάζεσθαι ὑπὸ τῶν ἀνθρώπων. — Ἐπαγωγὴ γὰρ ὑπερηφάνου οὐκ ἔστιν ἴασις, ὅτι φυτὸν πονηρὸν ἐρρίζωσεν ἐν αὐτῷ· φυτὸν δὲ λέγω τὴν παγκάκιστον καὶ παμμίαρον ὑπερηφανίαν, τὴν ἀναβαίνουσαν εἰς ὕψος, ἧς ἡ κορυφὴ, ὑπεράνω τῶν νεφελῶν ὑψοῦται. (Συμεὼν τοῦ Μεταφραστοῦ.)

— Ταπεινὸς ἔσφαλε καὶ προσεπετίμησαν αὐτῷ· ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. (Σειράχ.)

— Καθάπερ ἀγγείων ὑγρὸν δεχομένων ὁ κενὸς ἀὴρ ἐκθλιβόμενος ὑπέξεισιν, οὕτως ἀνθρώπους πληρουμένους τῶν ἀληθινῶν ἀγαθῶν ἐνδίδωσιν ὁ τῦφος, καὶ γίνεται τὸ οἴημα μαλακώτερον, καὶ παυόμενοι τοῦ διὰ πώγωνα καὶ τρίβωνα φρονεῖν μέγα, τὴν ἄσκησιν ἐπὶ τὴν ψυχὴν μεταφέρουσι, καὶ τῷ δηκτικῷ καὶ πικρῷ χρῶνται πρὸς ἑαυτοὺς μάλιστα, τοῖς δ' ἄλλοις πραότερον ἐντυγχάνουσιν. (Πλουτάρχ.)

— Ταπεινοφροσύνη λαμπρὸν εὐγενείας χρῆμα· ψυχὴ γὰρ ὑπαρὰ μηδαμῶς ἑαυτῇ τεθαρρηκυῖα πανταχόθεν ἐρανίζεται ἀλαζονίας προφάσεις. — Δεῖ δὴ εἰδέναι ποιότητα καὶ βαθμοὺς ταπεινώσεως, μηδ' ἀποκρίνειν ἁπλῶς τῆς διαπύρου εὐλαβείας καὶ εὐσεβείας τὸ μετὰ ζήλου ἀρχικὸν κατὰ τῆς ἀντιστρατευομένης κακίας.

## ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

### Περὶ αὐταπαρνήσεως.

— Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. (Ματθ ιϛ'.24).

— Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ, εἰς αἰώνιον ζωὴν φυλάξει αὐτήν. (Ἰωάννης ιβ'. 25.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

### Περὶ συνειδήσεως.

(Ἴδε Τόμ. Α'. Κεφ. ΡΞς'.)

— *Βροτοῖς ἅπασιν ἡ συνείδησις Θεός.* (*Ποιητ. Γνωμ. 139* \\ eig.)

— *Τὸ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὡς καὶ ὁ Πίνδαρος λέγει.* (*Πλατ. Πολιτεία α'. 330.*)

— *Ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσήει· οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν ᾅδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχήν.* (*Πλάτ. Πολιτείας α'. 330* d.)

## ΚΕΦΑΛΑΙΟΝ Νς'.

### Περὶ πλούτου καὶ ἀγαθότητος.

— *Ἀγαθὸν ὄντα διαφερόντως παὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον.*

— *Οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί.* (*Πλάτ. νόμ. ε'. 743.*)

— *Δυσχερὲς πλουτοῦντα σωφρονεῖν.* (*Στοβ. Ἀνθολ. ε'. 1,146.*)

*Ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.* (*Ματθ. Ιθ'. 33—25 καὶ Μαρκ. Ι. 24 καὶ Τιμθ. Α'. ς'. 9, 10 καὶ Λουκὰ Ιη'. 24.*)

## ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

### Περὶ σωφροσύνας καὶ ἀκολασίας.

(Ἴδε καὶ Τόμ. Α'. Κεφ. ΡΚΕ')

— *Ὁ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ χειμῶνος διασώζων τὴν ναῦν κυμαινομένην, χαλινῶν τὴν φύσιν μυρίων ἀναρρήσεων καὶ μακαρισμῶν καὶ στεφάνων ἐστὶν ἄξιος. Ἡ γὰρ ἐν γήρᾳ σωφροσύνη οὐκ ἐγκρατείας ἐστίν, ἀλλ' ἀκολασίας ἀδυναμία.* (*Ἰσίδ. Πηλ. οη' 1384.*)

— *Ἡ ἐν τῷ γήρᾳ ἀρετὴ οὐκ ἂν κληθείη ἀρετή, ἀλλ' ἀδυναμία. Οὐκοῦν ἐν τῇ νεότητι μᾶλλον τὴν ἀρετὴν κατεργαστέον ἡμῖν, καὶ ἐν σώματι νέῳ πολιὸν ἐνδείκνυσθαι φρόνημα.* (*Νεῖλ. οθ'. 141.*)

— *Γῆρας εὐάρεστον ἐκ τῆς ἀναμνήσεως τῶν τῆς νεότητος πόνων.* (*Θεόδ. πγ'. 1208.*)

— *Σωφροσύνη δώρημα κάλλιστον θεῶν.* (*Εὐριπίδ. Μήδ. 632.*)

— *Οὐκ εἰκὸς ἐστι ἄνδρα τὸν σώφρονα εὔνοιαν φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα.* (*Ἡροδ. 7, 104.*)

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ μὲν σώφρων θεῷ φίλος· ὅμοιος γάρ. (*Πλάτ. νόμ. δ'. 716*)

— Τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. (*Αἰσχύλ. Ἀγαμεμ. 901*.)

— Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. (*Ρωμ. ιγ'. 13*).

— Ἀπόστρεψον ὀφθαλμόν σου ἀπὸ γυναικὸς εὐμόρφου, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον. (*Σειράχ.*)

— Ὥσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται ὁ ἀκόλαστος, καὶ ὥσπερ κύων ἐπὶ δεσμούς, ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. Σπεύδει δὲ ὥσπερ ὄρνεον εἰς παγίδα οὐκ εἰδὼς ὅτι περὶ ψυχῆς τρέχει. — Ἀποθέσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; Ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; Οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον οὐκ ἀθῳωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.— Πῖε ἀπὸ ὕδατος ἀλλοτρίου ἀπόσχου καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολλὴν ζήσῃς χρόνον, καὶ προστιθήσεταί σοι ἔτη ζωῆς. (*Σολομῶν.*)

— Θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος, τὸ μιᾶναι ἀνδρὸς γυναῖκα· πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν ἡμερῶν· οὗ ἂν ἐπέλθῃ ἐκ ῥιζῶν ἀπώλεσεν (*Ἰώβ.*)

— Ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία. Ἕως ἔστι σοι δύναμις κράτει τῆς ἁμαρτίας, τοῦτο γάρ ἐστιν ἀρετή· ἐὰν γὰρ ἀδυναμία σε παύσῃ τῆς ἁμαρτίας τῆς ἀσθενείας ἡ χάρις ἐπαινοῦμεν δὲ τοὺς κατὰ προαίρεσιν ἀγαθούς, οὐ τοὺς ὑπό τινος ἀνάγκης ἐξερχομένους. — Δεῖ οὖν τὸν νοῦν, ὥσπερ τινὰ κυβερνήτην, ἄνω καθήμενον τῶν παθῶν, καὶ οἱονεὶ πλοίῳ τῆς σαρκὸς ἐπιβάντα, καὶ ἐμπείρως τοὺς λογισμούς, ὥσπερ οἴακας περιστρέφοντα, καταπατεῖν μὲν γενναίως τὰ κύματα ὑψηλότερον δὲ διαμένοντα, καὶ δυσπρόσιτον ὄντα τοῖς πάθεσι, μηδαμοῦ τῆς ἀπ' αὐτῶν πικρίας, ὥσπερ ἅλμης τινὸς ἀναπίμπλασθαι. (*Βασιλείου.*)

— Ὥσπερ οὖν κυβερνήτης ἐν λιμένι ναυάγιον ἐργαζόμενος οὐκ ἂν τύχοι συγγνώμης τινός, οὕτως οὐδὲ ἄνθρωπος μετὰ τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ γάμου, τοὺς ἑτέρους διορύττων γάμους, ἢ γυναῖκα ἥντιναοῦν περιέργως ὁρῶν, οὐκ ἂν τύχοι τινὸς ἀπολογίας, οὔτε παρ' ἀνθρώποις, οὔτε παρὰ θεῷ. (*Χρυσόστομος*)

— Μακάριος ἄνθρωπος, ὃς οὐκ ὠλίσθησεν ἐν ὀφθαλμοῖς ὁ τοιοῦτος ἀεὶ τῇ ψυχῇ ὑγιαίνει. Μέγα γὰρ κακὸν μετέωρος ὀφθαλμός. — Μακάριος ἄνθρωπος ὁ βλέπων λείως καὶ οὐκ ἐμπαθῶς· γέγραπται γὰρ «πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσέχουσι κακοῖς· οἱ δ' ἀγαθοὶ ἡσυχίαν ἄγουσι». (*Συμεὼν μεταφραστής.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Κακὸν οὐδὲν φύεται ἀνδρὶ θεμέλια θεμένῳ σωφροσύνην καὶ ἁγνείαν.* (*Ξενοφῶντος.*)

— *Πατρὸς σωφροσύνη, μέγιστον τέκνοις παράδειγμα.* (*Δημοκρ.*)

— *Ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας. Ἐπεὶ τῆς ἀγαθοῖς ἀεὶ σύνεστι.* (*Εὐριπίδ.*)

— *Ἡ σωφροσύνη ἀπὸ τῆς μεσότητος σώζεται.* (*Ἀριστοτ.*)

— *Πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη.* (*Σωκράτης.*)

— *Ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι μείονος ἄξιαι γίγνονται, καὶ τὰ σώματα γ' κὖ τὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥαδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τούτου εἰς τὴν πονηρίαν πάλιν τρέπεται.* (*Ξενοφ. Κύρου Παιδεία 7, 5, 75.*)

— *Ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον.* (*Πλάτ. Πολιτ. 8 551, α'.*)

## ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

### Περὶ μετριοφροσύνης.

— *Οὐ μόνον ἐπὶ χρήμασιν ἔπαρσις γίνεται, οὐδὲ μόνον ταῖς ἀπὸ τῶν χρημάτων κομπώδεσι διαίταις τε καὶ περιβολαῖς ἐπαίρονται ἄνθρωποι . . ἀλλὰ καὶ χειροτονικοῖς ἀξιώμασιν ὑπὲρ φύσιν ὑψοῦνται. Εἰ δῆμος ἀξίωμα δῷ· εἰ τινος προεδρίας ἀξιώσειε, καὶ τὸ τῆς ὑπεροχῆς ἀξίωμα ψηφίσαιτο αὐτῷ· καὶ ἐνταῦθα δή, καθάπερ ὑπερβάλλοντες τὴν ἀνθρώπειον φύσιν, μόνον τὴν οὐκ ἐπὶ κεφαλῶν ἱδρῦσθαι νομίζουσι, πάτημα τοὺς ὑποκειμένους ἀνθρώπους ἡγούμενοι* (*Βασιλ. ὁ Μέγ. ὁμιλ. κ'. περὶ ταπεινοφροσ.*)

— *Μή μοι κόμπους ἐν λόγῳ σοφιστικούς . . . μηδὲ διαλέξεις ὑπερηφάνους καὶ βαρείας· ἀλλ' ἐν ἅπασιν ὑφαίρει τοῦ μεγέθους· χρηστὸς πρὸς φίλον, ἥπιος πρὸς τὸν οἰκέτην, ἀνεξίκακος πρὸς τοὺς θρασεῖς, φιλάνθρωπος πρὸς τοὺς ταπεινούς, παρηγορῶν κακουμένους, ἐπισκεπτόμενος τοὺς ἐν ὀδύναις, μηδένα καθάπαξ ὑπερορῶν, γλυκὺς ἐν εὐπροσηγορίᾳ, φαιδρὸς ἐν ἀποκρίσει, δεξιός, εὐπρόσιτος ἅπασι, μήτε σεαυτοῦ διεξιὼν ἐγκώμια, μήτε ἑτέρους λέγειν παρασκευάζων, μηδὲ λόγον ἄσεμνον ἀποδεχόμενος, ἐπικαλύπτων, ὅσα δυνατὸν τῶν πλεονεκτημάτων.* (*Βασ. Μεγ. ὁμιλ.κ'. περὶ ταπεινοφρ.*)

— *Χρή σε μὴ τῷ τῆς προεδρείας ἐπαιρόμενον ἀξιώματι τῶν ἐγκεχειρισμένων κατεξανίστασθαι, ὅπως μὴ καὶ τοῦ τῆς ταπεινοφροσύνης ἐκπέσῃς μακαρισμοῦ, καὶ τῷ τῶν τυφουμένων ἐγκλήματι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

καθυποβληθείης. Τύπον δὲ μᾶλλον ἑαυτὸν καθιστᾶν ταπεινοφροσύνης τοῖς ὁρῶσι, καὶ τούτους δι' ἔργων τὰς τοῦ Κυρίου ἐντολὰς παρορμᾶν ἐκπληροῦν· ὥστις πρῶτος ἐν ὑμῖν θέλει εἶναι ἔστω πάντων ἔσχατος. (Μάρκ. ι'. 44. Σύνταγμ. ἱερῶν κανόνων τόμ. ε'. σελ. 544.)

## ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

### Περὶ αἰδοῦς.

(Ἴδε Τόμ. Α'. Κεφ. ΡΟΒ'. καὶ ΡΟΓ'.)

— Συγγενῶς δὲ ἔχει πρὸς ἄλληλα καὶ οἰκείως κατὰ τὴν αἰδῶ καὶ τὸ κατ' αἰσχύνην πάθος, δι' ὧν ἀμφοτέρων ἡ ἁμαρτία κωλύεται, εἴπερ ἐθέλοι τις πρὸς τοῦτο χρήσασθαι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει. Μᾶλλον γὰρ τοῦ φόβου πολλάκις ἡ αἰδὼς πρὸς τὴν ἀποφυγὴν τῶν ἀτόπων ἐπαιδαγώγησεν· ἀλλὰ καὶ ἡ αἰσχύνη ἐπακολουθοῦσα τοὺς ἐλέγχους τοῦ πλημμελήματος, ἱκανὴ δι' ἑαυτῆς σωφρονίσαι τὸν ἁμαρτάνοντα πρὸς τὸ μὴ πάλιν ἐν τοῖς ὁμοίοις γενέσθαι. (Γρηγ. Νύσσ. μδ'. 649.)

— Καὶ ἔστιν, ὡς ἄν τις ὅρῳ τὴν διαφορὰν αὐτῶν ὑπογράψειεν, αἰσχύνη μὲν ἐπιτεταμένη αἰδώς, αἰδὼς δὲ τὸ ἔμπαλιν ὑφειμένη αἰσχύνη. Μᾶλλον δὲ κυριώτερον ἄν τις καθίκοιτο τῆς τῶν ὀνομάτων ἐμφάσεως εἰπών, αἰσχύνην εἶναι τὴν μετὰ τὴν πρᾶξιν τῶν κατεγνωσμένων ἐπιγινομένην αἰδῶ, αἰδῶ δέ, κατὰ τὸ ἀντίστροφον, τὴν πρὸ τοῦ γενέσθαι τι τῶν κατεγνωσμένων αἰσχύνην, δι' ἧς ἡ ὁρμὴ τῶν ἀπρεπῶν ἀνακόπτεται. Δείκνυται δὲ καὶ τῷ κατὰ πρόσωπον χρώματι ἡ τῶν παθῶν διαφορά τε καὶ κοινωνία. Ἡ μὲν γὰρ αἰδὼς ἐρυθήματι μόνῳ ἐπισημαίνεται, συμπαθόντος πως τῇ ψυχῇ τοῦ σώματος κατά τινα φυσικὴν διάθεσιν, καὶ τοῦ περικαρδίου θερμοῦ πρὸς τὴν ἐπιφάνειαν τῆς ὄψεως ἀναζήσαντος· ὁ δὲ αἰσχυνθεὶς ἐπὶ τῇ φανερώσει τοῦ πλημμελήματος πελιδνὸς γίνεται καὶ ὑπέρυθρος, τοῦ φόβου τὴν χολὴν τῷ ἐρυθήματι μίξαντος. (αὐτόθ. 649—652.)

— Τῶν δ' αὖ κακίστων μέμψις, αἰνετὸν πάθος.
Αἰδὼς δὲ συστολή τις ἔστ' αἴσχους φόβῳ.
Αἰδοῦς δὲ περιφρόνησις, ἡ ἰταμότης. (Γρηγ. Ναζ. λξ' 951.)

## ΚΕΦΑΛΑΙΟΝ Ξ.

### Περὶ πραότητος.

— Συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεως, τὸ δὲ θηριώδους. (Πιττακὸς παρὰ Στοβ. Ἀνθολ. ιθ'. 169.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέξοντα.* (*Πίνδαρ. Πυθ. 9, 169.*)

— *Ὁ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος*
*ὡς καὶ φιλήσων αὖθις.* (*Σοφ. Αἴας 660.*)

— (*Διογένης ἐρωτηθεὶς*) *πῶς ἀμυνοῦμαι τὸν ἐχθρόν ; αὐτός, ἐφη, καλὸς κἀγαθὸς γενόμενος.* (*Πλουτάρχ. περὶ τῆς ἐξ ἐχθρῶν ὠφελείας ς'. 327.*)

— *Ὅταν τις ἁμάρτῃ τι εἰς σέ, εὐθὺς ἐνθυμοῦ, τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε· τοῦτο γὰρ ἰδὼν ἐλεήσεις αὐτὸν καὶ οὔτε θαυμάσεις οὔτε ὀργισθείσῃ.* (*Ἀντωνῖνος ζ'. 26.*)

— *Ἀλλ' ἐγὼ εὐμενὴς καὶ εὔνους παντὶ καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, ἀλλὰ γνησίως καὶ χρηστῶς.* (*Ἀντωνῖνος θ'. 13.*)

— *Πραότητα μὲν οὖν καὶ ἀνεξικακίαν οὕτως ἔστιν ἐνεπιδείξασθαι ταῖς ἔχθραις. — εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει κίναιδον μηδὲ μαλακὸν κτλ. ἀλλ' αὐτὸς ἀνὴρ ἴσθι καὶ χρῶ φιλανθρώπως καὶ δικαίως τοῖς ἐντυγχάνουσιν.* (*Πλουτάρχ. περὶ τῆς ἐξ ἐχθρῶν ὠφελείας θ'.*)

— *Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας.* (*Ἀντων. ξ'. 22.*)

— *Ἀνέου ὑπὸ τῶν πλησίων μικρά.* — *Ἀγάπα τὸν πλησίον μικρὰ ἐλαττούμενος* (*Θαλῆς.*)

*Δοῦλον Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους.* (*Βα Ττθ.*)

*Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἐν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος.* (*Γαλτ. ς'. 1.*)

*Ἐπί τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ταπεινόν, καὶ τρέμοντά μου τοὺς λόγους.* (*Ἡσαΐ.*)

*Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.* (*Ψαλμὸς κδ'. 9.*)

*Οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν, καὶ καταφυτεύσουσιν ἐπὶ πλήθει εἰρήνης.* (*ψλ. λς'. 11.*)

*Πραΰθυμος ἀνήρ, καρδίας ἰατρός.* (*Παροιμ. ιδ'. 11.*)

— *Κρεῖσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖ τὰ σκύλα μετὰ ὕβρεως.* (*αὐτόθι ις'. 19.*)

*Τέκνον ἐν πραότητι τὰ ἔργα σου διεξάγαγε.* (*Σειρχ. γ'. 16.*)

*Τέκνον, ἐν πραότητι δόξασον τὴν ψυχήν σου.* (*αὐτόθι ι'. 31.*)

*Μηδείς σου περιφρονείτω· ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν πρὸς πᾶν ἔργον ἀγαθόν, ἑτοίμους*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς πᾶσαν ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους. (Τιτ. Β'. 15 — καὶ Γ. 1—3.)*

*— Πραότης, κατάστασις κινήσεως τῆς ὑπ' ὀργῆς· κρᾶσις ψυχῆς σύμμετρος. (Πλάτ. Ὅροι.)*

*— Μακάριοι οἱ πραεῖς ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. (Ματθαῖος.)*

*— Ρίζας γὰρ ἐθνῶν καθεῖλεν ὁ Κύριος, καὶ ἐφύτευσε πραεῖς ἀντ' αὐτῶν. (Σειράχ.)*

*— Ὁ πρᾶος εἶναι εἰκὼν τοῦ ἀκάκου καὶ πράου καὶ ταπεινοῦ Ἰησοῦ Χριστοῦ· ἡ πραότης εἶναι πλοῦτος ἀνεκδιήγητος· εἶναι ὄνομα θεϊκόν· εἶναι οὐράνιον χάρισμα· εἶναι κλίμαξ ἀναβιβάζουσα τὸν ἄνθρωπον εἰς τὸν οὐρανόν, ἡ δὲ ἀγριότης εἶναι ὁ χαρακτὴρ τῶν δαιμόνων καὶ κρημνίζει τὸν ἄνθρωπον εἰς τὸν ᾅδην. (Ἰω. Κλίμακος.)*

## Περὶ μακροθυμίας ἀνθρώπων.

(Ἴδε Τόμ. Α'. Κεφ Ν'.)

*Ἐλεήμων ἀνὴρ μακροθυμεῖ. (Παρ. Ιθ'. 11.)*

*Μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ὀργήν. (Βαρούχ. Δ'. 18.)*

*Ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον. (Σειράχ. Β'. δ.)*

*Πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπὶ ἐλεημοσύνῃ μὴ παρελκύσῃς αὐτόν. (Σειρὰχ κθ'. 8.)*

*Ἐν μακροθυμίᾳ εὐοδία βασιλέως. (Παροιμ. κε' 15.)*

*Καὶ ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν. (Σειράχ. Ε'. 18.)*

*Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. (Παρ. ιδ'. 31.)*

*Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ. (Παρ. ις'. 32.)*

*Ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύματι. (Ἐκκλ. Ξ. 9.)*

*Μακρόθυμος δὲ ἀνὴρ φρόνιμος. (Παρ. ιζ' 28.)*

*Ἕως καιροῦ ἀνθέξεται μακρόθυμος. (Σειράχ. Α'. 20.)*

*Ἡ ἀγάπη μακροθυμεῖ. (Α'. Κορινθ. ιγ'. 4.)*

*Μακροθυμεῖτε πρὸς πάντας. (Α'. Θεσ. Ε'. 14.)*

*(Ὁ Ἀβραὰμ) μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. (Ἑβρ. ς'. 14.)*

*Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου. (Ἰακώβ. ε'. 7.)*

*Ἀνὴρ θυμώδης παρασκευάζει μάχας, μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει. (Παροιμ. ιε'. 18.)*

## ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

## Περὶ φιλοτιμίας.

*— Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*φιλοτιμίας, παῖ ; Μὴ σὺ γ' ἄδικος ἡ θεός·*
*Πολλοὺς δ' εἰς οἴκους καὶ πόλεις εὐδαίμονας*
*Ἐσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων.* (*Εὐρ φοίν.*531.)

— *Ἡ φιλοτιμία πολὺν ἐκκαίει φθόνον καὶ σοφοῖς ἀνδράσιν.* (*Φιλοστρ. βίοι σοφιστ. 1, 8, 5.*)

— *Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους τῶν ἀνδρῶν, οὐ μόνον. . . . . ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ δόξης, ἢ περὶ βίου σπουδάζοντας.* (*Ἰσοκράτ.*)

— *Φιλότιμός ἐστιν ὁ μὴ διδοὺς ἀφορμὴν εἰς μέμψεις, οὐχὶ δ' ὁ δυσχεραίνων ταῖς δικαίως αὐτῷ γενομέναις.*

— *Αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, φαίνεσθαι δ' ἐκείνοις τἀναντία πράττοντας.*

## ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

### Περὶ φήμης. Ἤτοι ὀνόματος χρηστοῦ καὶ πονηροῦ.

— *Ἄμεινον ὄνομα ἀγαθὸν μύρου εὐώδους. Τὸ ἀγαθὸν ὄνομα, ὃ γεννᾶν οἶδε τὸ δένδρον τῆς ἐλεημοσύνης καὶ τῶν ἄλλων ἀρετῶν, οὐ τὸν ἔχοντα μόνον αὐτὸ δεικνυσιν ἱλαρὸν καὶ πᾶσιν ἐπέραστον, ἀλλὰ καὶ πρὸς ἄλλους πάντας ἀφίησι τὸ εὐῶδες καὶ τὸ ἡδὺ τῆς ἀγαθῆς ποιότητος καὶ προσιλαρύνει καὶ προσημεροῖ κἀκείνους . . . τῶν φειδωλῶν διαθέσεων, . . . . διὰ τῆς ἀγαθῆς φήμης πρὸς τὴν ἰδίαν ζήτησιν καὶ κτῆσιν προσεφελκόμενον. Ὡς τὸ ἐκ πολλῶν καὶ διαφόρων εἰδῶν ἀρωματικῶν κατασκευαζόμενον μῦρον, οὐ τοὺς πλησιάζοντας μόνον εὐωδιάζει καὶ πληροῖ τῆς ἰδίας τερπνότητος, ἀλλὰ καὶ πρὸς τοὺς πόῤῥω παραπέμπει τῆς εὐωδίας τὴν ὀσφρασίαν. Οὕτω καὶ συντιθέμενον ἐκ τῶν κατ' ἀρετὴν ἰδιοτήτων ὄνομα ἀγαθόν, οἷον ὀχήματί τινι τῷ ἀέρι χρησάμενον, διὰ τῆς ἀγαθῆς φήμης καὶ πρὸς τὰς πορρωτέρω παραπέμπει τὴν εὐωδίαν.* (*Γρηγορίου Ἀκραγαντ.*)

— *Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν.* —

— *Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς.* —

*Κτῆσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν.* (*Σολομῶντος.*)

— *Φρόντισον περὶ ὀνόματος καλοῦ· αὐτὸ γάρ σοι παραμενεῖ, ἢ χίλιοι μεγάλοι θησαυροί.* — *Ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, καὶ ἀγαθὸν ὄνομα εἰς τὸν αἰῶνα μένει.* — *Ὄνομα πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει.* — *Ὄνομα ἀνθρώπων οὐκ ἀγαθῶν ἐξαλειφθήσεται.* (*Σειράχ.*)

— *Πρόσεξε μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς ὄνομα αὐτῶν.* (*Συμεὼν τοῦ Μεταφραστοῦ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἡ γὰρ κακὴ φήμη κούφη μέν ἐστιν ὑπενεγκεῖν, κεντῶσα τοὺς ὑπ' αὐτῆς ἐπονειδίστους γινομένους, ἔτι δὲ ἀρξαμένην ταύτην παῦσαι χαλεπόν· εἰώθασι γὰρ οἱ ἄνθρωποι πολλαπλασιάζειν ἃς ἂν παραλάβωσι φήμας καὶ οὐ σμικρῶν ποιεῖν· κινδυνεύει δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀληθὴς εἶναι πᾶσα φήμη, ἣν λαοὶ πολλοὶ φημίσωσι, καὶ διὰ τοῦτο ἔχειν τι καὶ αὐτὴν θεῖον .... ὥστε εἰκότως δεῖ φυλάττεσθαι τὴν κακὴν φήμην. (Πλουτάρχ.)

— Τὸ μὲν εἶναι ἀφανές, μὴ τυχὸν τοῦ δοκεῖν· τὸ δὲ δοκεῖν, ἀσθενές, μὴ τυχὸν τοῦ εἶναι· παρὰ γὰρ τοῖς πολλοῖς καὶ τὸ δοκοῦν ἰσχὺν ἔχει, καὶ τὰ ἐκ τοῦ δοκεῖν ἀποβαίνοντα δυσχερῆ, δείκνυται οὐκ ὄντα ὀλίγα. (Γοργίου.)

— Ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. — Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους τῶν ἀνδρῶν ..... πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν μνήμην καταλείψωσιν. (Ἰσοκράτ.)

— Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ λαοὶ φημίζουσι. Θεὸς νύ τίς ἐστι καὶ αὐτή. (Ἡσιοδ. Ἔργ. 708.)

— Φήμη δημόθρους μέγα σθένει. (Αἰσχύλ. Ἀγαμέμν. 938.)

— Πλεῖστον διαφέρει φήμη καὶ συκοφαντία· φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ, διαβολὴ δὲ ἀδελφόν ἐστι καὶ συκοφαντία. (Αἰσχ.)

— Πρὸς ἡμᾶς αὐτούς ἐστι καὶ τὸ καλῶς καὶ τὸ κακῶς ἀκούειν. (Πλουτ. ἀποφθέγμ.)

— Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν, πειρῶ καλῶς πράττειν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν. (Στοβ. ἀνθολ. 1,52.)

## ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

### Περὶ πνευματικῶν καὶ ἐπιγινωσκόντων τὸν Θεόν.

Χείλη δικαίων ἐπίστανται ὑψηλά. (Παροιμ. ι'. 21.)

Ὁ πνευματικὸς ἄνθρωπος ἀνακρίνει τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. (α'. Κορνθ. β'. 15.)

Ὦ μὴ πάρεστι γνῶσις, τυφλός ἐστι καὶ μυωπάζων λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι ἁμαρτημάτων. (Β' Πέτρου α'. 9.)

Κρείττων ἡ πνευματικὴ συγγένεια τῆς σωματικῆς. (Ἰουστίνου.)

Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι· τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. (Ἰωάν. γ'. 6.)

Ὡς δὲ σώματος ἀγαθὸν ὑγεία, οὕτω ψυχῆς ἀγαθὸν γνῶσις θεοῦ, ὑγιεία τις οὖσα ψυχῆς καθ' ἣν πρὸς θεὸν ὁμοίωσις γίνεται. (Ἰουστίνου.)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*Τὸν πνευματικὸν ἀπόνηρον εἶναι χρὴ καὶ ἁπλοῦν, καὶ ἄδολον. (Χρυσοστόμ.)*

*Ὁ μὲν γνωστικὸς πάντως καὶ ἔργα ἀποτελεῖ καθήκοντα, ὁ δὲ τὰ ἔργα μὴ ἐπιτελῶν, οὐ πάντως καὶ γνωστικός ἐστιν. (Κλήμ.)*

*Τριῶν τούτων ἀνέχεται ὁ ἡμεδαπὸς φιλόσοφος, πρῶτον μὲν τῆς θεωρίας, ἔπειτα δὲ τῆς τῶν ἐντολῶν ἐπιτελέσεως, τρίτον, ἐνθεῶν ἀγαθῶν κατασκευῆς, ἃ δὴ συνελθόντα τὸν γνωστικὸν ἀποτελεῖ. Ὅ,τι δ' ἂν ἐνδέῃ τούτων, χωλεύει τὰ τῆς γνώσεως. (Στρμ.Βιβλ.β')*

*Πνευματικὸν καὶ γνωστικὸν τὸν αὐτὸν οἶδεν ὁ Ἀπόστολος, τὸν τοῦ ἁγίου πνεύματος μαθητήν. (»)*

*Ὁ γνωστικὸς θεόθεν λαβὼν τὸ δύνασθαι ὠφελεῖν, ὀνίνησι, τοὺς μὲν τῇ παρακολουθήσει σχηματίζων, τοὺς δέ, τῇ ἐξομοιώσει προτρεπόμενος, τοὺς δὲ καὶ τῇ προστάξει παιδεύων καὶ διδάσκων. (αὐτόθι.)*

*Καί μοι καταφαίνεται τρία εἶναι τῆς γνωστικῆς δυνάμεως τὰ ἀποτελέσματα· πρῶτον τὸ γινώσκειν τὰ πράγματα, δεύτερον τὸ ἐπιτελεῖν, τρίτον τὸ παραδιδόναι δύνασθαι θεοπρεπῶς τὰ παρὰ τῇ ἀληθείᾳ κεκρυμμένα. (αὐτόθι.)*

*Ὥσπερ πᾶν, ὃ βούλεται, δύναται θεός, οὕτω πᾶν ὅ,τι ἂν αἰτήσῃ ὁ γνωστικὸς λαμβάνει (»)*

*Ἕπεται τῇ γνώσει τὰ ἔργα, ὡς τῷ σώματι ἡ σκιά. (Αὐτόθι.)*

## ΚΕΦΑΛΑΙΟΝ ΞΔ'.

### Περὶ συμπεριφορᾶς.

— *Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ. Ὃν γὰρ πάντες φοβοῦνται, οὗτος πάντας φοβεῖται. (Ἰσοκρ.)*

— *Ἡδέως ἔχε πρὸς πάντας, χρῶ δὲ τοῖς βελτίστοις. (Ἰσοκρ.)*

— *Μεγάλου ὄντος τοῦ κατορθοῦν ἐν πράγμασι καὶ περιγίνεσθαι τῶν ἐχθρῶν ἐν ταῖς ἐπιβολαῖς, πολλῷ μείζονος ἐμπειρίας προσδεῖται καὶ φυλακῆς τὸ καλῶς χρήσασθαι τοῖς κατορθώμασι. Διὸ καὶ πολλαπλασίους ἂν εὕροι τις τοὺς ἐπὶ προτερημάτων γεγονότας, τῶν καλῶς τοῖς προτερήμασι κεχρημένων. (Πολύβ. 10, 36, 1—2.)*

— *Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν. — Μηδενὶ μηδὲν ὀφείλετε, εἰμὴ τὸ ἀγαπᾶν ἀλλήλους. (Ρωμ. ιγ'. 7—8).*

— *Ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει, αἶκε μένεις· πλείστην γὰρ ἔχει χάριν. — Αὐθάδης δὲ τρόπος πολλάκις βλαβερὰν ἐξέλαμψεν ἤτταν. (Βίαντος.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἵους περ τοὺ
ἄλλους περὶ ὑμᾶς ἀξιοῦτε γενέσθαι — Γίνου πρὸς τοὺς πλησιά
ζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. Τὸν μὲν γὰρ τῶν ὑπεροπτι
κῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τῶν ὁμιλητι
κῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. — Τῷ μὲν τρόπῳ γί
γνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλο
προσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορία
δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως τυγχάνειν. (Ἰσοκράτ.)

— Δεῖ θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους δ
αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶ
πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μ
περιυβρίζειν· τὸ δὲ μέγιστον, μήτ' ἐν ταῖς εὐπραγίαις περιχαρεῖ
μήτ' ἐν ταῖς συμφοραῖς περιλύπους εἶναι, μήτ' ἐν ταῖς ὀργαῖς ἐ
παθεῖς καὶ θηριώδεις. (Πλουτάρχου.)

—Εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέο
εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέο
εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς . . . . θαυμάζεσθαι τὴν Ἑλλάδ
πειρατέον εὖ ποιεῖν (Ξενοφ. Ἀπομν. βιβλ. β'. κεφ. Ι).

— Δεῖ δὲ τὸν κοινωνικὸν βουλόμενον εἶναι μὴ τοῦτο λογίζε
σθαι, εἴ τις εὖ πεπονθὼς παρ' αὐτοῦ, ἠγνωμόνηκεν· ἀλλὰ φρον
τίδα ποιεῖσθαι μεγίστην μή τινι δυνάμενος αὐτὸς ἐπαρκέσαι κατω
λιγώρησε· τοῦτο γὰρ προστετάγμεθα, κἀπὶ τούτῳ δικασθησόμεθα
φησὶ γάρ, μὴ εἰπῇς ἀπελθών, ἐπάνηκε καὶ αὔριόν σοι δώσω. (Νεο
φύτου Δούκα.)

— Ὀφείλομεν πάντες, φίλτρον οἱ γονεῖς πρὸς τὰ τέκνα, σέβα
καὶ εὐπείθειαν τὰ τέκνα πρὸς τοὺς γονεῖς, ὑπακοὴν πρὸς τοὺς ἄρ
χοντας οἱ ἀρχόμενοι, προστασίαν καὶ φιλανθρωπίαν οἱ ἄρχοντε
πρὸς τοὺς ἀρχομένους· ἀγάπην πρὸς τοὺς συγγενεῖς καὶ συμπολί
λας, οἱ συγγενεῖς καὶ συμπολῖται, δικαιοσύνην δὲ καὶ περιποίησι
καὶ βοήθειαν τὴν δυνατὴν οἱ πάντες πρὸς πάντας.

— Ὁ χρηστὸς ἄνθρωπος γίνεται ὠφέλιμος πρὸς πάντας κα
λόγῳ καὶ ἔργῳ· «Ἀπέναντι τοῦ τυφλοῦ οὐ προσθήσεις σκάνδαλον.
λέγει ἡ Π. Γραφή. «Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ, κα
ἐρεῖ πᾶς ὁ λαὸς γένοιτο. — Ἆρον πᾶν πρόσκομμα ἐκ τῆς ὁδοῦ ἡ
πορεύεται ὁ τυφλός.» Κατηραμένος ἐν ὀνόματι παντὸς τοῦ λαο
ὅστις ἀποπλανᾷ τὸν τυφλόν.» Ἀλλ' ἂν ἁμαρτάνῃ ὅστις μὴ ὁδηγ
τὸν σωματικῶς τυφλόν, πολὺ μᾶλλον πλημμελεῖ ὁ μὴ ὁδηγῶν τὸ
ψυχικῶς τυφλόν· δηλ. τὸν ἀσεβῆ τὸν ἀμαθῆ, τὸν ἐξ ἀγνοίας σφά
λοντα. Τόσῳ δὲ μᾶλλον ἔνοχός ἐστιν, ὅσῳ ἀσυγκρίτως τιμιωτέρ
ἡ ψυχὴ τοῦ σώματος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μακάριος ὅστις θεραπεύει τῆς μελέτης τὴν κατάχρησιν διὰ τῆς συνναστροφῆς, τὴν δὲ ὑπερβολὴν τῆς τῶν ἀνθρώπων κοινωνίας διὰ τῆς μονώσεως.— Ἡ κοινωνία διεγείρει τὴν ἐπιθυμίαν τῆς συνναστροφῆς, ἡ δὲ μόνωσις ἐπαναφέρει ἡμᾶς εἰς ἑαυτούς· αὕτη ἀπαλλάττει ἡμᾶς τῆς ἀηδίας τοῦ κόσμου.*

— *Οὔτε ὁ ἀδάμας πεσὼν εἰς τὸν βόρβορον ἀποβάλλει τὴν αὐτοῦ ἀξίαν, οὔτε ὁ κονιορτὸς ὑψούμενος εἰς τὸν ἀέρα τιμᾶται. Μὴ τιμῶμεν λοιπὸν τὸν ἄνθρωπον, μήτε καταφρονῶμεν ὡς ἐκ τοῦ ἐξωτερικοῦ μόνον σχήματος. Τὰ μικρὰ ἀγγεῖα περιέχουσιν ἐνίοτε εὐωδέστατα ἀρώματα, ἢ πολύτιμα κειμήλια Οἱ μικρόσωμοι, ὡς ἐπὶ τὸ πλεῖστον, ὑπερβαίνουσι τοὺς ὑψηλοὺς κατὰ τὴν εὐφυΐαν. — Ὁ ἄνθρωπος γίνεται δεκτὸς κατὰ τὸ ἔνδυμα, ἀλλὰ τιμᾶται ὕστερον κατὰ τὸ Πνεῦμα. (Διαφόρων λογίων.)*

— *Τίς οὖν οὐκ οἶδε ὅτι ἥμερον καὶ κοινωνικὸν ζῷον ὁ ἄνθρωπος, καὶ οὐχὶ μοναστικόν, οὐδὲ ἄγριον ; οὐδὲν γὰρ οὕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινωνεῖν ἀλλήλοις, καὶ χρῄζειν ἀλλήλων, καὶ ἀγαπᾶν τὸ ὁμόφυλον. (Μεγάλου Βασιλείου.)*

— *Οἷα πρὸς ἄλλου μὴ παθεῖν ὅλως θέλεις, τοιαῦτα καὶ σὺ μηδὲ δρᾶν ἄλλῳ θέλε. (Γρηγορίου τοῦ Θεολόγου.)*

## ΚΕΦΑΛΑΙΟΝ ΞΕ'.

### Περὶ αὐταρκείας.

*Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. (Τιμ. ς'. 8).*

*Ἡ αὐτάρκεια καὶ τροφὴ ἑστι, καὶ ἡδονὴ καὶ ὑγιεία. — Ὁ μὴ δεόμενος τῶν ἀλλοτρίων, ἀλλ' ἐν αὐταρκείᾳ ζῶν, νομίζω εἶναι πάντων εὐπορώτατος. — (Χρυσοστόμου.)*

*Ἡ εὐδαιμονία τῶν αὐτάρκων ἐστί. —Θεοῦ μὲν εἶναι τὸ μηδενὸς δεῖσθαι· τοῦδ' ὡς ἐλαχίστων ἐγγυτάτω Θεοῦ. — Τὸ μὲν γὰρ μὴ ζητοῦντι ἐπιτυχεῖν τινι τῶν δεόντων, εὐτυχίαν οἶμαι εἶναι. (Σωκράτους.)*

*Οὐκ ἔραμαι πλουτεῖν, ἀλλά μοι εἴη ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν. (Θεόγνιδος.)*

*Ἄριστος οἰκός ἐστιν ὁ τῶν περισσῶν μηδενὸς δεόμενος, καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος. (Πιττακοῦ.)*

*Πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας· οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. Νομίζω τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν, ἀλλ' ἐν ταῖς ψυχαῖς· ὁρῶ γὰρ πολλοὺς μὲν ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα, οὕτω*

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ᾧ πλείονα κτήσονται. (Ξενοφῶντος.)

Ὃς μὲν ἂν πολλὰ αἰτήσας, ἐλάττω ὧν ἤτησε λάβῃ, ζημιοῦται ἐν τούτῳ δοκῶν, ὡς μὴ πάσης ἐπιτυχὼν τῆς ἐλπίδος, ἀγανακτεῖ τῷ μὴ χαρισαμένῳ τὸ ὅλον· ὃς δ' ἂν πλείω τῶν αἰτηθέντων, τοὐναντίον κέρδος τὸ δαψίλευμα ἑαυτῷ οἰόμενος εἶναι, μείζω τὴν χάριν ἔχει τῷ δαψίλευσαμένῳ. Μὴ οὖν αἴτει πολλά, ἵνα μὴ δυοῖν θάτερον· ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ. (Νεοφύτου Δούκα.)

Οἱ χρεῶσται εὕρισκόν ποτε ἄσυλον τόν ἐν Ἐφέσῳ Ναὸν τῆς Ἀρτέμιδος. Ἀλλὰ καὶ ἡ φρόνησις, ὡς ἱερὸν τοιοῦτο προσφέρει τὴν αὐτάρκειαν. (Φιλοθέου.)

— Αὐτάρκης ἔσῃ, ἐὰν μάθῃς, τί τὸ καλὸν καὶ ἀγαθόν ἐστι· τρυφήσεις ἐν πενίᾳ καὶ βασιλεύσεις, καὶ τὸν ἀπράγμονα βίον καὶ ἰδιώτην οὐδὲν ἧττον ἀγαπήσεις ἢ τὸν ἐπὶ στρατηγίαις καὶ ἡγεμονίαις· οὐ βιώσῃ φιλοσοφήσας ἀηδῶς, ἀλλὰ πανταχοῦ ζῆν ἡδέως μαθήσῃ καὶ ἀπὸ πάντων· εὐφρανεῖ σε πλοῦτος, πολλοὺς εὐεργετοῦντα· καὶ πενία, πολλὰ μὴ μεριμνῶντα· καὶ δόξα, τιμώμενον καὶ ἀδοξία, μὴ φθονούμενον. (Πλουτάρχ. περὶ ἀρετ. 4.)

— Αὐτάρκεια, τελειότης κτήσεως ἀγαθῶν· ἕξις, καθ' ἣν οἱ ἔχοντες αὐτοὶ αὑτῶν ἄρχουσιν. (Πλάτ. Ὅροι.)

## ΚΕΦΑΛΑΙΟΝ ΞΣΤ'.

### Περὶ ἀγνοίας.

— Βούλονται οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν καλῶν καὶ ἄγνοιαν. (Πλουτάρ. Ἀρταξ. 28.)

— Ἄνθρωποι ὄντες ἀγνοοῦσι τὸ ἀληθές. (Λουκιανοῦ Jou. confut. δ. 246.)

— Ἀμφὶ δ' ἀνθρώπων φρεσὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται. (Πινδάρου.)

— Περὶ τῶν τοιούτων τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἀδύνατον. (Πλάτ. Φαῖδρ. 338.)

— Οὐ δυνατὸν εἰδέναι τῇ θνητῇ φύσει τῶν τοιούτων πέρι (Πλ. ἐπινομ. 702.)

— Καλὸν τὸ δύνασθαι τοῖς τῶν ἄλλων ἀγνοήμασι πρὸς διόρθωσιν χρῆσθαι παραδείγμασι. (Διοδ. Σικελ. 1, 1, 4.)

— Ὁπόσα ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρτάνουσι, πάντα ἀκούσια ταῦτ' ἐγὼ νομίζω. (Ξενοφ. Κυρ. Παιδ. 111, 1, 28.)

— Ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις ἐστίν· ὁπότε ὡς ἔοικε, λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντες, καὶ τόγε ἔσχατον, εὐχόμενοι ἡμῖν αὐτοῖς τὰ κάκιστα. Ὅπερ οὖν οὐδεὶς ἂν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰηθείη, ἀλλὰ τοῦτό γε πᾶς ἂν οἴοιτο ἱκανὸς εἶναι, αὐτὸς αὐτῷ τὰ βέλτιστα εὔξασθαι, ἀλλ' οὐ τὰ κάκιστα. Τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατάρᾳ τινί, ἀλλ' οὐκ εὐχῇ ὅμοιον ἂν εἴη. (*Πλάτ. Ἀλκιβ. Β'.*)

— Καὶ αὕτη ἐστὶν ἡ ἀμαθία ἡ ἐπονειδιστος ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ μή τις οἶδεν. (*Πλάτ. ἀπολογ. Σωκρ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

### Περὶ ἐλευθερίας καὶ δουλείας.

(*Ἴδε Τόμ. Α'. Κεφ. ΡΔ' καὶ ΡΕ'.*)

— Χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ, ἵνα μὴ ἐπονειδιστος γίνῃ. (*Σολομῶντος.*)

— Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν. — Δουλεύειν πάθεσι χαλεπώτερον ἢ τυράννοις. — Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα, καὶ ὑπὸ παθῶν κρατούμενον. (*Πυθαγόρου.*)

— Ἥμισυ γὰρ τ' ἀρετῆς ἀποαίνυται Εὐρύοπα Ζεὺς
ἀνέρος εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
(*Ὁμ. Ὀδύσσεια.*)

— Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
Κείνου 'στι, δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

— Κράτης τοῦ κρατοῦντος ἠλευθέρωσε Κράτητα. (*Κράτ.*)

— Ἄμεινον δουλεύειν ἐπιεικῶς, ἢ ἐλευθεριάζειν ἀναισχύντως.

— Ἐλευθερία ἀκρατῶς καὶ ἀμέτρως φερομένη, εὐαφαίρετος. (*Φιλοσόφων.*)

— Ὁσάκις δεσμεύομεν δι' ἀλύσεως τὸν πόδα τοῦ πλησίον ἡμῶν ἡ θεία δίκη ἀναρτᾷ ἀπὸ τοῦ τραχήλου ἡμῶν τὴν ἑαυτῆς ἅλυσον. (.....

— Φύσει γὰρ ἐχθροὶ οἱ δοῦλοι τοῖς δεσπόταις. (*Ἑρμογέν.*)

— Δυσμήχανον γὰρ ἀνθρώπους ἐλευθεριάζοντας
ἐν τεθμοῖς ἀρίστοις δούλους ἦμεν. (*Ἐπιμενίδ. πρὸς Σόλωνα.*)

— Ἐκ τῆς ἀκροτάτης ἐλευθερίας δουλεία πλείστη τε καὶ ἀγριωτάτη. (.....

## ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

### Περὶ ἀφοβίας.

— Ἀφοβία μεγίστη τὸ φοβεῖσθαι τοὺς νόμους. (*Συνεσ. ἐπιστ.*

— Καὶ τὴν ἀνδρείαν μοι δοκοῦσιν οὐκ ἀφοβίαν, ἀλλὰ φόβου ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν. Οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους θαρραλεώτατοι πρὸς τοὺς πολέμους εἰσί. (*Πλουτ. εἰς Ἄγιν καὶ Κλεομένην.*)



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ἀφοβία Θεοῦ ἡ ἀπιστία. Εἰ γὰρ σοφίας ἀρχὴ φό*
*ἀφοβία καὶ ἀθέτησις τοὐναντίον ἂν γένοιτο τῆς σοφίας.*
*π'. 952.)*

## ΚΕΦΑΛΑΙΟΝ ΞΘ'.

### Περὶ τόλμης καὶ θάρσους.

— *Πᾶσα τόλμη καὶ τὰ δυνάμεως ὑπερβαίνει μέτρ*
*Ρωμαῖος.)*

— *Τολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσιν ἦτορ ἔχοντα*
*Πρὸς δὲ θεῶν αἰτεῖν ἐκλυσιν ἀθανάτων.* (*Θεόγν*

— *Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.* (*Μένανδ*

— *Τὸ μὲν θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπ*
*βάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεσ*
*εὐιακτοτέρους ποιεῖ* (*Ξενοφ. Ἀπομνημ. 3, 5, 5.*)

— *Θαρρεῖν χρή, φιλε Βάττε, τάχ' αὖριον ἔσσετ' ἄμεινον*

— *Πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι κατὰ*
*νόων τὸ θράσος.* (*Αἴσωπ. μυθ. 75.*)

— *Ἔστι τὸ τολμᾶν, ὦ φίλ,' ἀνδρὸς οὐ σοφοῦ.* (*Μέ*

— *Θάρσος, ἀπροσδοκία κακοῦ· ἀνεκπληξία διὰ κακοῦ*
(*Πλάτ. Ὅροι.*)

## ΚΕΦΑΛΑΙΟΝ Ο'.

### Περὶ ἀνδρείας, δειλίας καὶ φόβου.

(*Ἴδε Τομ. Α'. Κεφ. ΡΛΕ'.*)

*Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν*
*μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν*
*καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.* (*Ματθαῖος ι'*

— *Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβ*
*Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσ*
*ριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθ*
*Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φο*
*κακὰ ὅτι σὺ μετ' ἐμοῦ εἶ.* (*Ψαλμ. κς'. 1—2.*)

— *Θάρσος καὶ θράσος κἂν τοῖς ὀνόμασι πλησιάζει,*
*ἀλλήλων τῇ δυνάμει κεχώρισται, ἀνδρίαν τε εἶναι φαμὲν*
*δρίαν· τὸ μὲν γὰρ ἐν τοῖς τολμητέοις θαρρεῖν, ἀνδρ*
*ὥσπερ τὸ ὑφίεσθαι δειλίας· ὅπου δὲ πλείων ὁ κίνδυνος*
*ρεῖν καὶ ὠθίζεσθαι, ἀλλὰ μὴ κατέχεσθαι θράσους, ὥσπε*
*χωρεῖν ἀσφαλείας.* — *Ἓν φοβηθῶμεν μόνον τοῦ φοβηθ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι, ἄνδρας δὲ αἱ πραγμάτων.* (*Θεολόγου*.)

*δυνατὸν τὸν ἀληθῶς φοβούμενον τὸν Θεὸν δειλίαν* ημένου τοῦ, *πλὴν Αὐτοῦ μὴ φοβοῦ ἄλλον* (*Διδύμου.*)

*δρία δ' ἔστι τὸ δυσέκπληκτον ὑπὸ φόβου τοῦ περὶ τὸν καὶ τὸ εὐθαρσὲς ἐν τοῖς δεινοῖς καὶ τὸ εὔτολμον πρὸς ύνους καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰ-θῆναι — Ἀνδρειότερος εἶναί μοι δοκεῖ, ὁ τῶν ἐπιθυ-τῶν πολεμίων κρατῶν· καὶ γὰρ χαλεπώτερόν ἐστιν ἑαυτόν,*

*δρεῖος οὐ μόνον ὁ κρατῶν τῶν πολεμίων, ἀλλὰ καὶ ὁ ῶν κρειττων ἀλλ' ὦ τῆς ἀνθρωπίνης ταλαιπωρίας, ὅτι λλάκις πολεμίων κρατοῦντες καὶ ἄλλων τινῶν, γυναιξὶν ιν.* (*Ἀριστοτέλους.*)

*ἡ μὴ τιμᾶν τὴν ἀνδρίαν τὴν μετ' ἀνοίας καὶ φιλοτιμίας ινομένην.* (*Ἰσοκράτ.*)

*χὴ γὰρ τοῦ νικᾶν τὸ θαρρεῖν.— Τὸ γὰρ ἐν χερσὶ τῶν πο-των φοβεῖσθαι τοὺς ἄρχοντας, ἀνδρίας ἅμα καὶ πειθαρ-εῖον. — Ἀρετὴ τοῖς ἀνστυχοῦσι μεγάλην ἔχει μοῖραν αἰ-παρὰ πολεμίοις· δειλία δέ, .. κἂν εὐποτμῇ, πάντη ἀτι-*(*Πλούταρχος.*)

*φιστοῦ τινος περὶ ἀνδρείας λέγοντος, Κλεομένης ἐγέ- δὲ εἰπόντος, Τί γελᾷς Κλεόμενες, περὶ ἀνδρείας λέγον-ον, και ταῦτα βασιλεὺς ὤν ; Ὅτι, ἔφη, ὦ ξένε, καὶ ἡ χε-περὶ αὐτῆς ἔλεγε, τὸ αὐτὸ ἂν ἐποίουν· εἰ δὲ αὐτός, πολ-ἶχον ἠρεμίαν.* (*Πλουτ. ἀποφθέγ.*)

*ηθειά μοι φαίνεται δηλουμένη τὸ νοεῖν μὲν ὅσα δεῖ φο-μὴ φυλάττεσθαι δ' ἃ δεῖ. — Τῆς δειλίας γὰρ αἰσχρὰ γί-να.* (*Μενάνδρου.*)

*δρίας οὐδὲν ὄφελος, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δί-τες γένοιντο, οὐδὲν ἀνδρίας δεήσονται. — Ὁ δὲ φόβος ωτέρους τε καὶ εὐπειθεστέρους, καὶ εὐτακτοτέρους ποιεῖ. ο δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσίν· ὅταν γὰρ δή-ν φοβῶνται, μεστοί εἰσιν ἀταξίας. Ἐπὰν δὲ ἡ χειμῶνα ους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, σιγῶσι καραδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ οἱ* (*Ἀγησιλάου.*)

*διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι ἁμαρτημάτων του.*)

*μὴ 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβεῖ.* (**Σοφοκλ.**)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Τοὺς ἀνθρώπους τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ἀνθρώπου ἐπιρρώννυσι. (Αἰσώπ. μυθ. 120.)

— Εἶς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ,
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ. (Σωσίθεος.)

— Οὔποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι
μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων. (Σοφ. Αἴας 1073)

— Δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ
σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο. (Σοφ Αἴας 1079 )

— Ὁ φόβος δεινὸς δοκεῖ συμφύλαξ εἶναι. (Ξενοφ.)

— Οὓς ἂν σφόδρα φοβηθῶσιν ἄνθρωποι, τούτοις καὶ παραμυθούμενοι ἔτι ἀντιβλέπειν δύνανται. (Ξεν. Κυρ. Παιδ. 3, 1, 33.)

— Ἔνιοι τῶν ἀνθρώπων διὰ φόβον ἐλαττόνων κινδύνων εἰς μείζονα κακὰ εἰσίασιν. (Αἰσωπ. μῦθ. 64.)

— Ἀνδρεία, ἕξις ψυχῆς ἀκίνητος ὑπὸ φόβου· θάρσος πολεμικόν· ἐπιστήμη τῶν κατὰ πόλεμον πραγμάτων· ἐγκράτεια ψυχῆς πρὸς τὰ φοβερὰ καὶ δεινά· τόλμα ὑπηρετικὴ φρονήσεως· εὐθαρσία ἐπὶ θανάτου προσδοκίᾳ· ἕξις διαφυλακτικὴ λογισμῶν ὀρθῶν ἐν κινδύνοις· ῥώμη πρὸς κίνδυνον ἀντίροπος· ῥώμη καρτερικὴ πρὸς ἀρετήν· ἠρεμία ψυχῆς περὶ τὰ δεινὰ καὶ θαρσαλέα κατὰ τὸν ὀρθὸν λόγον φαινόμενα· σωτηρία δογμάτων ἀδήλων περὶ τὰ δεινά, ἐμπειρία πολέμου· ἕξις ἐμμενητικὴ νόμου. (Πλάτ. ὅροι.)

— Οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι· καὶ τεθνάναι ἥκιστα αὐτοῖς ἀνθρώπων φοβερόν. (Πλάτ. Φαίδ.)

— Φόβος μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. (Θουκυδίδ. β'. 87.)

— Δειλία τοίνυν ἐστὶ διαφθορὰ δόξης ἐννόμου δεινῶν τε πέρι καὶ μή· ἡ ἄγνοια δεινῶν τε καὶ οὐ δεινῶν, καὶ οὐδετέρων. (Ἱεροκλ.)

— Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ' ἄπεισι, κἂν παρῶσ' ὅμως. (Εὐριπίδ.)

— Τῶν ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις. (Ξενοφ. Ἀπομν. β', 1, 28.)

— Αὐτός τι νῦν δρᾶ χοὔτω δαίμονας κάλει·
τῷ γὰρ πονοῦντι χὠ θεὸς συλλαμβάνει. (Εὐριπίδης.)

— Μεγάλα πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καταιρέεσθαι. (Ἡρόδ. 7, 50.)

— Ἴδιον ἀνδρὸς ἀγαθοῦ τὸ μετὰ κινδύνων τὰ καλὰ πράσσειν. (Πλουτ. Μάριος 14, 22.)

— Δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. (Πλουτ. Κρασσ. 26)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

### Περὶ φιλαδελφίας καὶ μισαδελφίας.

— Ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεόν, ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγαπᾶν; (Α'. Ἰωάν. δ'. 20).

— Περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε γράφειν ὑμῖν, αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. (Α'. Θεσσαλ. δ'. 9).

Πᾶς γὰρ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν. (Α'. Ἰωάν. γ' 15).

— Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; (Ψαλμ.)

— Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ἡ ὁμόνοια, ὥσπερ τεθεμελιωμένον βασίλειον. (Σολομ.)

— Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, εἰς τοῦτο γὰρ γεννῶνται.— Πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν, καὶ φιλίας μακράν ἐστιν (Σειράχ.)

— Ὁμονοούντων ἀδελφῶν συμβίωσις παντὸς τείχους ἰσχυροτέρα, (Ἀντισθένους.)

— Οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν. (Σοφοκλ.

— Οἱ ἀδελφοὺς παριέντες, καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. — Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ Θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἆλλα ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις· χεῖρες μὲν γάρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ φίλω ὄντε καὶ πολὺ διεστῶτε πράττετον ἅμα ἐπ' ὠφελείᾳ ἀλλήλοιν. (Σωκράτ.)

— Πολλοὶ τῶν ἀδελφῶν ἀμελοῦσιν· ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. — Τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν ὡς ἀδελφῷ; (Ξενοφῶντος.)

— Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν ὄντες, χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἰσιν· ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος, οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οὐκ ἔστιν ἀντίκτησις ἀδελφοῦ, ὥσπερ οὐδὲ χειρὸς ἀφαιρεθείσης.* — *Τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν, ἡ φύσις οὐ μακρὰν ἔθηκεν, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖστα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας ἐδίδαξεν· αὐτάς τε τὰς χεῖρας εἰς πολλοὺς καὶ ἀνίσους δακτύλους σχίσασα πάντων ὀργάνων ἐμμελέστατα καὶ τεχνικώτατα παρέσχεν.* (*Πλουτάρχ.*)

— *Ὁ μὲν οὖν Ἀρκαδικὸς μάντις ἀναγκαίως πόδα ξύλινον προσεποιήσατο, καθ' Ἡρόδοτον, τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ, καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἢ παλαίστρας ἑταῖρον, οὐδὲν ἔοικεν ἄλλο ποιεῖν, ἢ σάρκινον καὶ συμφυὲς ἑκουσίως ἀποκόψας μέρος ἀλλότριον προστίθεσθαι καὶ προσαρμόττειν.* — *Δεῖν οὖν μείζονα τιμὴν νέμειν ἀδελφοῖς ἢ ἑταίροις· δεῖν οὖν τὸν ἀδελφὸν τοῦ ἑταίρου ἐπὶ μείζονος ἄγειν σπουδῆς.* (*Πλουτ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

### Περὶ πένθους καὶ δακρύων.

— *Μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται.* (*Ματθαίου ε'. 4*).

— *Ὅπλα τῶν πενήτων ἐστὶ τὰ δάκρυα, δι' ὧν τὴν τῶν πλουσίων ἀσπλαγχνίαν αἰεὶ καταπολεμοῦσιν.* (*Χρυσοστ.*)

— *Ὥσπερ γὰρ ὑπὸ θερμότητος αἱ γεώδεις ἀναθυμιάσεις τῷ ἀπὸ τοῦ ἀνωτέρου ἀέρος ψύχει ἀναχθεῖσαι ἤδη εἰς σταγόνας συνίασιν ἐξ ὧν ὄμβροι, οὕτως ἐξ ἀγάπης κινηθὲν τὸ ὄμμα, ὡς ἂν τῷ ἀπὸ τῆς ἀθυμίας ὑπαντήσει ψυχῇ ἀποκύει τὰ δάκρυα.* (*Κερτησίου.*)

— *Τοῦτο γὰρ ἴδιον τῶν ὀφθαλμῶν, ἐν μὲν ταῖς μεγάλαις λύπαις καὶ θλίψεσι μὴ ἐκχέειν δάκρυον, ἐν δὲ ταῖς μετρίαις συμφοραῖς ἀφθόνως τὰ δάκρυα καταῤῥεῖν.* (*Λευκ.*)

— *Εἰ μὲν οὖν τὸ πένθος ἐστὶν ἀγαθόν, δεῖ ποιεῖν αὐτὸ ὡς πλεῖστον μέγιστον· εἰ δ' ὥσπερ ἡ ἀλήθεια ἔχει, κακὸν ὁμολογεῖται αὐτὸ εἶναι συστέλλειν καὶ ποιεῖν ὡς ἐλάχιστον, ὡς ἐξαλείφειν εἰς τὸ δυνατόν.* — *Τὸ δὲ φιλεῖν τὸν μεταλλάξαντα καὶ στέργειν οὐκ ἐν τῷ λυπεῖν ἑαυτούς ἐστιν, ἀλλ' ἐν τῷ τὸν ἀγαπώμενον ὠφελεῖν. Ὠφέλεια δ' ἔστι τοῖς ἀφαιρουμένοις ἡ διὰ τῆς ἀγαθῆς μνήμης τιμή. Οὐδεὶς γὰρ ἀγαθὸς ἄξιος θρήνων, ἀλλ' ὕμνων καὶ ἐπαίνων· οὐδὲ πένθους, ἀλλὰ μνήμης εὐκλεοῦς· οὐδὲ δακρύων ἐπωδύνων, ἀλλ' ἀστείων ἀπαρχῶν.* — *Τῷ μὲν ὀφθαλμιῶντι τὰς χεῖρας οὐκ ἐῶσι προσάγειν τὸν βουλόμενον· οὐδὲ ἅπτονται τοῦ φλεγμαίνοντος· ὁ δὲ πενθῶν κάθηται παντὶ τῷ προστυχόντι παρέχων ὥσπερ ῥεῦμα κινεῖν καὶ διεγείρειν τὸ πάθος.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Εἰ τὰ δάκρυα ἡμῖν τῶν κακῶν ἦν φάρμακον,*
*Ἀεὶ ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,*
*Ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον·*
*Νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει*
*Εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδὸν,*
*Ἐάν τε κλαίῃς, ἄν τε μή, πορεύεται·*
*Τί οὖν ποιεῖς πλέον ; Οὐδέν· ἡ λύπη δ' ἔχει,*
*Ὥσπερ τὸ δένδρον, τοῦτο καρπόν, τὸ δάκρυον.* ( . . . .

— *Οὐ τὰ δάκρυα φάρμακά ἐστι λύπης, τῆς δὲ λύπης καρπὸς τὰ δάκρυα· πικρᾶς πηγῆς πικρότερα νάματα. Ἔξελε τοίνυν τὴν αἰτίαν καὶ συνεξαίρεις τὸ ἀποτέλεσμα· τέθνηκεν ὁ παῖς ; μιμοῦ τὸν Σωκράτην, ὃς διαλεγόμενος πρὸς τοὺς μαθητάς, εἰπόντος τινὸς τεθνηκέναι αὐτῷ τὸν παῖδα, οὐ διέλιπεν· ἐπειδὴ δὲ τάχιστα προσαπέδωκε τῷ λύγῳ καὶ τὸ λειπόμενον, ἔφη· «Ἴωμεν ἀποδώσοντες τὰ νενομισμένα τῷ παιδί.* (*Νεοφύτου Δούκα*.)

— *Τὰ δάκρυα καθαρμός εἰσι τῆς ψυχῆς.*

— *Ψυχὴ ἄλγος ἴδιον κεκτημένη*
*Ἑτοιμοπαθής ἐστι πρὸς τὸ δακρύειν,*
*Ἄλλων λεγόντων καὶ στεναζόντων μέγα*
*Τὰς σφῶν ἑαυτῶν δυσμενεστάτας τύχας.* (*Νικήτα Εὐγενικοῦ 6,133.*)

— . . . . . *Τί τὸ πλέον εἰ καταταξεῖς*
*Δάκρυσι διγλήνους ὤπας ὀδυρόμενος ;* (*Θεοκρίτ. ἐπίγρ. 6*.)

## ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

### Περὶ ἀγνωμοσύνης.

— *Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην αὐτοῦ· τὰ κτήνη οἶδασι κοίτης τάξιν· νεοσσοὶ κόρακος πλανώμενοι πρὸς Κύριον κεκράγασι τὰ σῖτα ζητοῦντες. Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκε.* (*Ἡσαΐου α'. 3.*)

— *Οἶδα ἐγὼ πολλούς, οὐκ ἀκοῇ μαθών, ἀλλὰ τῇ πείρᾳ τοὺς ἀνθρώπους γνωρίσας, ἕως μέχρι μὲν ὁ βίος αὐτοῖς πρὸς εὐπορίαν διαμετρεῖται, καὶ ἐξ οὐρίας, τὸ λεγόμενον, χωρεῖ, μέσως γοῦν εἰ καὶ μὴ τελείως τῷ εὐεργέτῃ ὁμολογοῦντας χάριν· εἰ δέ που διὰ τὴν ἐναντίαν κατάστασιν περιτραπείη τὰ πράγματα, καὶ ὁ μὲν πλούσιος γέγηται πένης, ἡ δὲ ῥώμη τοῦ σώματος νόσος, ἡ δὲ δόξα καὶ ὑπερηφάνεια αἰσχύνη καὶ ἀτιμία, ἀχαριστοῦντες, βλάσφημα φθεγγομένους, ὀκνοῦντας τὴν προσευχήν, ὡς πρὸς χρεώστην βραδύνοντα τὸν Θεὸν σχετλιάζοντας, οὐχ ὡς πρὸς Δεσπότην ἀγανα-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτοῦντα διακειμένους. — Καὶ γὰρ οἱ ἀγνώμονες μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν οὓς πρὸ βραχέος ἴσα Θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν. (Χρυσοστ.)

## ΚΕΦΑΛΑΙΟΝ ΟΔ'.

### Περὶ χάριτος καὶ ἀχαριστίας.

— Ἂν μέν, ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. (Δημοσθ. Ὀλυνθ. 1, 12.)

— Ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν· ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι,
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ. (Σοφοκλ. Αἴας 520.)

## ΚΕΦΑΛΑΙΟΝ ΟΕ'.

### Περὶ ἀχαριστίας.

— Ἀχαριστία εἰς Θεὸν ἐπὶ τοῖς ἐλλειφθεῖσιν· ἐπειδὴ γὰρ παρακειμένων τῶν ἐκ Θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναγκαία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται. (Βασιλ. λα'. 252.)

— Λίαν σοι μέμφομαι ὅτι τέθνηκε παρὰ σοὶ ἡ χάρις, ἣν δεόμενος τότε ἀθάνατον ἔξειν διεβεβαιώσω. Ἴσθι τοιγαροῦν, ὅτι περιπεσὼν αὖθις συμφορᾷ, οὐχ ἕξεις τὸν ἀντιληψόμενον· βοηθῶν γὰρ ἀναγκαίως ἀποροῦσιν οἱ ἐπιλήσμονες ὄντες χαρίτων. (Ἰσίδ. οη'. 1369.)

— Πολλοὶ γὰρ οὐδὲ ταῖς εὐεργεσίαις ἀμείνους γίνονται, τοῦ φθόνου αὐτούς, οὗ φημι εἰς τὴν τῶν θηρίων (εἰσὶ γὰρ ἐν αὐτοῖς καὶ εὐποιΐῶν ἀμοιβαί), ἀλλ' εἰς τὴν τῶν δαιμόνων καταλέγοντος πληθύν, τὴν ποιεῖν μὲν βουλομένην οὐδὲν κάλλιστον, ἀλλὰ καὶ τοὺς βουλομένους ἐμποδίζουσαν (αὐτόθ. 1405.)

— Λίαν θαυμάζω τὴν ἀπληστίαν καὶ τὴν δουλοπρέπειαν τῶν ἀεὶ μὲν χάριν αἰτούντων, μὴ παρεχόντων δέ, καὶ τεκμήριον εἶναι τοῦθ' ἡγοῦμαι ἀνελευθέρου καὶ ἀκορέστου ψυχῆς. Ἡ μὲν γὰρ χάρις τοὺς λαμβάνοντας εἰς ὑπόχρεω καθίστησι ταπεινότητα, τοὺς δὲ παρέχοντας εἰς ἐλευθεροπρέπειαν αὔξειν πέφυκεν. Ἐλευθέριον γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ κατάρχειν εἰς ἕτερον χάριτος, οἰκετικὸν δὲ τὸ λαμβάνοντα χάριν ὑπεύθυνον ἀεὶ διὰ ταύτην διατελεῖν. Ἀναγκαίως γὰρ ὁ χάριτι δουλωθείς, καθάπερ ἄχθος ἔχων ἐπὶ κεφαλῆς, οὐ πρότερον ὀρθοῦται τὴν ψυχήν, οὐδὲ ἐπίσης πρὸς τὸν εὐεργετήσαντα βλέπει, πρὶν ἂν διαλύσηται τὸ χρέος. Ταῦτα δέ φημι, οὐ τοὺς ὄντως δεομένους μὴ αἰτεῖν χάριν νομοθετῶν, οὐδὲ συμβουλεύων τοὺς χειμαζομένους μὴ καταφεύγειν εἰς λιμένα· ἀλλ' οὐδὲ τοὺς ἔργῳ μὴ δυναμένους κἂν λόγῳ τὰς χάριτας ὁμολογεῖν ἀναγκάζων. Εἰ γὰρ καὶ χρὴ τὸν μὲν εὐεργετήσαντα ἐπιλανθάνεσθαι, τὸν δὲ εὐεργετηθέντα μεμνῆσθαι χάριτος, ἀλλ' οὐ τοῦτο νυνὶ φράσαι βούλομαι· ἀλλ' ἐκείνους αἰτοῦμαι τοὺς μηδενὸς μὲν δεομένους, διὰ δὲ φιλοχρηματίαν ἀεὶ μὲν λαμβάνειν σπουδάζοντας παρέχειν δὲ οὐ βουλομένους. Τοὺς μὲν γὰρ ἐν χρείᾳ τυγχάνοντας οὐκ ἄτοπον χάριν αἰτεῖν, τοὺς δὲ παρέχειν δυναμένους αἰτεῖν ἀτοπώτατον. Δύο γὰρ ἁμαρτάνουσι μέγιστα, ἓν μέν, αὐτοὶ διὰ πόθον ἀκόρεστον αἰτοῦντες ἕτερον δὲ καὶ τοῖς ὄντως δεομένοις ἀποκλείοντες τοὺς τῆς φιλανθρωπίας λιμένας· ἀναλίσκουσι γὰρ κακῶς τὰ καλῶς δοθῆναι ὀφείλοντα. (αὐτοθ. 1528—1529.)

## ΚΕΦΑΛΑΙΟΝ ΟΣΤ'.

### Περὶ ἀγνωμόνων καὶ ἀχαρίστων.

Δεινόν μοι ἡ ἀχαριστία καταφαίνεται· δεινόν μοι καὶ πάνδεινοι.

Δεινὸν τὸν εὐεργετηθέντα καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, πρὸς τῷ ἀχαρίστῳ, ἔτι καὶ ὕβρεως, καὶ ἀτιμίας κατάρξαι· δεινὸν μέν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν ἐστι κακόν, ἢ τῷ πάσχοντι· ὑπερβολὴ τοῦτό γε ἀγνωμοσύνης, τὴν φιλανθρωπίαν τοῦ εὐεργέτου ἀφορμὴν ἀχαριστίας ποιεῖσθαι.

Ὁρῶμεν πολλοὺς τῶν ἀνθρώπων μετὰ τὰς εὐεργεσίας, καθάπερ ἀνδραπόδων, οὕτω καὶ περιορῶντας τῶν εὐεργετησάντων, καὶ τὰς ὀφρύας ἀνασπῶντας κατ' αὐτῶν.

Ἀνταπεδιδόασί με πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν. (ψαλ γδ'. 14)

Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλόν με (ψαλ. ρη'. 3).

Ἄκουε Οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ, ὁ Κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δὲ μὲ ἠθέτησαν. (Ἡσαΐου Α'. 2).

Ἀχαρίστου ἐλπίς, ὡς χειμέριος πάχνη τακήσεται, καὶ ῥυήσεται, ὡς ὕδωρ ἄχρηστον.

Ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός, καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον· ξενιεῖς καὶ ποτιεῖς ἀχάριστον, καὶ πρὸς ἐπὶ τούτῳ πικρὰ ἀκούσεις. (Ἰωάν. Δαμασκηνοῦ τμ. Β. Σλ 368.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας ἀντλῶν τὰς χάριτας εἰς κενὸν ἐξέχεας (Κλεόβουλος ὁ Λίνδιος.)*

*Ὁ Πλούταρχος ἔφη· ἀχάριστον εὐεργετεῖν, καὶ νεκρὸν μυρίζειν, ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτόν ἐστι. (Πλουτάρ.)*

*Σιμωνίδης παρακληθεὶς ἐγκώμια ποιῆσαι χάριν ἄνευ ἀργυρίου εἶπε· δύο ἔχω κιβωτούς· τὴν μὲν χαρίτων, τὴν δὲ ἀργυρίου, καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω τὴν δὲ τοῦ ἀργυρίου χρησίμην. (Πλούταρχ.)*

*Πεφύκασί γάρ πως αἱ παρ' ἀξίαν εὐπραγίαι τοῖς ἀνοήτοις οὐκ εἰς εὔνοιαν ἐρεθίζειν, ἀλλὰ εἰς θράσος κατὰ τῶν εὐεργετούντων ἐπαίρειν. (Συνέσιος.)*

*— Ἔπεσθαι δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. (Ξενοφ. Κύρ. Παιδ. 1, 2, 7.)*

*— Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν ; οἱ δὲ ἐννέα ποῦ ; οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ ; (Λουκᾶς ιζ'. 17.)*

*— Πᾶσα μὲν γὰρ ὀνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή . . . . . Ὁ δὲ φίλος, κἂν εἰπεῖν δεήσῃ τὸ πρᾶγμα, μετρίως ἀπήγγειλε, περὶ αὑτοῦ δὲ εἶπεν οὐδέν. (Πλουτάρχου).*

*— Ὡς μέντοι λαμπρόν ἐστιν εὖ ποιεῖν, οὕτως ἀμειπτέον· ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτοὺς ἑτέρων, ἀνακοπῇ πρὸς εὐεργεσίαν. (τοῦ αὐτοῦ.)*

*— Τὸ ἀναμετρεῖν τοῦ εὐεργετοῦντος τοὺς χρόνους, μόναις ταῖς μοχθηροτάταις ἐπιφύεται ψυχαῖς. (Φιλοθέου Πάρεργα.)*

*— Ἄτοπον μέν, ἃ πεποίηκέ τις, μνημονεύειν πρὸς τοὺς εὖ πεπονθότας· αὐτοῖς τε γὰρ ἀγνωμοσύνην δοκεῖ προφέρειν, καὶ ἑαυτῷ ἀφαιρεῖ· ἀτοπώτερον δὲ κἀκείνους δυσχεραίνειν ἀκούοντας. (Νεοφ. Δούκα.)*

*— Δεινόν μοι ἡ ἀχαριστία καταφαίνεται· δεινόν μοι καὶ πάνδεινον. (Ἰωάν. Δαμασκηνοῦ.)*

*— Ἡ χάρις ἡ βραδύπους ἄχαρις χάρις. (Κλεόβουλος ὁ Λίνδιος.)*

*— Ἡ χάρις πρὸς εὐγνώμονας οὐδέποτε θνήσκει. (Κάτων Ρωμ.)*

*— Βεβαιότερος ὁ θράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων ἀμβλύτερος εἰδὼς οὐκ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. (Θουκυδ. 2,40.)

— Αἱ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. (Πλουτάρ. Πύρρος. 8.)

— Οὐκ ἔστιν ὅ, τι μᾶλλον ἄνθρωποι κεχαρισμένον Θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι παλαιὰς ἐπὶ νέαις δανεισθείσας χάριτας εὐμενῶς καὶ προθύμως ἐκτίνοντες. (Πλουτάρ.)

## Περὶ προκοπῆς πνευματικῆς.

(Ἴδε Τόμ. Α'. Κεφ. ΞΑ'.)

Ἔστιν οὖν τοῦ προκόπτοντος, οὐ μόνον δόντα τῷ φίλῳ, καὶ γνώριμον εὐεργετήσαντα, μὴ φράσαι πρὸς ἑτέρους, ἀλλὰ καὶ ψῆφον ἐν πολλοῖς θέμενον ἀδίκοις δικαίαν καὶ πρὸς ἐντευξιν αἰσχρὰν πλουσίου τινὸς ἢ ἄρχοντος ἀπισχυρισάμενον, καὶ δωρεᾶς ὑπεριδόντα, καί, νὴ Δία, διψήσαντα νύκτωρ καὶ μὴ πιόντα, ἢ πρὸς φίλημα καλοῦ ἢ καλῆς διαμαχησάμενον, ἐν ἑαυτῷ κατασχεῖν καὶ σιωπῆσαι. (Πλουτάρ.)

# ΚΕΦΑΛΑΙΟΝ ΟΖ'.

## Περὶ μίσους.

— Μισοῦμεν οὐ μόνον τοὺς ἐκφέροντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας, ἃ μὴ βουλόμεθα. (Πλουτάρ. ἀποφθέγ.)

— Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. (Ἰωάν. ιε'. 18.)

— Μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν (Ἀριστιπ παρὰ Διογεν. Λαερτ. β', 8, 9.)

# ΚΕΦΑΛΑΙΟΝ ΟΗ'.

## Περὶ ζήλου καὶ φθόνου καὶ βασκανίας.

Ζῆλος καὶ φθόνος ἐλαττοῦσιν ἡμέρας. (Σειράχ. λ. 26.)

— Ἀπὸ τῶν ζηλούντων κρῦψον τὴν βουλήν σου. (αὐτόθ. λξ'. 7.)

Ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν Δαυῒδ, καὶ ἔλεγον, ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαυῒδ ἐν μυριάσιν αὐτοῦ, καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαούλ· καὶ εἶπε· τῷ Δαυῒδ ἔδωκαν τὰς μυριάδας, κἀμοὶ τὰς χιλιάδας· καὶ ἦν Σαοὺλ ὑποβλεπόμενος τὸν Δαυῒδ ἀπὸ τῆς ἡμέρας ἐκείνης. (Α'. Βασιλ. ιη'. 6.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν, ὅτι ἐλεήμ
κρατήσει αὐτοῦ. (Πρμ.)

Φθόνῳ τετηκότι οὐ συνοδεύσω, ὅτι οὗτος οὐ κοινωνεῖ σοφ
(Σφ. Σολ. ϛ'. 23.)

Ὅπου ζῆλος καὶ ἐριθεία ἐκεῖ ἀκαταστασία, καὶ πᾶν φαῦ
πρᾶγμα. (Ἰακ. γ'. 16.)

Φυλαξώμεθα, ἀδελφοί, τὸ πάθος τοῦ φθόνου· μὴ κοινωνοὶ
ἔργων τοῦ ἀντικειμένου γενώμεθα, καὶ εὑρεθῶμεν τῷ αὐτῷ κ
καταδικαζόμενοι κρίματι· εἰ γὰρ ὁ τυφωθεὶς εἰς κρίμα ἐμπί
τοῦ Διαβόλου, πῶς ὁ φθονερὸς τὴν ἡτοιμασμένην τῷ διαβ
τιμωρίαν ἐκφεύξεται; φθόνου γὰρ πάθος οὐδὲν ὀλεθριώτερον
χαῖς ἀνθρώπων ἐμφυτεύεται· ὥσπερ γὰρ ἰὸς σίδηρον, οὕτω
φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει. (Βασίλειος.)

Οἱ κύνες τρεφόμενοι ἡμεροῦνται, οἱ λέοντες χειροήθεις γίνο
θεραπευόμενοι, οἱ δὲ βάσκανοι ταῖς θεραπείαις πλέον ἐξαγριοῦτ
Διατί ὁ Σωτὴρ ἐφθονεῖτο; διὰ τὰ θαύματα· τίνες ἦσαν αἱ θ
ματοποιΐαι; σωτηρία τῶν δεομένων· ἐτρέφοντο οἱ πεινῶντες,
ὁ τρέφων ἐπολεμεῖτο· ἠγείροντο οἱ νεκροί, καὶ ὁ ζωοποιῶν ἐ
καίνετο· δαίμονες ἐξηλαύνοντο, καὶ ὁ ἐπιτάσσων ἐπεβουλεύετο
προῒ ἐκαθαρίζοντο, καὶ κωφοὶ ἤκουον, καὶ τυφλοὶ ἀνέβλεπον,
ὁ εὐεργέτης ἐφυγαδεύετο· καὶ τὸ τελευταῖον θανάτῳ παρέδα
τὸν τὴν ζωὴν χαρισάμενον, καὶ ἐμαστίγουν τὸν ἐλευθερωτὴν
ἀνθρώπων, καὶ κατεδίκαζον τὸν κριτὴν τοῦ κόσμου. (τοῦ αὐτ

Οὐχὶ τῷ Αἰγυπτίῳ βασκαίνει ὁ Σκύθης, ἀλλὰ τῷ ὁμοεθνεῖ
στος, καὶ ἐν τῷ ἔθνει μέν τοι οὐ τοῖς ἀγνοουμένοις φθονεῖ, ἀ
τοῖς συνηθεστάτοις, τοῖς γείτοσι καὶ ὁμοτέχνοις, καὶ τοῖς ἄλ
οἰκείοις πάλιν καὶ ἡλικιώταις, καὶ συγγενέσι, καὶ ἀδελφοῖς·
ὅλως ὥσπερ Ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτω κ
φθόνος φιλίας ἐστὶν ἀρρώστημα. Τὰ τοῦ φθόνου κινήματα, οὐ
λυποῦντα τὸν βασκαινόμενον, αὐτοῦ πληγαὶ γίνονται τοῦ βα
νου. Τίς λυπούμενος ἠλάττωσέ ποτε τὰ τοῦ πλησίον καλά; ἑα
μέντοι προσανήλωσε ταῖς λύπαις κατατηκόμενος. (τοῦ αὐτοῦ.)

Ἴδιον κακία τοῦ διαβόλου ὁ φθόνος, πάθος ἐκλαληθῆναι
δυνάμενον, καὶ ἰατρείαν μὴ ἐπιδεχόμενον· ὁ κεφαλὴν ἀλγῶν, λ
τῷ ἰατρῷ τὴν κεφαλαλγίαν, ὁ δὲ φθονῶν τί εἴπῃ; λυπεῖ μὲ
τοῦ ἀδελφοῦ ἀγαθά· ἡ μὲν ἀλήθεια αὕτη· τὰ δὲ ῥήματα κοινο
σαι αἰσχύνεται· τί στενάζεις; ἴδιον κακὸν ἡ ἀλλότριον ἀγαθ
(τοῦ αὐτοῦ.)

Τοὺς μὲν γὰρ κύνας τρέφοντες ἡμεροῦμεν, τὸν δὲ βάσκα
εὐεργετοῦντες, χαλεπώτερον ἀπεργαζόμεθα· οὐ γὰρ χαίρει, ἐφ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

άθη χρηστοῖς, ἀλλὰ λυπεῖται τῇ σῇ εὐπορίᾳ· μὴ τοίνυν ἐμ-
ς εἰς τὴν παγίδα τοῦ διαβόλου. (τοῦ αὐτοῦ.)

Χάρις φθονεῖσθαι, τὸ φθονεῖν δ' αἶσχος μέγα.
Ὑψοῦ βάδιζε, τὸν φθόνον δ' ἔα κάτω. (*Γρηγ. Ναζηαν.*)

ί ἂν γένοιτο τῶν βασκάνων ἐλεεινότερον; ἐξὸν καὶ χαίρειν,
κερδαίνειν διὰ τὴν χαράν, οὗτοι καὶ λυπεῖσθαι αἱροῦνται
λον ἐπὶ ταῖς ἑτέρων εὐδοκήσεσι, καὶ μετὰ τῆς λύπης ἔτι, καὶ
σιν ἐπισπᾶσθαι παρὰ θεοῦ, καὶ τιμωρίαν ἀφόρητον. (*Χρυστμ.*
ὁ φθόνος, πάθους πεπληρωμένος, ὦ φθόνος, πῦρ μὴ σβεννύ-
ον, ὦ φθόνος ἐπὶ τὸν φθονοῦντα τὴν βλάβην ἄγων· καὶ κα-
ερ ὁ σκώληξ τὸ ξύλον διαφθείρει, οὕτω καὶ ὁ φθόνος· τὸν
φθονοῦντα διατήκει, τὸν δὲ φθονούμενον λαμπρότερον κατα-
άζει. (ὁ αὐτός.)

μήχανον ἐν εὐπραγίαις φθόνον διαφυγεῖν.
ὐδὲν μιαρώτερον τοῦ ἐπὶ ταῖς ἀλλοτρίαις εὐημερίαις δάκνεσθαι,
ρίεσθαι καὶ τήκεσθαι· οὐδὲν χαλεπώτερον, οὐδὲν ἀθλιώτερον
ἐπισπᾶσθαι τῆς βασκανίας τὸ πάθος, καὶ καταδαπανᾶσθαι τῷ
καὶ τῷ φθόνῳ. (ὁ αὐτός.)

έγεις· ἐξ ὅλης τὸν Θεὸν παρακαλεῖς καρδίας ῥυσθῆναι ἀπὸ
τῆς ἡδυπαθείας ἐνθυμημάτων καὶ παθῶν. Οὐκοῦν τὸν αὐ-
τρόπον ὁλοψύχως τὸ κρεῖττον ἱκέτευε, ἀπαλλαγῆναι βασκανίας
φθόνου πλέον γὰρ εἰς τοῦτο νεύει, τὸ ἐπάρατον πάθος.
ὐτός.)

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου ἐν τῷ κατευο-
ιένῳ ἐν τῇ ὁδῷ αὐτοῦ· ἐν ἀνθρώπῳ ποιοῦντι ἀνομίαν, μὴ
αζήλου, ὥστε πονηρεύεσθαι· ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευ-
ονται. (*Ψλ. λς'.*)

Μὴ ζηλούτω σου ἡ καρδία τοὺς ἁμαρτωλούς. (*Πρμ. κγ'. 17.*)
εἰ μὴ ζηλώσῃς κακοὺς ἄνδρας μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐ-
(» κδ'.)

Μὴ χαῖρε ἐπὶ κακοῖς, μηδὲ ζήλου ἁμαρτωλούς. (αὐτόθι.)
Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλῶν. (*Σειρχ. θ. 19.*)
ηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. (*Α. Κορινθ. ιβ'. 31.*)
— Φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει τῶν μὲν λοιδοριῶν καὶ τῶν
γοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι.
μοσθ.)

— Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κα-
συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις τὸν βίον
αιτο διάγειν. (*Ἰσοκράτης.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἱκανὸς καὶ εἷς ἄνθρωπος, ζήλῳ πεπυρωμένος, ὁλόκληρον διορθώσασθαι δῆμον. (Χρυσοστ. εἰς ἀνδρ. 1, 22.)

— Εἶπεν ὁ Κύριος, ὑπόδειγμα δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε ἀλλήλοις (Ἰωάν. ιγ'. 15).

— Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ (Α' Κορ.δ'.16)

— Ἀγαπητέ,μὴ μιμοῦ τὸ κακόν,ἀλλὰ τὸ ἀγαθόν (Γ'. Ἰωάν.ε'.11).

— Ἅγιοι ἔσεσθε ὅτι Ἅγιός εἰμι. (Λευϊτ. θ'. 2)

— Καὶ κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε. (Α'. Πέτρ. α'. 15).

— Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν. (Σολομῶντος.)

— Ἐὰν ἴδῃς ἐθνικὸν βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιμελούμενον, πλέον σεαυτοῦ τὸ σπουδαῖον ἐπίτεινον, ἵνα γένοιτο παραπλήσιος τῇ καρποφόρῳ συκῇ, ἐκ τῆς τῶν ἀγρίων παρουσίας συναθροιζούσῃ τὴν δύναμιν· καὶ τὴν μὲν ῥύσιν ἐπεχούσῃ, ἐπιμελέστερον δὲ τοὺς καρποὺς ἐκτρεφούσῃ, πρόσεχε δέ, μὴ ἐκ τῶν θολερῶν ναμάτων τῆς περὶ τῶν θείων δογμάτων οὐκ ὀρθῆς δόξης καὶ διδασκαλίας αὐτοῦ πίῃς λαθών. Ἀλλ' ὥσπερ οἱ τὰ ῥόδα συλλέγοντες, τῶν μὲν ἀνθέων ἐπιλαμβανόμενοι, τὰς δ' ἀκάνθας ἀπορρίπτουσι, ταύτας ἀποστρεφόμενοι οὕτω ποίει (Βασιλ.)

— Ἐγκωμιάζονται δίκαιοι, οὐχ ἵνα αὐτοὶ ἔπαινον λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαινων διαναστῶμεν πρὸς μίμησιν. (Χρυσοστ.)

— Ὧν τὰς δόξας ζηλοῖς μιμοῦ τὴς πράξεις. (Ἰσοκρ.)

## ΚΕΦΑΛΑΙΟΝ Οθ'.

### Περὶ φθόνου.

— Ὁ γὰρ φθόνος οὐκ ἀηδῶς τῷ τὰ μείζονα παραιτουμένῳ τὰ μετριώτερα δίδωσι. — Καθάπερ αἱ καυθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι συκῷ καὶ τοῖς εὐθαλέσι ῥόδοις, οὕτως ὁ φθόνος ἅπτεται τῶν χρηστῶν καὶ αὐξανομένων πρὸς ἀρετὴν καὶ δόξαν. — Ὥσπερ ὁ ἥλιος ὢν ἂν ὑπὲρ κορυφὴν γένηται καταχεόμενος τὸ φῶς, ἢ παντάπασι τὴν σκιὰν ἀνεῖλεν, ἢ μικρὸν ἐποίησεν, οὕτω καὶ τῶν εὐτυχούντων ὕψος λαβόντων καὶ γενομένων κατὰ κεφαλῆς ὁ φθόνος συστέλλεται καὶ ἀναχωρεῖ καταλαμπόμενος. — Φθόνος τοίνυν μετὰ βασκανίας καὶ δυσμενείας, οὐδενὶ μὲν ἔργῳ παρών, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς, κακίστοις δὲ ἀκροωμένῳ πάρεδρος καὶ σύμβουλος, ἀνιαρὰ καὶ ἀηδῆ καὶ δυσπρόσδεκτα ποιῶν τὰ ὠφέλιμα, διὰ το πᾶσι μᾶλλον ἥδεσθαι τοὺς φθονοῦντας ἢ τοῖς εὖ λεγομένοις. (Πλουτάρ.)

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

— Τῆς πολιτικῆς, ὑγιῶς μὲν ἐχούσης, ἔργον χαίρειν μετὰ χαιρόντων κλαίειν δὲ μετὰ κλαιόντων· τοῦτο δὴ τὸ τοῦ Ἀποστόλου· πονηρῶς δὲ καὶ φθονερῶς τοὐναντίον, κακῶς μὲν πράττουσι τοῖς ὁμόροις ἐφήδεσθαι, ἐπιβουλεύειν δὲ αὐτοῖς εὐπραγοῦσι· τὸ γὰρ τοῖς ἄλλοις εἶν' ἀπὸ τῆς τύχης δοκεῖν ἅπαντᾶν, τοῦτ' οἴονται εἶναι ἑαυτοῖς δυστυχεῖν. (Νεοφύτου Δούκα.)

— Ὁ φθονερὸς αὑτῷ πολέμιος καθίσταται.
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί. (Μενάνδρου.)

— Ὁ φθονερὸς ἐν ἑαυτῷ τοῦθ' ἓν ἐπιεικῶς ποιεῖ,
τὸν αἱρετιστὴν ὄντα τῶν αὐτοῦ τρόπων
λυμαίνεται μάλιστα διὰ παντὸς συνών. (Φιλήμονος.)

— Ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος. (Κράτητος.)

— Εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ. (Εὐριπίδου.)

— Ὁ φθονέων ἑαυτὸν ὡς ἐχθρὸν λυπέει. (Δημοκρίτου.)

— Τίς ἄρα μῆτερ ἦ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον; . .
παθῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων. (Εὐριπίδ.)

— Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τάδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν. (Αἰσχύλου.)

— Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει. (Αἰσχύλου.)

— Τοσούτῳ δέ εἰσιν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὑτῶν συμφοραῖς ἀλγοῦσιν· οἱ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς, καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν. (Θεοφράστου.)

— Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσί ἐστι. (Ἰσοκράτ. Εὐαγόρα.)

— Καὶ διπλᾶ τῶν ἄλλων οἱ φθονεροὶ κακοῦνται· οὐ γὰρ μόνον τοῖς οἰκείοις κακοῖς ἄχθονται, ὥσπερ ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς (Πλουτάρχου.)

— Ἀνδρὶ ἀγαθῷ εὖ πρήσσοντι φθονέων τις, καὶ πατρίδι καὶ παντὶ τῷ κοινῷ καὶ ἑαυτῷ φθονέει. Ἀνὴρ ἀγαθὸς εὖ πρήσσων πόλιος καὶ παντός, τοῦ δυναμένου τῆς εὐμοιρίης αὐτοῦ μεταλαγχάνειν. (Εὐσεβίου.)

— Φθόνος ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. (Ἡροδ. γ'. 80.)

Φθόνος γὰρ οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον.

Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένους ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

Θεοῦ διδόντος οὐκ ἰσχύει φθονος, καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος. (Συνέσιος καὶ Γρηγ. Θεολόγ.)

Τί τούτου χαλεπώτερον γένοιτ' ἂν τοῦ πάθους; οὐκ ἄν τις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμάρτοι τοῖς τοῦ διαβόλου γέννημα εἰπών· ὥσπερ γὰρ τῷ ἀγαθῷ ἡ ἀφθονία ἕπεται οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. Διὰ τοῦτο ἁπάσης ἀπεστέρηται συγγνώμης· ταυτί τὸ ἁμάρτημα· ὁ μὲν γὰρ πόρνος ἔχει τὴν ἐπιθυμίαν εἰπεῖν, καὶ ὁ κλέπτης τὴν πενίαν, ὁ δὲ ἀνδροφόνος τὸν θυμόν, ψυχροὺς μὲν καὶ ἀλόγους, ὅμως ἔχουσί τινὰς προφάσεις εἰπεῖν, σὺ δὲ ποίαν αἰτίαν ἐρεῖς, εἰπέ μοι; οὐδεμίαν οὐδαμόθεν, ἀλλ' ἢ πονηρίαν ἐπιτεταμμένην μόνην ..... πᾶσαν βασκανίαν ἐκβάλλωμεν καὶ μήτε τοῖς μείζονα χαρίσματα ἔχουσι φθονῶμεν, μήτε καταφρονῶμεν τῶν ἐλάττονα κεκτημένων· οὕτω γὰρ ὁ Θεὸς ἠθέλησε, μὴ τοίνυν αἰτιασώμεθα. (*Χρυσοστόμ.*)

— Ὁ ἀφθόνητος οὐκ ἐπίζηλος πέλει. (*Αἰσχυλ. Ἀγαμέμν. 939.*)

— Παντάπασι πονηρᾶς φύσεως καὶ κακίας σημεῖον ἐστιν ὁ φθόνος, καὶ οὐκ ἔχει πρόφασιν, δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. (*Δημοσθέν.*)

— Ὥσπερ ἡ ἐρυσίβη ἰδιόν ἐστι τοῦ σίτου νόσημα,
Οὕτω φθόνος φιλίας ἐστὶν ἀρρώστημα. (*Περιάνδρ. παρὰ Στοβ. Ἀνθολ. 38,52.*)

— Φθόνος τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον. (*Θουκυδ. 2, 45.*)

— Φθόνος, λύπη ἐπὶ φίλων ἀγαθοῖς ἢ οὖσιν, ἢ ποτε γεγενημένοις. (*Πλάτ. Ὅροι.*)

— Τί ζητεῖς φθονερέ; τὸ ἴδιον κακόν, ἢ τὸ ἀλλότριον ἀγαθόν; ὥσπερ ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία. (*Βασιλείου.*)

— Μὴ φθονεῖτε τοῖς πρωτεύουσιν, ἀλλ' ἀμιλλᾶσθε, καὶ πειρᾶσθε, χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες, ἐξισοῦσθαι τοῖς παρέχουσιν. (*Βασιλ.*)

— Νέμεσις περὶ ἀγαθά, ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ, ὄντι λύπη τις. Νεμεσητικὸς οὖν ὁ ἐπὶ τούτοις λυπητικός. Καὶ αὐτὸς πάλιν οὕτως λυπήσεται, ἂν τινα εἴδῃ καλῶς πράσσοντα, ἀνάξιον ὄντα· ὁ δὲ φθονερός, ἄν τε ἄξιός τις ᾖ, ἄν τε μὴ τοῦ εὖ πράττειν λυπηθήσεται. (*Ἀριστοτέλους.*)

— Κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων καὶ ἀοιδὸς ἀοιδῷ. (*Ἡσιόδου.*)

— Ὁ φθόνος ῥίζα πάντων τῶν κακῶν, ἡ πηγὴ παντὸς εἴδους συμφορᾶς, τὸ φυτώριον τῶν ἀνοσιουργημάτων.

— Ὁ τῶν ἀλλοτρίων πόθος οὐδόλως χωρεῖ ἐν τῇ καρδίᾳ τοῦ ἀληθοῦς σοφοῦ. (. . .

Φθόνος τὸν Ἑωσφόρον ἐσκότησε καταπεσόντα δι' ἔπαρσιν· οὐ γὰρ ἤνεγκε θεῖος ὢν μὴ καὶ θεὸς νομισθῆναι» (*Γρηγορίου*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ναζιανζ. λόγος εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸν τῆς Καθέδρας Κων)πόλεως σελὶς 467 τόμος 1.)*

*«Λύπη γάρ ἐστι τῆς τοῦ πλησίον εὐπραγίας ὁ φθόνος» Βασιλείου Ὁμιλία ια'. περὶ φθόνου.)*

*«Ὥσπερ γὰρ ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει· μᾶλλον δὲ ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν κυήσασαν αὐτὰς γαστέρα διεσθιούσας ἀπογεννᾶσθαι, οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν αὐτὸν ψυχὴν πέφυκε δαπανᾶν.» (αὐτόθι.)*

*«Ὁ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθόνος φθισικὸν πεποίηκε, καὶ ποιήσει καὶ ποιεῖ ψυχῆς πονηρᾶς δυσσεβὴς παραστάτης» (Μενάνδρου.)*

*«Παντάπασι φύσει κακίας σημεῖόν ἐστιν ὁ φθόνος καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς.» (Δημοσθένης πρὸς Λεπτίνην 140.)*

*«Δοῦλοι δή πως καὶ αὐτῷ τῷ προσώπῳ τυγχάνουσιν οἱ φθονοῦντες· ὄμμα τούτοις ξηρὸν καὶ ἀλαμπές, παρειὰ κατηφής, ὀφρὺς συμπεπτωκυῖα, ἡ ψυχὴ τῷ πάθει συγκεχυμένη, τὸ τῆς ἀληθείας κριτήριον ἐπὶ τῶν πραγμάτων οὐκ ἔχουσα, (Μ. Βασιλείου ὁμιλία ια'. περὶ φθόνου.)*

*«Φθόνος τὸ πάντων τῶν παθῶν ἀδικώτατον ἅμα καὶ δικαιότατον· τὸ μὲν ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς, τὸ δὲ ὅτι τήκει τοὺς ἔχοντας» (Ναζιανζηνὸς Γρηγόριος ἐν τῷ ἀνωτέρῳ λόγῳ αὐτοῦ.)*

## ΚΕΦΑΛΑΙΟΝ Π'.

### Περὶ βασκανίας καὶ φθόνου.

*— Τὸ βασκαίνειν χεῖρόν ἐστι τοῦ πολεμεῖν. Ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰτίας λυθείσης, δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν, ὁ δὲ βάσκανος οὐδεμίαν ἄλλην ἔχει αἰτίαν, ἢ μανίαν καὶ γνώμην σατανικήν. Τίνι οὖν ἄν τις τὴν τοιαύτην παραβάλοι ψυχήν ; ποίᾳ ἐχίδνῃ ; ποίᾳ ἀσπίδι ; ποίῳ σκώληκι ; τίνι κανθάρῳ ; Οὔτε ἐναγέστερον, οὔτε πονηρότερόν τι τῆς τοιαύτης ψυχῆς. Τοῦτο γάρ, τὰς Ἐκκλησίας ἀνέτρεψε, τοῦτο τὰς αἱρέσεις ἔτεκε, τοῦτο ἀδελφικὴν ὤπλισε χεῖρα. (Χρυσοσ. Ξ' 449. περὶ φθόνου.)*

*— Δεινὸν ἡ βασκανία, δεινόν, καὶ τῆς οἰκείας ἀναπείθει καταφρονεῖν σωτηρίας. (Χρυσ. ξα'. 568.)*

*— Ἐκεῖνο δέ φημι, ὅτι οἱ μισόκαλοι δαίμονες, ἐπειδὰν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς πρὸς τὸ ἴδιον ἀποκέχρηνται βούλημα· ὥστε καὶ τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρήσασθαι τοῦ ἰδίου θελήματος. (Βασιλ. αὐτοθ. 380. Χρυσοστ. ξα'. 648.)*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ. Μηδὲ πρὸς σὲ εἰσαγάγῃς αὐτόν, καὶ φάγῃς τὸν ψωμόν σου μετ' αὐτοῦ. Ἐξεμέσει γὰρ αὐτόν, καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς καλούς.* (*Παρ. κγ'* 67 *καὶ Βασιλ. αὐτόθ.* 377—390.)

— *Ἕτερον πάθος ἐμπολιτευόμενον τῷ βίῳ τῶν ἀνθρώπων, καὶ ἀεὶ προσπεφυκὸς τῆς ψυχῆς ἡμῶν, καὶ μᾶλλον δαπανῶν τὴν καρδίαν, ἢ ὁ ἰὸς τὸν σίδηρον, ἡ βασκανία ἐστίν, ἐν ᾗ πολλὰ μέν ἐστι κακά, ἓν δε χρήσιμον, ὅτι κακόν ἐστι τῷ κεκτημένῳ. Ὁ γὰρ βάσκανος αὐτὸν μὲν τὸν βασκαινόμενον ὀλίγον βλάπτει, ἑαυτὸν δὲ δαπανᾷ τῇ λύπῃ καὶ τῷ στεναγμῷ ἐπὶ τῇ εὐημερίᾳ τοῦ πλησίον* (*αὐτόθ.* 1446. *καὶ περὶ ἠθικῶν παθῶν* 1437—1457.)

— *Μὴ νόμιζε τῷ ἀσκεῖν ἀρετὴν τὰς διαβολὰς διακρούεσθαι μάλιστα γὰρ οἱ τοιοῦτοι ἐπιβουλεύονται παρὰ τῶν τιμὴν μὲν οὐκ ἐχόντων, διὰ δὲ τὸ μὴ ἀσκεῖν ἀρετὴν τοῖς ἀπ' ἀρετῆς τιμωμένοις φθονούντων. Ἄμεινον τοίνυν ἀσκοῦντας γενναίως φέρειν τὰς τῶν βασκάνων κακοηθείας, ἢ τὸ φθονεῖσθαι παραιτουμένους ἀρετῆς ἀφίστασθαι.* (*Ἰσίδ Πηλ. οη'.* 1509—1512.)

— *Φθόνος δὲ τῆξις εὐροούντων τῶν πέλας,*
*ἡ βασκανία δὲ καὶ βλάβη διὰ φθόνου* (*Γρηγ. Ναζ. λζ'* 950.)

— *Περὶ δὲ φθόνου, ἢ ζήλου, ἢ καταλαλιᾶς, καὶ ἔριδος ἢ φιλονεικίας, προείρηται ὑμῖν, ὅτι ταῦτα χριστιανοῖς ἀλλότρια.* (*Διατ. Ἀποστολ. α'.* 789.100.)

*Φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον· τῷ ἀνδρὶ ὁ ζῆλος παρὰ τοῦ ἑταίρου αὐτοῦ.* (*Σολμ.*)

*Ὅπου ζῆλος καὶ ἐριθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.* (*Ἰακώβ. γ'.*)

*Μὴ συμβουλεύου μετὰ ὑποβλεπομένου σε· ἀπὸ τῶν ζηλούντων ἐκκρυψου βουλήν σου.* (*Σειράχ. λζ'.*)

*Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν, ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον· λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες, ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας.* (*Ματθ. κ'. 9.10.*)

*Τί στενάζεις φθονερέ, τὸ ἴδιον κακόν, ἢ τὸ ἀλλότριον ἀγαθόν;* (*Βασιλείου.*)

*Οὐχ ὁρᾷς ἡλίκον ἐστὶν ἡ ὑπόκρισις; καὶ αὕτη καρπός ἐστι φθόνου· τὸ γὰρ διπλοῦν τοῦ ἤθους ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις γίνεται.* )»)

*Φθόνου γὰρ πάθος οὐδὲν ὀλεθριώτερον· ψυχαῖς ἀνθρώπων ἐμφύεται.* (»)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὥσπερ γὰρ ἰὸς τὸν σίδηρον, οὕτως φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει (»)

Ἔθος τῇ Γραφῇ πολλαχοῦ μετὰ τὸν φόνον τάσσειν τὸν φθόνον(»)

Μὴ φθονήσῃς τῷ κατορθοῦντι ὡς φθονηθείς, καὶ φθονεῖσθαι πεισθείς, καὶ διὰ τοῦτο κατενεχθείς (Γρ. Ναζ.)

Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἡ δαπάνη τῶν ἐχόντων, ὁ τῶν πασχόντων ἰός, τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον, τὸ μέν, ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς, τὸ δέ, ὅτι ἀδικεῖ τοὺς ἔχοντας. (»)

Ὁ δαίμων φθονεῖ μέν, ἀνθρώποις δέ, δαίμονι δὲ οὐδενί, σὺ δὲ ἄνθρωπος ὢν ἀνθρώποις φθονεῖς, καὶ ποίας τεύξῃ συγγνώμης; (Χρυσοστμ.)

Εἰ γὰρ ὁ τὸν φιλοῦντα ἀγαπῶν, οὐδὲν πλέον ἔχει τελώνου, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποίας τεύξεται φιλανθρωπίας; (»)

Ὦ φθόνε ῥίζα θανάτου ἡ πολύπλοκος νόσος, καρδίας ὀξύτατε ἥλε· ποῖος γὰρ ἧλος ὀξύτατος οὕτω κεντᾷ ὡς ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν καρδίαν τιτρώσκει; (»)

Ἀριστοτέλης, φθόνος, φησίν, ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων. Ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ μειζόνων γίγνῃ πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ. (Χρυσοστ. τμ. ιβ' 545.)

Συζῇ θανάτῳ διηνεκεῖ, ὃς ἂν φθόνῳ ἑκτήκηται. Πάντας ἐχθροὺς ἡγεῖται, καὶ τοὺς οὐδὲν ἠδικηκότας. (» τμ. Ξ'. 325.)

Λέγει καὶ ποιεῖ πάντα ὁ τοῦ φθόνου δοῦλος, ὥστε καὶ καθελεῖν τὸν πλησίον τί ταύτης ἀθλιέστερον τῆς ψυχῆς; (» Τμ. Γ'. 530)

Σὺ χθὲς καὶ πρῴην φίλος, καὶ λόγων ἐκοινώνεις καὶ τραπέζης εἶτα ἀθρόως, ἐπειδὴ εὐδοκιμοῦντα εἶδες, ῥίψας το τῆς φιλίας προσωπεῖον, τὸ τῆς ἔχθρας ὑπέδυς· μᾶλλον δὲ τὸ τῆς μανίας· μανία γὰρ περιφανὴς φθόνῳ τοῖς τοῦ πλησίον δάκνεσθαι καλοῖς· τοῦτο γὰρ μαινομένων ἐστὶ καὶ λυσσώντων κυνῶν (τοῦ αὐτοῦ αὐτόθι.)

Τέως δὲ ἴδωμεν πόσον ὁ φθόνος κακόν, καὶ πῶς τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πυροῖ κατὰ τῆς τοῦ ἁλόντος σωτηρίας· καθάπερ γὰρ οἱ μαινόμενοι καθ' ἑαυτῶν πολλάκις ὠθοῦσι τὰ ξίφη, οὕτω καὶ οἱ βασκαίνοντες, πρὸς ἓν μόνον ὁρῶντες τὴν λύμην τοῦ φθονουμένου, τῆς οἰκείας ὀλιγωροῦσι σωτηρίας. (» τμ Η'. 214)

Ζῆς καὶ σκώληξ, ξύλον καὶ ἔριον, ἐγκαθήμενος, οὐχ οὕτως εἴωθε τρώγειν, ὡς ὁ τοῦ φθόνου πυρετὸς κατεσθίει τὰ ὀστᾶ τῶν βασκαινόντων, καὶ τῆς ψυχῆς τὴν σωφροσύνην λυμαίνεται· οὐκ ἄν τις ἁμάρτοι καὶ θηρία καὶ δαίμονας τοὺς βασκαίνοντας προσειπών. (τοῦ αὐτοῦ τμ. ιβ'. 563.)

Ἤδη παρέδωκεν αὐτὸν ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

καθήκοντα, πληρούμενον πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστὸν φθόνου ἔριδος δόλου, κακοηθείας, ψιθυριστήν, κατάλαλον, θεοστυγῆ, ὑβριστήν, ὑπερήφανον, ἀλαζόνα, ἐφευρετὴν κακῶν, ἀσύνετον, ἀσύνθετον, ἀνελήμονα, ὅστις οὐ μόνον αὐτὸς ταῦτα ποιεῖ, ἀλλὰ καὶ συνευδοκεῖ τοῖς πράσσουσι. (*Ρμ. κ' 28*)

Ὥσπερ γὰρ χοῖρος βορβόρῳ, καὶ δαίμων βλάβῃ χαίρει τῇ ἡμετέρᾳ, οὕτω καὶ οὗτος (ὁ φθονερὸς) τοῖς τοῦ πλησίον χαίρει κακοῖς· κἂν γένηταί τι ἀηδές, τότε ἀναπαύεται καὶ ἀναπνεῖ, τὰς ἀλλοτρίας συμφορὰς οἰκείας εὐθυμίας ἡγούμενος, καὶ οἰκεῖα κακά, τὰ τῶν ἄλλων ἀγαθά (» τμ. *ιΒ'. 544.*)

Τέως καθάπερ οἱ κάνθαροι τρέφονται κόπρῳ, οὕτω καὶ οὗτοι ταῖς ἑτέρων δυσημερίαις, κοινοί τινες ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως ὄντες· καὶ οἱ μὲν ἄλλοι ἄλογον σφαττόμενον ἐλεοῦσιν, οὗτοι δὲ ἄνθρωπον ὁρῶντες εὐεργετούμενον, ἐκθηριοῦνται καὶ τρέμουσι καὶ ὠχριῶσι· καὶ τί ταύτης τῆς μανίας χεῖρον γένοιτ' ἄν ; (»)

Εἰσὶ δὲ οὗτοι καὶ θηρίων χείρονες· ἐκεῖνα γὰρ ἢ τροφῆς δεόμενα, ἢ πρότερον ὑφ' ἡμῶν παροξυνθέντα, ὁπλίζεται καθ' ἡμῶν· οὗτοι δὲ καὶ εὐεργετηθέντες πολλάκις τὰ τῶν ἀδικούντων τοῖς εὐεργέταις διέθηκαν, θηρίων μὲν οὗτοι χαλεπώτεροι, δαιμόνων δὲ ἴσοι, τάχα δὲ καὶ ἐκείνων χείρους· ἐκεῖνοι γὰρ πρὸς ἡμᾶς ἄσπονδον ἔχουσιν ἔχθραν, τοῖς δ' ὁμογενέσιν οὐκ ἐπιβουλεύονται. (» τμ. *Η'. 214.*)

Ὅτι δέ, ὅπου φθόνος καὶ βασκανία, τὰ τῆς ἀγάπης ἀνῄρηται παντὶ ποῦ δῆλόν ἐστι. Τοῦτο τὸ πάθος καὶ πορνείας καὶ μοιχείας χεῖρον πολύ· τὸ μὲν γὰρ μέχρι τοῦ πράξαντος ἵσταται, τῆς δὲ βασκανίας ἡ τυραννὶς Ἐκκλησίας ὁλοκλήρους ἀνέτρεψε, καὶ τὴν Οἰκουμένην ἅπασαν ἐλυμήνατο· αὕτη φόνου μήτηρ ἐστί· οὕτως ἀπέκτεινεν ὁ Κάϊν τὸν ἀδελφόν. Οὕτω τὸν Ἰακὼβ ὁ Ἠσαῦ. Οὕτω τὸν Ἰωσὴφ οἱ ἀδελφοί· οὕτω τοὺς ἀνθρώπους ἅπαντας ὁ διάβολος (τοῦ αὐτοῦ τμ. *Η'. 215.*)

Θεὸς δέ ἐστι ὁ ἐφορῶν τὰ πάντα καὶ ὅταν ἴδῃ τὸν οὐδὲν ἀδικοῦντα ἀδικούμενον, μᾶλλον ἐπαίρει καὶ ποιεῖ λαμπρόν (τοῦ αὐτοῦ *Τομ. ΙΒ'. 215*).

Ὁ βάσκανος εἰς ἓν ὁρᾷ μόνον, τὴν ἐπιθυμίαν πληρῶσαι τὴν ἑαυτοῦ, κἂν κολάζεσθαι μέλλῃ· κἂν ἀναιρεῖσθαι τοῦ πάθους γίνεται μόνον, καὶ ὁ ἀκόλαστος καὶ ὁ φιλοχρήματος ἡ δὲ τῶν παθῶν τοσαύτη ἡ τυραννὶς πολλῷ μᾶλλον τῆς ἀρετῆς. Εἰ δι' ἐκεῖνον θανάτου καταφρονοῦμεν πολλῷ μᾶλλον διὰ ταύτην ; Εἰ ἐκεῖνοι τῆς ψυχῆς καταφρονοῦσι τῆς ἑαυτῶν, πολλῷ μᾶλλον ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας τοῦτο ποιεῖν χρή ; (*Χρυσστμ. τμ. Η'. 325.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Βασκάνου ὀφθαλμὸς ἐκτήκεται λύπῃ. Θανάτῳ συζῇ διηνεκεῖ, πάντας ἐχθροὺς ἡγεῖται καὶ τοὺς οὐδὲν ἠδικηκότας. (αὐτόθι.)*

*Βασκανία φαυλότητος ἀμαυροῖ τὰ καλά. (Σφ. Σλμ. δ'. 12.)*

*Τοῦ βασκαίνοντος ἑαυτόν, οὐκ ἔστι πονηρότερος, καὶ τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ· καὶ ἐὰν εὐ ποιήσῃ ἐν λήθῃ, οὐχ ἑκὼν ποιεῖ, καὶ ἐπ' ἐσχάτων ἐκφαίνεται τὴν κακίαν αὐτοῦ. (Σειρ. κδ'. 6.)*

## ΚΕΦΑΛΑΙΟΝ ΠΑ'.

### Περὶ ἐπιμονῆς καὶ σταθερότητος.

*— Οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσι, εἷς δὲ λαμβάνει τὸ βραβεῖον· οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. (Α'. Κορινθ. θ'. 24).*

*— Ἀγαθὸν ἀνδρί, ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ, καθήσεσεται κατὰ μόνας καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ ζυγὸν βαρύν. (Ἱερ. Θρῆν. γ'. 27).*

*— Οὐδεὶς γὰρ ἀποδυνάμενος πρὸς τὴν πάλην καθεύδει καὶ οὐ παλαίει· καὶ οὐδεὶς ἐπερχόμενος πρὸς τὸ στάδιον εἰς τὸ ἀγωνίζεσθαι θεωρεῖ ἄλλους τρέχοντας, κἀκεῖνος ἵσταται· ἀλλὰ τρέχει καὶ ἀγωνιᾷ ὅπως νικήσας λάβῃ τὸ βραβεῖον. (Χρυσοστόμου.)*

*— Στέργε τὰ παρόντα, ζήτει τὰ βελτίω. (Ἰσοκράτ.)*

*— Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενον βέλτιον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ. (Πλάτ. Ἀπολ.)*

*— Ὁρᾶτε τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν.*

*— Στῶμεν ἐν οἷς ἐσμεν, ἀγαπῶντες ὅπωσδήποτε τοῖς παροῦσι, πάντα νεωτερισμὸν ἀποφεύγοντες, κἂν ᾖ ὁποιαδήποτε τὰ ἡμέτερα· καλὸν μὲν γὰρ ζητεῖν, ὅθεν ἄν τις οἷός τε εἴη τὰ προσόνθ' ἑαυτῷ ἀγαθὰ προσαυξῆσαι· φρόνιμον δ' ἐσθ' ὅτε καὶ τοῖς ὑπάρχουσιν ἀγαπᾶν, καὶ διασώζειν ταῦτα, ἐπειδὰν τίς ποθεν ὑφαιρῆταί τι τοῖς ἑαυτοῦ ἐπιχειρήμασιν ἐποίησε βλάβην πλείω ἢ ὄφελος. Ἐνδοτέον τοίνυν πρὸς τὸ παρὸν τῷ καιρῷ, εἴπως ἡμῖν ποθ' ὕστερον φῶς ἄνωθεν γένοιτο, ἵνα μὴ φυγόντες τὸν καπνόν, τὸ τῆς παροιμίας, περιπέσωμεν αὐτῷ τῷ πυρί, οὗ τὰ ἐγκαύματα οὐδ' ἂν αὐτὸς ὁ Ἀσκληπιὸς ἐν ἡμῖν θεραπεύσειε. (Πλουτάρχου.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ μὴ στέργων τὴν ὑπὸ τοῦ Θεοῦ ὁρισθεῖσαν αὐτῷ τάξιν, ἀσεβεῖ πρὸς Αὐτόν, ὅστις μόνος γινώσκει τὸ ἀληθὲς ἑκάστῳ συμφέρον. — Ἂς θέλωμεν καὶ ἂς θέλωμεν σταθερῶς καὶ ἐπιμόνως, καὶ τότε αἱ δυσκολίαι ἐκλείπουσιν, καὶ αἱ ἐπιχειρήσεις τελεσφοροῦσιν. — Ἡ μὲν ἐπιμονὴ εἶναι ἀναγκαία διὰ ν' ἀντιπαλαίωμεν εἰς τὰς δυσκολίας, ἡ δ' ὑπομονὴ ἀναγκαιοτάτη, ἵνα ὑποφέρωμεν ἡσύχως καὶ ἀταράχως τὰς ἀποτυχίας καὶ δυστυχίας. Οἱ μεγάλοι ἄνδρες οὐδέποτε ἐπιδεικνύουσι μεγαλειτέραν ἐπιμονήν, ἢ ὅταν τὰ πάντα φαίνωνται ἀπέλπιδα· διότι ἡ πεῖρα ἐδίδαξεν ὅτι μικρὰ μόνον ἐνέργεια ἐν ὥρᾳ κινδύνου μεταβάλλει ἁπλῶς τὴν ὄψιν τῶν πραγμάτων· ἐν ᾧ ἐπίμονος τόλμη καὶ γενναιότης καταβάλλει καὶ αὐτοὺς τοὺς μεγαλειτέρους κινδύνους. — Ἴδιον μικρόνου εἶναι ν' ἀποθαρρύνηται εἰς τὸ ἐλάχιστον κώλυμα, ὅπερ ἐν τῇ ὁδῷ αὐτοῦ ἀπαντᾷ. Ἀνὴρ κτώμενος καρδίαν καὶ πνεῦμα, περὶ οὐδενὸς ἐκπλήσσεται καὶ εὑρίσκει πάντοτε καταφύγιον. — Ἀπαιτεῖται ἐπιμονὴ καὶ σταθερότης, πρὸς ἐπιτυχίαν ἔργου τινὸς ἀγαθοῦ. (Διαφόρων.)

## ΚΕΦΑΛΑΙΟΝ ΠΒ'.

### Περὶ καρτερίας.

— Καρτερία, ὑπομονὴ λύπης, ἕνεκα τοῦ καλοῦ· ὑπομονὴ πόνων, ἕνεκα τοῦ καλοῦ. (Πλάτ. Ὅροι.)

— Εἶπε γὰρ αὐτῷ τῷ (Ἰὼβ) ἡ γυνὴ αὐτοῦ. «Μέχρι τίνος καρτερήσεις λέγων: Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρόν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;» ..... Ἀλλ' εἰπέ τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα!» Τί δὲ ἔφησεν Ἰὼβ πρὸς τὴν ἰδίαν γυναῖκα; «Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν οὕτως ἐλάλησας; εἰ τὰ καλὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. (Ἰὼβ.)

— Σὺ δὲ καρτέρησον ὀλίγον ἐπὶ τῆς συμφορᾶς, ὡς ὁ γενναῖος Ἰὼβ, καὶ μὴ περιτραπῇς ἐκ τοῦ κλύδωνος· μηδὲν ἀποβάλλῃς, ὧν φέρεις ἀγωγίμων τῆς ἀρετῆς· ὡς βαρύτιμον ἐνθήκην τὴν εὐχαριστίαν διάσωσον ἐπὶ τῆς ψυχῆς, καὶ λήψῃ καὶ σὺ τῆς εὐχαριστίας τὰ διπλασίονα τῆς τρυφῆς. (Βασιλείου.)

— Σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς. γενναίων δὲ καὶ φιλοσόφων, τὸ ἐμπεσόντας φέρειν γενναίως. (Ἰγνατ.)

### Περὶ δόξης.

(Ἴδε Τόμ. Α'. κεφ. Π.)

Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄγαν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Κρεῖσσον γὰρ εἶναι τοῦ δοκεῖν. Εἰ δ' ἄμετρος εἶ,*
*Μὴ τὴν κενὴν θήρευε, μήτε τὴν νέαν.*
*Τί γὰρ πιθήκῳ κέρδος, ἢν δοκῇ λέων ;*
*Αἶνει μὲν ἄλλον, μὴ φρόνει δ' αἰνούμενος.* (*Νικήτ. Δαυϊδ λξ'. 935.*)

## ΚΕΦΑΛΑΙΟΝ ΠΓ'.

### Περὶ κόπου καὶ ἐπιμελείας.

— *Τὸ γὰρ μηδὲ ἀλλοτρίοις χρῆσθαι παραδείγμασιν, ἀλλ' οἰκεῖα ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑμᾶς ὑπ' αὐτῶν παροξύνεσθαι καὶ φιλονεικεῖν, ὅπως τοῖς προγόνοις ἑαυτοὺς ὁμοίους παρασκευάσετε ;* (*Ἰσοκράτους.*)

— *Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορεῖτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. — Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθούς, ἀλλὰ καὶ μιμεῖσθε.* (*Ἰσοκράτ.*)

— *Αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. — Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετήν, μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύοντες αὐτοῖς, ὁποίους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς.* (*Ἰσοκράτ.*)

*Διὸ δεῖ . . . . μιμεῖσθαι μὴ τὰς στεφηπλόκους ἀλλὰ τὰς μελίσσας. Αἱ μὲν γὰρ ἐπινοοῦσαι τὰ ἀνθηρὰ καὶ εὐώδη τῶν φύλλων, συνείρουσι καὶ διαπλέκουσιν ἡδὺ μέν, ἐφήμερον δὲ καὶ ἄκαρπον ἔργον· αἱ δὲ πολλάκις ἴων καὶ ῥόδων καὶ ὑακίνθων διαπετόμεναι λειμῶνας, ἐπὶ τὸν τραχύτατον καὶ δριμύτατον θύμον καταίρουσι, καὶ τούτῳ προσκάθηνται, «Ξανθὸν μέλι μηδόμεναι,» καὶ λαβοῦσαί τι τῶν χρησίμων, ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔργον.* (*Πλτ.*)

— *Οὐχ ὁμοίως τά τε τῶν δημιουργῶν καὶ τὰ τῶν σπουδαίων ἔργα θαυμάζειν εἰώθαμεν· τὰ μὲν γὰρ ἐκ τῆς δημιουργίας, θέαν καὶ ἡδονὴν ἐντιθέντα, ὠφέλειαν μετὰ τούτων οὐδεμίαν παρέχεται· τὰ δὲ ἐκ τῆς ἀρετῆς καὶ ἐν θέαις καλά, καὶ ζῆλον ἐνίησι τῇ ψυχῇ· ὥσπερ γὰρ ἡ ὄψις κατὰ τὸν ἐκ Χαιρωνείας φιλόσοφον, τῇ τῆς πόας χροιᾷ ἀναζωπυρουμένη τρέφεται, οὕτως ἡ διάνοια τοῖς τῶν σπουδαίων πράξεων θεάμασιν ἀσμενίζουσα ζῆλον καὶ μίμησιν πρὸς τῇ ἡδονῇ ἐμποιεῖ.* (*Νεοφύτου Δούκα.*)

— *Ἡ δὲ μίμησις κἂν ἀπὸ εὐτελῶν δοκῇ ἄρχεσθαι, ἀλλά γε πέφυκε πολλάκις καταλήγειν εἰς πολυτελῆ, οἷα ἦν τὰ τῶν προγόνων ἡμῶν, τὰ περισπούδαστα καὶ λαμπρά.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΠΔ'.

### Περὶ λοιδορίας.

*Δόξα ἀνδρὸς ἀποστρέφεσθαι λοιδορίας, πᾶς δὲ ἄφρων τούτοις ἐμπλέκεται.* (*Παρ. κθ'. 5.*)

*Οἱ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσι.* (*αὐτόθι. β'. 19.*)

*Κρεῖττον οἰκεῖν ἐπὶ γωνίας δώματος, ἢ μετὰ λοιδόρου ἐν οἰκίᾳ κοινῇ.* (» *κε'. 34.*)

*Κἂν τις βούληται κατηγορεῖν, μὴ τὸ κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλὰ τὸ δικαίως ἀκούειν κακῶς· ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν κἂν μηδεὶς κατηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλιώτεροι, ἂν δ' ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγει κακῶς, τότε μᾶλλον ἐσόμεθα ζηλωτότεροι.* (*Χρυστμ.*)

*Εἰ οἱ παραδεχόμενοι ἀκοὴν ματαίαν, οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν.* (*τοῦ αὐτοῦ.*)

*Εἰ πειθαρχεῖς τῷ θείῳ Ἀποστόλῳ διαρρήδην βοῶντι, ὅτι λοίδοροι οὐδαμῶς τεύξονται βασιλείας Οὐρανῶν, φεῦγε τὴν φλυαρίαν καὶ τὸ διασύρειν ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς μηδὲν ἀδικοῦντας.* (*τοῦ αὐτοῦ.*)

*— Ὧν ἄδοξος ἡ προαίρεσις, τούτῳ πρὸς λοιδορίαν τὰ πράγματα χρησιμώτερα.* (*Σωσατ.*)

*— Ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος*
*Μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.* (*Φιλήμονος.*)

*— Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον*
*Ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν.* (*Φιλήμονος.*)

*— Σωκράτης ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα ἐπὶ ἐμοῦ τάδε κατὰ σοῦ ἐλοιδόρει· ἔφη· εἰ μὴ σὺ ἡδέως ἤκουες, οὐκ ἂν ἐκεῖνος ἐλοιδόρει.* (*Ἰσοκράτους.*)

## ΚΕΦΑΛΑΙΟΝ ΠΕ'.

### Περὶ ὀνειδισμῶν, ὅτι οὐ δεῖ ὀνειδίζειν.

*Ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους.* (*Παροιμ. κξ'. 1.*)

*Μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὥσπερ γὰρ ἱμάτιον βρωθήσεται ἀπὸ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ἀπὸ σητός.* (*Ἡσαΐ λα'. 7.*)

*Μὴ ὀνειδίσῃς ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας, μνήσθητι, ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις.* (*Σειράχ. η'. 6.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Μὴ καταλαλήσῃς ἀνθρώπου ὄντος ἐν πικρίᾳ ψυχῆς αὐτοῦ· ἔστι γὰρ ὁ ταπεινῶν καὶ ὑψῶν. (αὐτόθι ζ'. 12.)*

*Μία ἀσφάλεια μὴ ὀνειδίζειν τύχας. Κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον. (Ναζιαν. τετρ. 37.)*

*Εὖ μὲν λέγοντες εἰς τοὺς ἀξίους, κακῶς δὲ οὐδέποτε τοὺς ἀναξίους, τευξόμεθα καὶ ἡμεῖς τῆς τοῦ θεοῦ δόξης καὶ βασιλείας. (τοῦ αὐτοῦ.)*

## ΚΕΦΑΛΑΙΟΝ ΠΣΤ'.

### Περὶ ὀνειδισμῶν καὶ λοιδοριῶν.

*— Ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν· οὐ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ οὔ με πείσεις ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι. (Ἡροδ. ζ'. 160.)*

*— Ἐάν τις σοι ἀπαγγείλῃ, ὅτι ὁ δεινά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα, ἀλλ' ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακά. (Ἐπικτ. ἐγχ. 38.)*

*— Ἂν λοιδορία προσφέρηται, εὑρήσεις ἀνεξικακίαν. (Ἐπικτ. ἐγχ. 10.)*

*— Μὴ τοιαῦτα λάμβανε, οἷα ὁ ὑβρίζων κρίνει, ἢ οἷά σε κρίνειν βούλεται, ἀλλ' ἰδὲ αὐτά, οἷα κατ' ἀλήθειάν ἐστι. (Ἀντωνῖνος ὁ. 11)*

*— Ἔγωγε (εἶπεν ὁ Σωκράτης) τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. (Πλάτ. ἀπολ. 33.)*

*— Διὰ τοῦτο ὁ Σωκράτης οὐκ Ἀριστοφάνει ὠργίζετο, οὐ Μελίτῳ ἐχαλέπαινεν, οὐκ Ἄνυτον ἐτιμωρεῖτο. (Μαξιμ. Τύρ. 18, 3.)*

*— Τοῦτο καὶ μάλιστα ἴδιον Σωκράτους, μηδέποτε παροξυνθῆναι ἐν λόγοις, μηδέποτε λοίδορον προσενέγκασθαι μηδέν, μηδέποθ' ὑβριστικόν, ἀλλὰ τῶν λοιδορούντων ἀνέχεσθαι καὶ παύειν μάχην. (Ἀρριαν. Διατριβ. ἐπικτήτ. β', 12, 14.)*

*— Ἥδιον οὐδὲν ἢ μουσικώτερον*
*ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν. (Φιλήμων παρὰ Στοβ. Ἀνθολ.)*

*Ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι. (Πλ. Γοργ. 479ε.)*

*— Ἀδικούμενος διαλλάσσου, ὑβριζόμενος δὲ μὴ τιμωροῦ. (Χείλων παρὰ Στοβαίῳ τμῆμα γ'. 95.)*

*— Διογένης λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν ἐξέφυγον κρανίον.*

*— Μένανδρος, λέγοντός τινος, ὅτι σέ τινες λοιδοροῦσιν, ἔφη· ἀλλ' ἐγὼ οὕτως διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς. (Μενάνδρου.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Φίλιππος τοῖς τῶν Ἀθηναίων δημαγωγοῖς, ἔφη, χάριν ἔχειν ὅτι λοιδοροῦντες αὐτόν, βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει.*

— *Ἀλέξανδρος, πυθόμενος ὑπό τινος λοιδορεῖσθαι, Βασιλικόν, ἔφη, ἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν.*

— *Εἰ θέλεις ἀνιᾶν τὸν μισοῦντα, μὴ λοιδόρει μαλακόν, μηδ' ἀκόλαστον, μηδὲ βωμολόχον, μηδ' ἀνελεύθερον· ἀλλ' αὐτὸς ἀνὴρ ἴσθι, καὶ σωφρόνει καὶ ἀλήθευε . . . . . Ἂν λοιδορῆσαι προαχθῇς, ἄπαγε πορρωτάτω σεαυτὸν ὧν λοιδορεῖς ἐκεῖνον.— Ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας. (Πλουτ.)*

— *Οὔτε μὴν τούτου σεμνότερον καὶ κάλλιόν ἐστι τό, λοιδοροῦντος ἐχθροῦ τὴν ἡσυχίαν ἄγειν . . . . . ἂν ἐχθρὸν ἐθισθῇς λοιδοροῦντα φέρειν σιωπῇ, πάνυ ῥᾳδίως οἴσεις γυναικὸς ὁρμὴν κακῶς λεγούσης, καὶ φίλου φωνάς, καὶ ἀδελφοῦ πικροτέρας ἀκούων, ὑπομενεῖς ἀθορύβως. (Πλουτάρχου)*

*Αἴσωπος ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα λέγει κατὰ σοῦ καὶ τὴν λοιδορίαν ἐξεπόντος, ἐφη, οἱ τὰς μαχαίρας ποιοῦντες οὐκ αὐτοὶ ἀποκτείνουσι, ἀλλ' οἱ χρώμενοι· καὶ ἐμὲ νῦν οὐκ ἐκεῖνος λέγει κακῶς, ἀλλα σὺ ὁ χρώμενος τῇ ἐκείνου βλασφημίᾳ. (Μ. Ἀλεξανδρ.)*

— *Πλάτων συνεβούλευεν ὅτε καταγελασόμεθά τινων, ἐπιστρέφειν πρὸς ἑαυτοὺς καὶ σκοπεῖν, μὴ καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐσμεν ἔνοχοι.*

— *Μὴ εἴπῃς ποτὲ κακὸν διὰ τοὺς ἀποθανόντας. (Σόλωνος.)*

— *Ὁποῖον κ' εἰπησθα ἔπος, τοῖον κ' ὑπακούσαις. (Ἰλ. υ, 250.)*

## ΚΕΦΑΛΑΙΟΝ ΠΖ'.

### Περὶ λόγων καὶ ὁμιλίας.

*Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκεν. (Ἰσοκράτης.)*

*Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται. (»)*

*Ἐν συλλόγῳ πρῶτος λέγειν μὴ ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων, ὄψει μᾶλλον τὰ συμφέροντα. (Πλουτάρχου.)*

*Αἱ μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν· οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν. (Μοσχίονος.)*

*Μισῶ πονηρὸν χρηστὸν ὅταν εἴπῃ λόγον. (»)*

*Τὰ ὦτά σου μὴ πᾶσιν ὕπεχε λόγοις· λόγος γὰρ κακὸς κακῶν ἔργων ἡγεμών. (»)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ ΠΗ'.

## Περὶ σιγῆς καὶ πολυλογίας.

— *Σιγὴ μήτηρ τῆς προσευχῆς, κρῖκος τῆς πύλης τοῦ οὐρανοῦ, κλεὶς τοῦ Παραδείσου. Ἡ πολυλογία θρόνος τῆς κενοδοξίας ἐστί, ἐν ᾧ καθήμενος ὁ κενόδοξος φημίζει ἑαυτόν. Ἡ σιωπὴ τοῦ Ἰησοῦ Χριστοῦ ἐκίνησε καὶ αὐτὸν τὸν ἄδικον κριτὴν Πιλάτον εἰς εὐλάβειαν καὶ ταπείνωσιν.* (Ἰω. Κλίμακος.)

— *Πολλοῖς ἀνθρώποισι φάρμακον κακῶν*
*Σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.* (Καρκῖν.)

— *Ἢ λέγε τι σιγῆς κρεῖσσον ἢ σιγὴν ἔχε.*

— *Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.* (Μένανδρ.)

— *Μόνη σιγὴ μεταμέλειαν οὐ φέρει.* (Μένανδρ.)

— *Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν.* (Θεογν. 019.)

— *Πλεονεξία τὰ πάντα λέγειν*
*Μηδὲν δὲ ἀκούειν ἐθέλειν.* (Δημοκρ.)

— *Πολυλογία πολλὰ σφάλματα ἔχει· τὸ δὲ σιγᾶν ἀσφαλές.* (Ἀνθολ. Στοβ. 36, 20.)

— *Ὁ ἄφρων πληθύνει λόγοις.* (Ἐκκλ. ι'. 14.)

— *Ὁ πλεονάζων λόγῳ βδελυχθήσεται.* (Σειράχ. κ'. 8.)

— *Ἡ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων. Σπανίως δήποτε, καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν, λέξον μέν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων. Μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ ποτῶν, τῶν ἑκασταχοῦ, μάλιστα δὲ περὶ ἀνθρώπων ψέγων, ἢ ἐπαινῶν, ἢ συγκρίνων.* (Ἐπικτ. ἐγχ. κεφ. λγ'.)

— *Ἂν μὲν οὖν οἷός τε ᾖς, μετάγαγε τοῖς σοῖς λόγοις καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον· εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.* (αὐτόθι.)

— *Ἀγαθὸν τὸ σιωπᾶν, ὑπὲρ τὸ λαλεῖν· καὶ μακάριοί εἰσιν οἱ τὴν κλεῖδα ταύτην δεξάμενοι.* (.

— *Κρείσσων ὁ σιωπῶν τοῦ πολλὰ λαλοῦντος εἰ καὶ ἀγαθὰ φθέγγεται.*)

— *Ἐκ τῆς πολυλογίας οὐκ ἐκφεύξεται ἡ ἁμαρτία· δι' ἁμαρτίας χειλέων δ' ἐμπίπτει εἰς παγίδας ἁμαρτωλός, ἐκφεύγει δὲ ἐξ αὐτῶν ὁ δίκαιος.* (Παροιμ. ι'. 20).

— *Διήγησις μωρῶν προσόχθισμα.* (Σειρὰχ κζ'. 13).

— *Μίσει τὸ ταχὺ λαλεῖν.*

— *Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.*

— *Ἢ μάθε σιγᾶν, ἢ σιγῆς κρείττω λέγειν.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ πολλὰ ἐργαζόμενος καὶ κοπιῶν, οὐδὲν λαλεῖ ἄκαιρον.

— Μὴ γίνου θρασὺς ἐν τοῖς λόγοις σου, καὶ νωθρὸς καὶ πα
ρειμένος ἐν τοῖς ἔργοις σου. — Πρὶν ἀκοῦσαι μὴ ἀποκρίνου, κα
ἐν μέσῳ λόγων μὴ παραβάλλου.

— Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, κλαῦσον ἐπ' αὐτῷ, ὅτ
ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. (Παροιμ. κθ'. 20).

— Ἔστι σιωπῶν εὑρισκόμενος σοφός, καὶ ἔστι μισητὸς ἀπ
πολλῆς λαλιᾶς. (Σειρὰχ κ'. 4).

— Ἡ μὲν παροιμία σιωπῆς ἀκίνδυνον γέρας εἶναί φησιν· ἀλλ
κατὰ τὴν παροῦσαν τοῦ χρόνου φοράν, ἀγέραστος ἡ σιωπή, τὸ δ
λάλον τιμᾶται καὶ θριαμβεύει. Καὶ ἰατρῶν μὲν παῖδες ἄδιψον εἶνα
τὴν σιωπήν, τῇ δὲ καθημέραν πεῖρᾳ οἱ σιγὴν ἀσπαζόμενοι οὐ μό
νον διψῶσιν, ἀλλὰ καὶ λιμώττουσιν. (Φιλοθέου Πάρεργα.)

— Εἴ ποτε οἱ λόγοι ὑπερβάλλοιεν, ἐμπίμπλανται ἀηδίας. (Νεο
φύτου Δούκα.)

## ΚΕΦΑΛΑΙΟΝ ΠΘ'.

### Περὶ φυλακῆς τοῦ στόματος.

Θοῦ Κύριε φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περ
τὰ χείλη μου. (ψλ. ρμ'.)

Ἔστω πᾶς ἄνθρωπος, ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τ
λαλῆσαι. (Ἰακώβου α')

Πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι ἀποδώσουσ
περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. (Ματθ. ιβ'.)

Ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα, διατηρεῖ ἐκ θλίψεως τὴν ψυ
χὴν αὐτοῦ. (Παροιμ. κη'.)

Ἀντιλογίαν πραΰνει σιγηρός, ὁ ἀγαπῶν δὲ ζωὴν αὐτοῦ, φείδετα
στόματος αὐτοῦ (» »)

Μισῶν λαλιάν, ἐλαττοῦται κακία. (»)

Ἀγαθὰ ἐκκεχυμένα, ἐπὶ στόματι κεκλεισμένῳ. Ὁ σιγηρὸς κα
νοήμων τιμῆς ἀξιωθήσεται. (Σειρὰχ λ'. κα'.)

Ἔστιν ἔλεγχος· καὶ οὐκ ἔστιν ὡραῖος, καὶ ἔστι τις σιγῶν, κα
εὑρισκόμενος σοφός (κ'.)

Φθέγγου μὲν εἴ τι κρεῖσσον σιωπῆς ἔχεις, ἀγάπα δὲ ἡσυχίαι
ἔνθα κρεῖσσον λόγου τὸ σιωπᾶν. (Θεολόγου.)

Τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν δεῖ τοὺς μετρίους ἐν λόγῳ, κα
ὡς ἀληθῶς κοσμίους, καὶ σώφρονας. (»)

Οὐχ ἡδὺ τοῖς πιστοῖς ἀδολεσχία, καὶ λόγων ἀντίθεσις· ἀρκε
γὰρ καὶ εἷς ἀντικείμενος. (»)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κρεῖσσον λελογισμένη βραδύτης τάχους ἀπερισκέπτου. (»)

Καὶ τοῦτο κέρδος τῆς σιωπῆς, τὸ τοῖς πολλοῖς μηδὲ ἀποκρίνεσθαι. (»)

Τὴν σιωπὴν συγκατάθεσιν εἶναι διδάσκει ἡ παροιμία. (»)

Ἢ λέγε σιγῆς τι κρεῖττον, ἢ σιγὴν ἔχε. (Διονυσίου.)

Σοφὸς ἀνὴρ καὶ σιγῶν τὸν θεὸν τιμᾷ, εἰδὼς καὶ διατί σιγᾷ. (Σέξτου.)

Ἀγάπα τὸ σιγᾶν ὑπὲρ τὸ λαλεῖν· ἡ σιωπὴ γὰρ θησαυρίζει, τὸ δὲ λαλεῖν σκορπίζει. (τῶν γερόντων.)

Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς, καὶ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ; (Πλουτ.

Τὸ σιωπᾶν οὐ μόνον ἄδιψον, ὥς φησιν Ἱπποκράτης, ἀλλὰ καὶ ἄλυπον καὶ ἀνώδυνον, σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες δὲ παμπληθεῖς (»)

Πανταχοῦ τῷ νέῳ κόσμῳ ἀσφαλὴς ἐστιν ἡ σιωπή· ὁ μὴ εἰδὼς σιωπᾶν, οὐκ οἶδε διαλέγεσθαι. (»)

Ἀριστοτέλης ἐρωτηθεὶς διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν. αὐτὸς σιωπᾷς; ἔφη, ὅτι καὶ διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται.

Θεόφραστος ὁ περιπατητικός, ἐν συμποσίῳ νεανίσκον τινὰ βλέπων ἡσυχίαν ἔχοντα εἶπεν, εἰ μὲν ἀπαίδευτος ὢν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις, εἰ δὲ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷς.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν, ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει. (Χάρητος.)

Ὃ μέλλεις ποιεῖν μὴ λέγε, ἀποτυχὼν γὰρ καταγελασθήσῃ. (»)

Λυκοῦργος πρὸς τὸν εἰπόντα, διατί Λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν; εἶπεν, ὅτι ἐγγύς.

Σιμωνίδης μηδέποτε μὲν αὐτῷ ἔλεγε μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.

Ὧν ἄκοσμος ὁ βίος, τούτοις ἡ σιωπὴ μέγιστος κόσμος. («)

Δημοσθένης μειρακίου παρὰ πότον πολλὰ ληροῦντος, καὶ μὴ βουλομένου σιωπῆσαι, μειράκιον εἶπε πῶς παρ' οὗ ἔμαθες λαλεῖν, παρ' αὐτοῦ σιωπᾶν οὐκ ἔμαθες;

Ὀνειδίζοντος αὐτῷ τινος, ὅτι στόμα δυσῶδες εἶχεν, εἶπεν ὅτι πολλὰ εἰπὼν τῶν ἀπορρήτων ἐγκατεσάπη.

Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ ἡ καρδία σου μὴ ταχυνέτω τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ Θεοῦ. (Ἐκκλ. ε'. 1.)

Ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, στόμα δὲ ἄστεγον ποιεῖ ἀκαταστασίας. (Παρμ. κς'. 20 28.)

Ὁ ἄστεγος χείλεσι σκολιάζων, ὑποσκελισθήσεται. (ι'. 8)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Τίς δώσει μοι ἐπὶ στόματί μου φυλακὴν καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον, ἵνα μὴ πέσω ἀπ' αὐτῆς, καὶ ἡ γλῶσσά μου ἀπολέσῃ με ; (Σολομντ.)*

*Τοῖς λόγοις σου ποιησον ζυγὸν καὶ σταθμόν· καὶ τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν. — εἰ ἔστι σοι λόγος συνετὸς ἀποκρίθητι τῷ πλησίον, εἰ δὲ μὴ ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου.*

## ΚΕΦΑΛΑΙΟΝ Ρ'.

### Περὶ ἀκρατείας γλώσσης.

*Ὁ τὰ πολλὰ λέγων, καὶ ἀντακούσεται· μὴ πολὺς ἐν ῥήμασι γίνου· μέχρι τίνος οὐ σιωπήσεις ; ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν, διατί ὥσπερ τετράποδα ἐσιωπήσαμεν ἐναντίον σου ; (Ἰώβ. λα.')*

*Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. (ψλ.)*

*Ἤκουσας λόγον, συναποθανέτω σοι. — Μὴ ἴσθι ταχὺς ἐν λόγοις, καὶ μὴ συμπαρεκτείνῃ πένης ὢν πλουσίῳ, μηδὲ τῶν σοφῶν εἶναι σοφώτερος. (Σολομῶντος.)*

*Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν· ἐὰν ἐξελκύσῃ λόγον ἐξελκύσονται κρίσεις καὶ μάχαι.*

*Ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος. (Παροιμ. ιή'.)*

*Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγο.ς, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. ( » κθ'. 20)*

*Οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ. ( » δ'. 14.)*

*Ὁ ἄφρων πληθύνει λόγους, ὁ δὲ πλεονάζων ἐν λόγῳ μισηθήσεται. (ἐκκλ. ι'.)*

*Φωνὴ ἄφρονος ἐν πλήθει λόγων. (Σειράχ )*

*Μὴ γίνου ταχὺς ἐν λόγῳ σου, καὶ νωθρὸς καὶ παρειμένος ἐν λόγοις σου ( »)*

*Χείλη πολυλάλων τὰ οὐκ αὐτῶν διηγήσονται. ( »)*

*Μικρὸν μέλος ἡ γλῶσσα ἀλλὰ μεγάλα κακὰ εἰς τὸν ἄνθρωπον κατεργάζεται. Ἰδοὺ γὰρ πᾶσα φύσις ὑπὸ ἀνθρώπων δεδάμασται, τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται δαμάσαι· ἀκατάσχετον γάρ ἐστι κακόν· μεστὴ ἰοῦ θανατηφόρου. Τοῦτο δὲ πάντως ὁρᾷς, ὅτι καὶ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὸ στόμα βάλλομεν, πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν ἔνθα καὶ βουλόμεθα. Ὡσαύτως καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ ἀνέμων σκληρῶν ἐλαυνόμενα, ὑπὸ ἐλαχίστου μετάγονται πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ ἰθύνοντος βούληται. Οὕτω καὶ ἡ γλῶσσα, μικρὸν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέλος οὖσα, καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα (Συμεὼν τοῦ Μεταφραστοῦ.)

Ὁ θέλων ζωὴν καὶ ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς, παυσάσθω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζηλωσάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. (Α. Πέτρ. γ'.)

Κόρος λόγου πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώμασιν. (Θεολόγου.)

Ὄλισθος ἀνθρώποις, γλῶσσα μὴ λόγῳ κυβερνωμένη. (»)

Φαινομένων ἔργων περιττόν ἐστι μακρολογία. (Ἰουστίνου.)

Λόγος ἁπλῶς προσενεχθεὶς ὁλοκλήρους πολλάκις οἴκους ἀνέτρεψε, καὶ ψυχὰς ἀπώλεσε, κατέδυσε· καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν, πάλιν ἔνι λαβεῖν· λόγου δὲ ἐκπηδήσαντα ἅπαξ, ἀνακτήσασθαι πάλιν οὐκ ἔνι. (Χρυσοστμ.)

Τὰ λοιπὰ τῶν ἁμαρτημάτων, καὶ λόγου καὶ πραγμάτων, καὶ τῆς ἔξωθεν συνεργείας πρὸς τὸ γενέσθαι δέονται, ἡ δὲ τοῦ λόγου φύσις, καθ' ἑαυτὴν ἐξουσίαν ἔχει τοῦ πλημμελεῖν. (Γρηγ. Νύσσης.)

Ὦ μὴ ἐφεδρεύει αἰδὼς καὶ φόβος, ἀχάλινον τὸ στόμα, καὶ ἀνειμένη γλῶττα κινεῖται. (Φίλωνος.)

Παγὶς ἀνδρὶ ἰσχυρὰ τὰ ἴδια χείλη· ἁλίσκεται δὲ ῥήμασιν ἰδίου στόματος. (ς'. 2.)

Ἀνὴρ εὐμετάβολος γλώσσει ἐμπεσεῖται εἰς κακά. (ιζ'. 20.)

Βέλος πεπηγὸς ἐν μηρῷ σαρκός, οὕτω λόγος ἐν κοιλίᾳ μωροῦ. (ιζ'. 21.)

Ὄλισθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης. (κ'. 18.)

Πληγὴ μάστιγος ποιεῖ μώλωπα, πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ. (κη'. 17.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΑ'.

### Περὶ ἐγκρατείας γλώσσης.

Οὐ λαλήσει τὸ στόμα μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα. (Ἰὼβ κζ'.)

Εἶπα φυλάξω τὰς ὁδούς σου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ. (ψλ. λα'.) ἔθεμην τῷ στόματί μου φυλακήν, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. (ρμ'.)

Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. (Σολομῶντος.)

Ἀπὸ καρπῶν στόματος ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ. (α)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου. (Παρμ. β'. (ἴδε καὶ κδ')

Ὃς φείδεται ῥῆμα προέσθαι σκληρόν, ἐπιγνώμων. (» ιξ'. 28).

Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ. (κα'.)

Θάνατος καὶ ζωὴ ἐν χερσὶ γλώσσης· οἱ δὲ κρατοῦντες αὐτὴν ἔδονται τοὺς καρποὺς αὐτῆς. (ιη'.)

Κηρία μέλιτος λόγοι καλοί, γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς. (ις'.)

Λόγοι στόματος σοφοῦ χάρις· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσαν αὐτοῦ. Ἐκκλησ. ι'.)

Μὴ ἀποκωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. (»)

Εἰ ἔστι σοι λόγος ἀποκρίθητι· εἰ δὲ μὴ ἔστω ἡ χείρ σου, ἐπὶ τῷ στόματί σου.

Μὴ χελιδόνας εἰς οἰκίας δέχεσθε, τουτέστι λάλους ἀνθρώπους, καὶ τοὺς περὶ γλῶσσαν ἀκρατεῖς ὁμοροφίους μὴ ποιεῖσθε. (Κυρίλλ.)

Μακάριος ἀνήρ, ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ.

Ζυγόν φησι καὶ σταθμὸν ποιῆσαι τῇ σεαυτοῦ γλώσσῃ, πλείονα ἀκρίβειαν ἐπιζητῶν, ἵνα μὴ μόνον ἐκφέρωμεν ῥήματα, ἃ δεῖ, ἀλλὰ καὶ μετὰ τῆς προσηκούσης ἀκριβείας σταθμίζοντες, ὡς ἄν εἴποι τις, καὶ διερευνώμενοι· εἰ γὰρ ἐπὶ χρυσοῦ τοῦτο ποιοῦμεν, καὶ ὕλης ἀπολλυμένης, πολλῷ μᾶλλον ἐπὶ ῥημάτων ποιεῖν δεῖ ὥστε μηδὲν ὑστερεῖν, ἢ περιττεύειν διὸ καί τις φησι, μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· εἶδες καιρὸν ἐξόδου; ἕτερος δὲ καιρὸν σιγῆς λέγων, φησιν, εἰ ἔστι σοι λόγος ἀποκρίθητι, εἰ δὲ μή, ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου, καὶ πάλιν ὁ πλεονάζων ἐν λόγῳ μισηθήσεται. (Χρυσοτμ. τμ. ε'. 433 εἰς τὸν ρμ'. ψλ.)

Ἡ γλῶσσα μὴ προτρεχέτω τῆς διανοίας. Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν· εἰ μὴ καθέξῃς γλῶσσαν, ἔσται σοι κακά. (Χίλωνος.)

Λόγον δὲ κουφοτάτου πράγματος, βαρυτάτη ζημία καὶ παρὰ θεοῦ ἕπεται καὶ παρὰ ἀνθρώποις. (Πλάτωνος)

Στέργει οὐδεὶς ἄγγελον κακιῶν εἰπεῖν. (Σοφοκλέους.)

Σιγὴ γλώσσης δένδρον ζωῆς· ὁ δὲ συντηρῶν αὐτὴν πλησθήσεται πνεύματος· θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης· οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τῶν καρπῶν αὐτῆς. — Πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας ἀλλ' οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν. (διαφόρων.)

Οὐδεὶς λόγος οὕτως ὠφέλησε ῥηθείς, ὡς πολλοὶ σιωπηθέντες, ἔστι γὰρ εἰπεῖν ποτε τὸ σιγηθέν, οὐ μὴν σιωπῆσαί γε τὸ λεχθέν, ἀλλ' ἐκπέχυται καὶ διαπεφοίτηκεν. Ὡς γὰρ ἡ μονὰς οὐκ ἐκβαίνει

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τὸν ἑαυτῆς ὅρον, ἀλλ' ἅπαξ τὸ ἓν μένει, διὸ κέκληται μονάς· ἡ δὲ δυὰς ἀρχὴ διαφορᾶς ἀόριστος.... Οὕτω λόγος ἐν τῷ πρώτῳ καταμένων, ἀπόρρητος ὡς ἀληθῶς ἐστιν· ἂν εἰς ὕστερον ἐκβῇ, φήμης ἔσχε τάξιν. — Γλώσσης θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος. Ὁ μὲν θησαυρὸς τῆς γλώττης ἐστὶν ἡ κρύψις τῶν νοημάτων τῶν ἐν τῇ ψυχῇ, καὶ τῶν φαντασιῶν τῶν δυναμένων ἐκφέρεσθαι ὑπὸ τῆς γλώττης προπετῶς κινουμένης· δεῖ γὰρ τὴν κίνησιν ἐπιμετρεῖν τῇ γλώττῃ καὶ τὸν καιρὸν τῆς κινήσεως, ἀλλ' οὐ ταύτην κυρίαν εἶναι ἑαυτῆς· καὶ διὰ τοῦτο δέδωκεν ἡ φύσις διὰ μὲν τῶν ὀδόντων ἕρκος αὐτῇ πρόσθεν κατακλείουσα μαλακὴν αὐτὴν οὖσαν καὶ εὐκίνητον· τὸν δὲ ἐγκέφαλον ἄνωθεν ὑπάρχοντα τοῦ λόγου τὸ μέτρον αὐτῇ παρέχειν ἐνδεικνυμένη. (Πλουτάρχου.)

— Πιστὸν οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ διχόμυθον ἔχουσα καρδίᾳ νόημα. (Πιττ. παρὰ Διογ. Λαερτίου, 1, 78.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΒ'.

### Περὶ γλώσσης κακῆς καὶ ἀνθρώπου γλωσσώδους.

Σκολιὸς ἐν τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν. (Παρμ. κς'. 29)

Βόθρος βαθὺς στόμα παρανόμου, ὁ δὲ μισηθεὶς ὑπὸ Κυρίου ἐμπεσεῖται εἰς αὐτόν. (κβ'. 14.)

Χείλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακά, τὸ δὲ στόμα αὐτοῦ θρασύ, θάνατον ἐπικαλεῖται· στόμα ἄφρονος συντριβὴ αὐτῷ, τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ (» ιη'. 6—7.)

Στόμα ἀφρόνων ἀναγγελεῖ κακά. (» ιε'. 1—2.)

Δι' ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδα ὁ ἁμαρτωλός. (ιβ'. 13.)

Ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους. (Σειράχ. ιξ'. 21.)

Μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους, καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα. (» η'. 3.)

Τὸν ὄφιν, λέγεται δεινὸν ἔχειν τὸ κέντρον τῆς γλώσσης αὐτοῦ, ἀλλ' οὐκ ἔστι δεινότερον γλώσσης ἀνθρώπου κακῆς· λέγεται καὶ σαύρα χλωρά, ἀλλ' οὐκ ἔστι χειροτέρα τοῦ φλυάρου. Σκορπίου δῆγμα θεραπεύεται, λόγος δὲ κακὸς ἐξερχόμενος ἐκ στόματος φλυάρου πλήσσει τὸν πλησίον αὐτοῦ· φλόγα πυρὸς κατασβεννύει ὕδωρ, γλῶσσαν δὲ κακὴν οὐδεὶς καταπραΰνει· ἵππον σκληροτράχηλον δαμάζει χαλινός, γλῶσσαν δὲ κακὴν οὐδεὶς δύναται δαμάσαι. Θηρίον ἄγριον εὐχερῶς ἡμεροῦται, γλῶσσα δὲ κακὴ οὐ πραΰνεται· οὔτε ἔστι ἐν τῷ κόσμῳ χείρων γλώσσης κακῆς. Συγκρούει πόσιν πρὸς πόσιν, οἰκίαν πρὸς οἰκίαν, τέκνα κατὰ γονέων, ἀδελφοὺς κατ' ἀδελφῶν. Πάντα κακὰ διὰ γλώσσης. (Κυρίλλου.)



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Γλῶσσα μαλακὴ συντρίβει ὀστᾶ. (Παροιμ. κε'. 15.)*

*Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδος ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει· ὀξεῖς οἱ πόδες αὐτῶν τοῦ ἐκχέαι αἷμα, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. (Ρμ. γ. 13.)*

*Ἐμέρισαν καρδίας αὐτῶν, νῦν ἀφανισθήσονται. (Ὡσηὲ ι. 2)*

*Αὕτη ἡ γλῶσσα, ἡ διὰ παντὸς κακὰ προφέρουσα καταλυπήσει σε καὶ βλάψει. Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης. (Παρμ. ιή'.21)*

*Πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. (Ματθ. ιβ'. 36 )*

*Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. (ψλ. λγ'.)*

*Ἐκ τοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. (Ἰακώβ. γ. 10.)*

*Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θ·ὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγονότας. (Ἰακώβ. ξ. 9.)*

*Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι· μὴ τι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν ; μὴ δύναται ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα ; οὕτως οὐδὲ μία πηγὴ ἁλικὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ. (Ἰακώβ. γ'. 11.)*

*Ὅπου γὰρ ζῆλος καὶ ἐριθεια, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. (Ἰακώβ. γ'. 16.)*

*Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία (Ἰακώβ. α'. 26).*

*Ἡ γλῶσσα εἶναι πῦρ, κόσμος τῆς ἀδικίας, ἀκατάσχετον κακόν, μεστὴ ἰοῦ θανατηφόρου. — Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ. (*)*

*Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς· ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ ; Μηδέποτε δευτερώσῃς λόγον, καὶ οὐδέν σοι ἐλαττονηθῇ· ἀνὴρ σοφὸς σιγήσει ἕως καιροῦ· ὁ δὲ ἀκρατὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν.*

*— Ἔνιοι τῶν ἀνθρώπων τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται. (Αἰσώπ. μῦθ. 141.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΓ'.

### Περὶ διγλώσσου.

*Λόγος πονηρὸς ἐγείρει ὀργάς, καὶ ἀνὴρ δίγλωσσος ἀποκαλύπτει*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*βουλὰς ἐν συνεδρίῳ. Φοβερὸς ἐν πόλει ἀνὴρ δίγλωσσος.* (*Σειράχ. θ' 8.*)

*Κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου.* (» *ε'. 14.*)

*Πᾶς ἁμαρτωλὸς καὶ δίγλωσσος αἰσχύνην καὶ ὄνειδος κληρονομήσει.* » *ς'. 1.*)

*Ψίθυρον καὶ δίγλωσσον καταράσασθε· πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσε.*

*Γλῶσσα διττὴ πολλοὺς ἐσάλευσε, καὶ διέστειλεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος, καὶ πόλεις ὀχυρὰς καθεῖλε, καὶ οἰκίας μεγιστάνων κατέστρεψε.*

*Γλῶσσα διττὴ γυναῖκας ἀνδρείας ἐξέβαλε, καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν· ὁ προσέχων αὐτῇ, οὐ μὴ εὕρῃ ἀνάπαυσιν, οὐδὲ κατασκηνώσει μετὰ ἡσυχίας.* (*Σειράχ. κη'. 13—16.*)

*Μὴ κληθῇς ψίθυρος, καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε. Ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη, καὶ κατάγνωσις πονηρὰ ἐν γλώσσῃ σου.*

*Μηδέποτε δευτερώσῃς λόγον, καὶ οὐδέν σοι ἐλαττονηθῇ. Πληγὴ μάστιγος ποιεῖ μώλωπας· πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΔ'.

### Περὶ διψύχων καὶ παλιμβούλων.

*Οὐαὶ καρδίᾳ δισσῇ καὶ ἁμαρτωλῷ ἐπιβεβηκότι ἐπὶ δύο τρίβους.* (*Σρχ. β'. 14.*)

*Μὴ προσέλθῃς καρδίᾳ δισσῇ.* » *α'. 36.*)

*Αἴγυπτον ἐπεκαλοῦντο καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν.* (*Ωσ. 2. 11*)

*Καρδία ἐπιβαίνουσα δυσὶν ὁδοῖς οὐκ εὐοδωθήσεται* (*Σρχ. γ'. 28*).

*Ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροικήσεις, οὐκ ἀνοίξεις στόμα.* (» *κθ'. 24.*)

*Τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἦν εἰρήνη ἀπὸ τῆς θλίψεως.* (*Ζαχαρ. η'. 10.*)

*Ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.* (*Ἰακ. α' 8.*)

*Οἷς εὔκολος εἰς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικός, καὶ τὸν βίον εἶναι μὴ τεταγμένον.* (*Βασιλείου.*)

*Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασι πρὸς τὰς τῶν ἀνέμων μεταβολάς, ἄλλοτε κατ' ἄλλο μέρος τοῦ ἀέρος ἐκφερομέναις.* (»)

*Κούφους καὶ ἀνοήτους τούτους ὑπολαμβάνομεν, τοὺς ῥᾳδίως ἐπ' ἀμφότερα φερομένους καὶ μεταῤῥέοντας, καθάπερ αὔρας μεταπιπτούσας, ἢ μεταβολάς, ἢ παλιῤῥοίας εὑρίπων ἢ θαλάσσης ἀστάτου κύματα.* (*Ναζιανζοῦ.*)

*Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα*
*γλῶσσ' ἐκπορίζει.* (*Εὐριπίδ. Ἀνδρομ. 629.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον. (Εὐριπίδ. Ὀρεστ. 10.)

— Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα· ὁποῖον κ' εἰπησθα ἔπος, τοῖον, κ' ἐπακούσαις. (Ὁμήρ. Ἰλ. κ'. 248.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΕ'.

### Περὶ ἀργολογίας καὶ γλωσσαλγίας.

— Ὃ μὴ θέλεις ἀκούειν μηδὲ εἰπῇς· ὃ μὴ θέλεις λέγειν μηδὲ ἄκουε· ὥτων γὰρ καὶ γλώσσης μέγας ὁ κίνδυνος. (Κάτων Ρωμαῖος)

— Κλεόβουλος ἔφη φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον. (Κλεόβουλος Ρόδιος.)

— Τὸ γὰρ λέγειν ὡς δεῖ, τοῦ φρονεῖν εὖ, μέγιστον σημεῖον ποιούμεθα. (Ἰσοκράτης.)

— Θρύλλους φεῦγε ἵνα μὴ μυθοπλάστης δόξῃς. (Κάτων Ρωμ.)

— Ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπατηθέντος, καὶ ὁ μὴ ἀπατήσας δικαιότερος τοῦ ἀπατήσαντος. (

— Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται δαμάσαι ἀνθρώπων, ἀκατάσχετον κακὸν μεστὴ ἰοῦ θανατηφόρου· ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ Πατέρα καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας· ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. Οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι· μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ πικρόν; μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; οὔτως οὐδεμία πηγὴ, ἁλικὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ· ἐὰν λοιπὸν ἄλογος φύσις ὑπείκῃ τοῖς ὅροις τῆς φύσεως, πόσῳ μᾶλλον ἡ λογικὴ φύσις τῶν ἀνθρώπων χρεωστεῖ νὰ ὑπακούῃ;

— Γλώσσης μάλιστα πειρῶ κρατεῖν. (Μένανδρ.)

— Ἡ γλῶσσα πολλῶν αἰτία κακῶν. (Μένανδρ.)

— Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. (ψλ. 139.

— Ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. (Ματθ. ιβ'. 34.)

— Ἅπας λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται κενόν. (Δημοσθ. Ὀλυνθ. 2, 21.)

— Τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν, κοινόν. (Ἀριστοτ. Ἠθ. Νικομ. 2, 2, 2.)

— Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. (Μενάνδρ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οἱ γὰρ εὐγενοῦς καὶ βασιλικῆς τῷ ὄντι παιδείας τυχόντες, πρῶτον σιγᾶν, εἶτα λαλεῖν μανθάνουσι.* (*Πλουτάρχ.*)

— *Μὴ πολὺς ἐν ῥήμασι γίνου· μέχρι τίνος οὐ σιωπήσεις; ἐπίσχες ἵνα καὶ αὐτοὶ λαλήσωμεν· ὥσπερ γὰρ τετράποδα ἐσιωπήσαμεν ἐναντίον σου.* (*Ἰώβ.*)

*Ἔστι σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν· καὶ ἔστι σιωπῶν. Εἰδὼς καιρόν. Φθέγγου μὲν εἶτι κρεῖττον σιωπῆς ἔχεις, ἀγάπα δ' ἡσυχίαν, ἔνθα κρεῖττον λόγου τὸ σιωπᾶν.* (*Γρηγ. Θεολόγ.*)

— *Λόγος ἁπλῶς προσενεχθεὶς ὁλοκλήρους πολλάκις οἴκους ἀνέστρεψε, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέδυσε· καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν, πάλιν ἔνι λαβεῖν· λόγον δ' ἐκπηδήσαντα ἅπαξ, ἀνακτήσασθαι οὐκ ἔνι.* (*Χρυσ.*)

— *Ὥσπερ οὖν καλὸν τὸ σιωπᾶν, τοσοῦτον βδελυκτὸν στόμα ἄστεγον, καὶ γλῶσσα πολύλογος καὶ θρασεῖα.* (*Συμεὼν Μεταφρ.*)

— *Ἀνὴρ πολυρρήμων παρὰ σοφῶν οὐκ ἀγαπηθήσεται, ἀλλὰ καὶ παρὰ Κυρίου μισηθήσεται.* (*Συμεὼν τοῦ Μεταφραστοῦ.*)

— *Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν.*
*Μακρὸν νόμιζε κἂν δύ' εἴπῃ συλλαβάς.*
*Τὸν δ' εὖ λέγοντα μὴ νόμιζε εἶναι μακρόν,*
*Μηδ' ἂν σφόδρα εἴπῃ πολλά, καὶ πολὺν χρόνον.*
*Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.*
*Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,*
*Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἰρηκε μακρόν.* (*Φιλήμονος.*)

— *Ζήνων πρὸς τὸ φλυαροῦν μειράκιον, διὰ τοῦτο, ἔφη, δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν.* (*Ζήνωνος.*)

— *Ὄντος τινὸς λάλου, καὶ σχολάζειν παρά τινι φιλοσόφῳ βουλομένου, διττοὺς οὗτος ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυνθανομένου, «ἕνα μέν, ἔφη, ἵνα λαλεῖν μάθῃς, τὸν δὲ ἕτερον, ἵνα σιγᾶν.»* (*Ἰσοκράτης.*)

— *Καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.* (*Σοφοκλέους.*)

— *Ὦ παῖ, σιώπα· πόλλ' ἔχει ἡ σιγὴ καλά.* (*Σοφοκλ.*)

— *Ἀριστοτέλης ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ κοπτόμενος ἀτόπως τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέγοντος· «Οὐ θαυμαστὸν Ἀριστότελες;» Οὐ τοῦτο φησὶ θαυμαστόν· ἀλλ' εἴ τις πόδας ἔχων σὲ ὑπομένει. — Ἑτέρῳ δέ τινι τοιούτῳ μετὰ πολλοὺς λόγους εἰπόντι· «Κατηδολέσχηκά σου, φιλόσοφε».» Μὰ Δί' εἶπεν, οὐ γὰρ προσεῖχον.* (*Ἀριστοτέλους.*)

— *Πιττακός, τοῦ Αἰγυπτίου βασιλέως πέμψαντος ἱερεῖον αὐτῷ, καὶ κελεύσαντος τὸ κάλλιστον καὶ τὸ χείριστον ἐξελεῖν κρέας, ἔπεμ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψεν ἐξελὼν γλῶτταν ὡς ὄργανον μὲν ἀγαθῶν, ὄργανον δὲ τῶν κακῶν τῶν μεγίστων οὖσαν. (Πιττακοῦ.)

— Πανταχοῦ μὲν οὖν τῷ νέῳ κόσμος ἀσφαλὴς ἐστιν ἡ σιωπή, μάλιστα δ' ὅταν ἀκούων ἑτέρου μὴ συνταράττηται, μηδ' ἐξυλακτῇ πρὸς ἕκαστον, ἀλλά, κἂν ὁ λόγος ᾖ μὴ λίαν ἀρεστός, ἀνέχηται καὶ περιμένῃ παύσασθαι τὸν διαλεγόμενον καὶ παυσαμένου, μὴ εὐθέως ἐπιβάλλῃ τὴν ἀντίρρησιν, ἀλλ', ὡς Αἰσχίνης φησί, διαλείπῃ χρόνον, εἴ τι προσθεῖναί τι βούλοιτο τοῖς λεγομένοις ὁ εἰρηκώς, εἴ τι μεταθέσθαι καὶ ἀφελεῖν. Οἱ δὲ εὐθέως ἀντικόπτοντες, οὔτε ἀκούοντες, οὔτε ἀκουόμενοι, λέγοντες δὲ πρὸς λέγοντας, ἀσχημονοῦσιν. (Πλουτάρχου.)

— Ὁ δ' ἀδόλεσχος πανταχοῦ ληρεῖ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ, ἐν περιπάτῳ, μεθ' ἡμέραν, νύκτωρ· ἔστι δὲ θεραπεύων τῆς νόσου βαρύτερος· συμπλέων, τῆς ναυτίας ἀηδέστερος· ἐπαινῶν τοῦ ψέγοντος ἐπαχθέστερος· ἥδιόν γέ τοι πονηροῖς ὁμιλεῖν ἐπιδεξίοις, ἢ χρηστοῖς ἀδολέσχαις.— Τῶν μὲν οὖν ἄλλων νοσημάτων καὶ παθῶν τὰ μέν ἐστιν ἐπικίνδυνα, τὰ δὲ μισητά, τὰ δὲ καταγέλαστα· τῇ δ' ἀδολεσχίᾳ πάντα συμβέβηκε· χλευάζονται μὲν γὰρ ἐν ταῖς κοιναῖς διηγήσεσι, μισοῦνται δὲ διὰ τὰς τῶν κακῶν προσαγγελίας, κινδυνεύουσι δὲ τῶν ἀπορρήτων μὴ κρατοῦντες.— Χαριέντως γοῦν ὁ βασιλεὺς Ἀρχέλαος, ἀδολέσχου κουρέως περιβάλλοντος αὐτῷ τὸ ὠμόλινον καὶ πυνθανομένου. «Πῶς σε κείρω, βασιλεῦ;» «Σιωπῶν» ἔφη· ἐπιεικῶς γὰρ λάλον ἐστὶ τὸ τῶν κουρέων γένος. (Πλτ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΣΤ'.

### Περὶ αἰσχρολογίας.

— Αἰσχρολογίας δὲ παντελῶς αὐτοῖς τε ἡμῖν ἀφεκτέον, καὶ τοὺς χρωμένους αὐτῇ ἐπιστομιτέον, καὶ ὄψει ὀριμυτέρᾳ, καὶ προσώπου ἀποστροφῇ, καὶ τῷ ἀπομυκτιρισμῷ, πολλάκις δὲ καὶ λόγῳ τραχυτέρῳ. (Κλήμ. Ἀλεξ. η'. 452—457.)

— Βούλει .... μαθεῖν ὅσον κακὸν τὸ αἰσχρὰ φθέγγεσθαι; Ἐνόησον τοὺς ἀκούοντας πῶς ἐρυθριῶσιν ἐν τῇ ἀσχημοσύνῃ τῇ σῇ. Τί γὰρ εὐτελέστερον ἀνδρὸς αἰσχρολόγου; Τί ἀτιμότερον; Εἰς γὰρ τὴν τῶν μίμων ὠθοῦσιν ἑαυτοὺς οἱ τοιοῦτοι τάξιν καὶ εἰς τὴν τῶν πεπορνευμένων γυναικῶν· μᾶλλον δὲ ἐκεῖναι ἐρυθριῶσι μᾶλλον, ἢ ὑμεῖς. (Χρυστ. ξα'. 440.)

— Ἐξετάσωμεν τὸν αἰσχρὰ φθεγγόμενον, πῶς ἐστι καταγέλαστος, πῶς ἑαυτὸν καθυβρίζει πρῶτον· καθάπερ τις βόρβορόν τινα ἀπὸ τοῦ στόματος ἀφιείς, οὕτως ἑαυτὸν μολύνει. Εἰ γὰρ τὸ ῥεῖ-

θρον οὕτως ἀκάθαρτον, ἐννόησον οἷα ἡ πηγὴ τοῦ βορβόρου τούτου· «Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ». Ἐγὼ δὲ οὐ διὰ τοῦτο πενθῶ μόνον, ἀλλ' ὅτι οὐδὲ εἶναι δοκεῖ τῶν ἁτόπων τοῦτο παρά τισιν. Ἐντεῦθεν αὔξεται τὰ κακά, ὅταν καὶ ἁμαρτάνωμεν, καὶ μηδὲ πλημμελεῖν νομίζωμεν. (Χρυσ. ξα'. 440.)

Πᾶς λόγος σαπρὸς μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν, ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. (Ἐφεσ. δ'. 29)

Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. (Α'. Κορινθ. ε'. 33).

Αἰσχρότης καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ μὴ ἀνήκοντα, μηδὲ ὀνομαζέσθωσαν ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις. (Ἐφεσ. ιε'. 4).

Αἰσχρολογία μὴ ἐξερχέσθω ἐκ τοῦ στόματος ὑμῶν. (Κολοσ. γ'.8)

Κηρῷ τὰ ὦτα φράττε πρὸς λόγους φαύλους, ᾠδῶν τε τερπνῶν ἐκμελῆ λυγίσματα.

Ὁδὸν ἐπ' ἀναισχυντίαν, ἢ αἰσχρολογίαν, καὶ τέλος ἀμφοῖν ἡ αἰσχρουργία.

Κίνδυνον φέρει πολλάκις τὸ δυσφήμους λόγους ἀκούειν. (Ἰωάν. Δαμ. τμ. Β'. 379 )

— Φύλαξε ἀπὸ παντὸς ῥήματος πονηροῦ. (Δευτερονομ.)

— Μὴ ἀσχημόνει, ὦ στρατιῶτα! Διότι Κύριος ὁ Θεὸς ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου. (αὐτοθ.)

— Ἡ γὰρ πρὸς τοὺς φαύλους λόγους συνήθεια ὁδός τις ἐστὶν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τοῦ λόγου ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. (Βασ.)

— Πολλοὶ πολλάκις καὶ σωφρονοῦντες, ἀπὸ ῥημάτων αἰσχρῶν ἦλθον ἐπὶ πράξεις πονηράς. (Χρυσ.)

— Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. (Ἰσοκράτ.)

— Τὰ δ' αἰσχρὰ τῶν ῥημάτων οὐχ ἧττον εὐλαβεῖσθαι τοῦ παιδὸς παρόντος, ἢ τῶν ἱερῶν παρθένων, ἃς ἑστιάδας καλοῦσι. (Πλτ.)

— Δεῖ δὲ τὰ αἰσχρὰ φεύγειν καὶ αἰδεῖσθαι. (Πλουτάρχ.)

— Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς σαυτῷ γε συνειδήσεις. (Ἰσοκράτ.)

= Ὃ μὴ θέλῃς ἀκούειν, μηδὲ εἴπῃς· ὃ μὴ θέλῃς λέγειν, μηδὲ ἄκουε· ὥτων καὶ γλώσσης μέγας ὁ κίνδυνος. (Κλειτάρχ.)

— Δεινὸν τὸ διαχυθῆναι τῇ εὐτραπελίᾳ· ὁ γὰρ γέλως χαυνοῖ τὸν δεσμὸν τῆς σωφροσύνης· γέλως ἀπωθεῖ τὴν σεμνότητα· γέλως οὐ μιμνήσκεται φόβον Θεοῦ, γέλως οὐ φοβεῖται ἀπειλὴν γεέννης· πορνείας ὁδηγός, γελωτοποιΐα καταφρονήσεως πρόφασις .... εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τράπελος γίνεται ὁ ποικίλος, ὁ παντοδαπός, ὁ ἄστατος, ὁ εὔκολος, ὁ πάντα γινόμενος· τοῦτο δὲ πόρρω τὸν τῇ πέτρᾳ (Χριστῷ) δουλεύοντα· δεῖ γὰρ αὐτὸν καὶ σχῆμα καὶ ῥῆμα καὶ γέλωτα καὶ βάδισιν καὶ πάντα μιμεῖσθαι καὶ σκώμματα δὲ ἐπινοεῖν χρὴ τὸν τοιοῦτον· πόρρω δὲ τοῦτο χριστιανοῦ τὸ κωμῳδεῖν· καὶ ἀνάγκη τὸν εὐτράπελον ἔχθρας ἀναδέχεσθαι περιττὰς τῶν εἰκῇ σκωπτομένων ἄν τε παρῶσιν ἄν τε ἀπῶσιν. (Χρυσοστ.

— Ὁ γὰρ διάβολος μιαρὸς ὤν, πολλῇ κέχρηται τῇ εὐτονίᾳ καὶ συγκαταβάσει πρὸς τὴν τῶν ἀνθρώπων ἀπώλειαν καὶ ἀπὸ τῶν μικροτέρων προσβάλλει. (Χρυσοστμ.)

— Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα.
Καὶ ὥσπερ ἰὸς ἐχίδνης πολλοὺς διώλεσεν·
ταῦτα οὖν ὁρῶν ἔκκλινε καὶ μικρὸν βλάβος,
μικρὸν μέν ἐστιν, ἀλλ' εἰς μεῖζον ἔρχεται. (Γρηγ. Θεολόγου.

— Ὁ τοῖς μικροῖς εὐάλωτος πῶς ἂν τὰ μείζονα φυλάξαι δυνηθείη. (Ἁγ. Συγκλητική.)

— Ἴδετε οἱ καταφρονηταὶ τοῦ Θεοῦ καὶ ἐπιβλέψατε καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε.

— Γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστειότης, οὐδὲν εὐσταθές, οὐδὲν στιβαρόν. Γέλωτος ἐμπέπλησται ἡ ἐκκλησία καὶ τὸ θαυμαστὸν ἐν αὐτῷ τῷ καιρῷ τῆς προσευχῆς οὐ παύοντα πολλοὶ τοῦ γελᾶν, πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνεδύσατο πάντων κρατεῖ . . . . . ἐπικαλεῖσθαι δεῖ· μὴ ῥᾳθύμει· μὴ μετεωρίζου τῷ νῷ ὧδε κἀκεῖσε· ὁ γὰρ τοιοῦτος οὐ μόνον οὐ λήψεται τὸ αἴτημα, ἀλλὰ καὶ μειζόνως παροξύνει τὸν Δεσπότην. (Χρυσοστ.)

Ἐπισφαλὲς τὸ εἰς αἰσχρολογίαν προελθεῖν. (Ἐπικτ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΖ'.

### Περὶ φιλονεικίας καὶ ἀντιλογίας.

— Οἱ φιλονεικοῦντες τοῖς κρείττοσι τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι. (Αἰσώπ. μῦθ. 108.)

— Φιλονεικότεροι πάντες εἰώθασι γίγνεσθαι, ὅσοι συνίσασιν αὐτοῖς μᾶλλον δυναμένοις. (Σωπάτ.)

— Πολλοῖς μὲν ἀντιλέγειν ἔθος περὶ παντὸς ὁμοίως,
Ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει.
Καὶ πρὸς μὲν τούτους ἀρᾶς λόγος εἷς ὁ παλαιός,
Σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.
Τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
Οἵπερ καὶ ῥᾷστοι εἰσὶ διδασκαλίας. (Εὐήνου.)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

## Περὶ περιαυτολογίας.

— *Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,*
*Οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·*
*Νῦν δ' ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος*
*Λαβεῖν ἀμισθί, πᾶς τις ἥδεται λέγων*
*Τὰ τ' ὄντα καὶ μή· ξημίαν γὰρ οὐκ ἔχει.* (*Εὐριπίδου.*)

— *Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους ὑπερεχθαίρει.* (*Σοφοκλ.*)

— *. . . . . Μεγάλοι δὲ λόγοι*
*Μεγάλας πληγὰς τῶν ὑπεραύχων*
*Ἀποτίσαντες, γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.* (*Σοφοκλ.*)

— *Τὸ περὶ ἑαυτοῦ λέγειν ὡς τι ὄντος ἢ δυναμένου πρὸς ἑτέρους, λόγῳ μὲν ἐπαχθὲς ἀποφαίνουσι πάντες καὶ ἀνελεύθερον· ἔργῳ δὲ οὐ πολλοὶ τὴν ἀηδίαν αὐτοῦ διαπεφεύγασιν οὐδὲ τῶν ψεγόντων.* (*Πλουτάρχ.*)

— *Ἔστιν οὖν κενὸς ἔπαινος, ὁ τῶν ἑαυτοὺς ἐπαινεῖν, ὅπως ἐπαινεθῶσι, δοκούντων· καὶ καταφρονεῖται μάλιστα φιλοτιμίας ἕνεκα γενέσθαι καὶ δόξης ἀκαίρου φαινόμενος· ὡς γὰρ οἱ τροφῆς ἀποροῦντες παρὰ φύσιν εἰώθασι τρέφεσθαι, καὶ τοῦτο τοῦ λιμοῦ τέλος ἐστίν· οὕτως οἱ πεινῶντες ἐπαίνων, ἂν μὴ τύχωσιν ἑτέρων ἐπαινούντων, αὐτοὶ τῇ φιλοδοξίᾳ παρ' αὐτῶν ἐπαρκεῖν τι βούλεσθαι καὶ συνεισφέρειν δοκοῦντες, ἀσχημονοῦσιν.* (*Πλουτάρχ.*)

— *Λόγων ἐπίδειξις ἔργων ἔνδειαν καταμαρτυρεῖ· ἡ δὲ περιαυτολογία μάλιστα, ἅτε δὴ πλάσμα ἀρετῆς ἔξωθεν περικνεῖσθαι δοκοῦσα, καὶ κουφότητα φρενῶν προσκατηγορεῖ. Βούλου τοίνυν ἀεὶ πλείω μὲν πράττειν, ἐλάττω δὲ λέγειν ἵνα μὴ δόξῃς ὡς ἀσκὸς πεφυσημένος οἰήματος πλήρης εἶναι.* (*Νεοφύτ. Δούκα.*)

# ΚΕΦΑΛΑΙΟΝ ΡΗ'.

## Περὶ ὑπομονῆς καὶ ἡσυχίας.

— *Γυμνωθεὶς τῶν σῶν μὴ ἀνιῶ, μηδ' ὁλοφύρου· χαῖρε δὲ μᾶλλον, ἐπεὶ συνέβη σ' ἔχοντ' ἀπολέσαι.* (*Κάτων Ρωμαῖος.*)

— *Οὐδὲν οὕτως αἰδεσίμους ποιεῖ ὡς τὸ ὑβριζομένους φέρειν γενναίως.* (*Συνέσιος.*)

— *Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοὺς ὑμᾶς ἀγαπᾷ ὁ Θεός.* (*Νεῖλος.*)

— *Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεὸς* (*τίς γάρ ἐστιν ὁ υἱὸς ὃν οὐ παιδεύει πατήρ;*) *εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχὶ υἱοί* (*Ἑβρ. ιβ. 8*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀρετήν. (Γρηγ. Θολόγ

— Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. (Λουκᾶς

— Ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. (Ματθ.)

— Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαζόμενοι ὑπομε νετε ; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομένετε, τοῦτο χ ρις παρὰ τῷ Θεῷ. (Πέτρου.)

— Οἱ ὑπομένοντες τὸν Κύριον ἀλλάξουσίν ἰσχύν, πτεροφυ σουσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται κ οὐ πεινάσουσι. (Ἡσαΐου.)

— Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν Αὐτοῦ, κ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν. (ψαλμ.)

— Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰ ἤκουσε τῆς δεήσεώς μου. (ψαλμ.)

— Πάντες οἱ ὑπομένοντές σε Κύριε, οὐ μὴ καταισχυνθῶσι

— Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. (ψαλμ

— Πᾶν, ὃ ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγματι ταπεινώσεα μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός, καὶ ἄνθρωποι δ κτοὶ ἐν καμίνῳ ταπεινώσεως. (Σειράχ.)

— Ὑπόμεινον ἐν καιρῷ θλίψεως, καὶ διάμενε ἐπὶ τὸν πλησίο ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς. (Σειράχ.)

— Εἰ ἐθέλει τὸ φέρον σε φέρειν, φέρου καὶ φέρε· εἰ δ' ἀπει θεῖς, καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

— Πολλῆς μικροψυχίας ἐστίν, ὑπὲρ τῶν ὕστερόν ποτε συμβη σομένων, ὅλως τὴν ἀθυμίαν ἤδη καρποῦσθαι καὶ κόπτεσθ (Χρυσοστόμου.)

Τὸ ὀλιγωρεῖν καὶ μὴ θέλειν ὑπομένειν συμφοράς, μεγάλης κ ποικίλης ἀφροσύνης ἴδιον. (Νείλου.)

— Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. (Ἰσοκρ.)

— Δι' ἐναργῶν ὑποδειγμάτων ὁ Κύριος ἡμῶν ἐπαίδευσεν ἡμ τὴν τῆς ὑπομονῆς ὁδόν, πράως καὶ ἀκινήτως ἀνεχόμενος τοῦ τ πτοντος· ὁ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποιητὴς καὶ Δεσπότης, οὐ ζῶντα ἔπεμψεν εἰς τὸν Ἅδην τὸν ῥαπίσαντα, τῆς γῆς ὑπορραγε σης ἀλλ' ἐνουθέτει καὶ ἐδίδασκε λέγων· «Εἰ κακῶς ἐλάλησα μα τύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς τί με δέρεις ;» (Βασιλείου

— Μὴ δυσφόρει ἐν ταῖς θλίψεσι καὶ ἐν ταῖς ἐπελθούσαις σ συμφοραῖς· ἀλλ' ὑπόμεινον ἐν εὐχαριστίᾳ· δόξαν καὶ πλοῦτον ἀπο λεσας ; μή σοι μελέτω ταῦτα γὰρ κἂν μὴ νῦν ἀπώλεσας, ὕστερο πάντως ἀπολέσαι ἔμελλες· ἐν γὰρ τῷ Ἅδῃ, δόξα καὶ πλοῦτος τ βίου, καὶ φαντασία οὐ συγκαταβήσεται· οὐδὲν γὰρ κληρονομήσε τότε, εἰ μὴ τάφον μόνον, καὶ ἐν τῷ τάφῳ σῆψιν καὶ σκώληκας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Μέγα γὰρ καὶ ὄντως καλὸν ἡ ὑπομονή· αὕτη γάρ ἐστι δένδρου φέρον καρπὸν ἀγαθόν, ὅπερ καρποφορεῖ τὴν μνήμην τοῦ Θεοῦ, σὺν τῷ φόβῳ καὶ τῇ ἀγάπῃ. (Συμεὼν τοῦ Μεταφραστοῦ.)*

*— Μὴ ζήτει τὰ γιγνόμενα γίγνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γιγνόμενα ὡς γίγνεται καὶ εὐρροήσεις. (Ἐπικτήτου.)*

*— Τὰ ἐπιφερόμενά σοι πάντα, ὡς ἀγαθὰ πρόσδεξαι, εἰδὼς ὅτι ἄνευ Θεοῦ οὐδὲν γίνεται. (Ἐπικτήτου.)*

*— Εἰ τὰ κακὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις. (Χείλωνος.)*

*— Ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν,*
*Ἐν τοῖς κακοῖσι μὴ τεθυμόσθω Θεοῖς. (Αἰσχύλος.)*

*— Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκε βροτῶν,*
*Σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται. (Εὐριπίδου.)*

*— Προσπεσόντα δ' ὅς τις εὖ φέρει βροτῶν,*
*Ἄριστος εἶναι σωφρονεῖν τέ μοι δοκεῖ. (Εὐριπίδου.)*

*— Ὅσσα δὲ δαιμονίῃσι τύχαις, βροτοὶ ἄλγε' ἔχουσιν,*
*Ὧν ἂν μοῖραν ἔχοις, ταύτην ἔχε μηδ' ἀγανάκτει.*

*— Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών.*
*Μέλλει γὰρ αὐτοῖς οὐδέν, ἀλλ' ὁ τυγχάνων*
*Τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ πράξει καλῶς. (Πυθαγ.)*

*Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβεν, ἵνα αὐτοὺς τοὺς ταῦτα ποιοῦντας ἐλευθερώσῃ τῆς τοῦ διαβόλου μάστιγος· ἐῤῥαβδίσθη, ἵνα ὑπὸ τὴν ῥάβδον, καὶ τὴν βακτηρίαν ἀγάγῃ τοῦ Χριστοῦ· ἐλιθάσθη, ἵνα ἀπαλλάξῃ τῶν ἀναισθήτων λίθων· ἐν ἐρημίᾳ γέγονεν, ἵνα τῆς ἐρημίας ἐξέληται· ἐν ὁδοιπορίαις, ἵνα στήσῃ πλανωμένους, καὶ τὴν εἰς τὸν οὐρανὸν φέρουσαν ὁδὸν ἀνοίξῃ· ἐν πόλεσιν ἐκινδύνευσεν, ἵνα τὴν ἄνω πόλιν ὑποδείξῃ· ἐν λιμῷ, καὶ δίψει, ἵνα ἀφέληται τοῦ χαλεπωτέρου λιμοῦ· ἐν γυμνότητι, ἵνα ἀσχημονοῦντας ἐνδύσῃ τὴν στολὴν τοῦ Χριστοῦ· ἐν ἐπιστασίᾳ ὄχλου, ἵνα τῆς περιστάσεως τῶν δαιμόνων ἀπαγάγῃ· ἐπυρώθη, ἵνα σβέσῃ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου· διὰ θυρίδος ἀπὸ τοῦ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐῤῥιμμένους χαμαί· ἔτι οὖν φθεγξόμεθα, οὐδὲ εἰδότες, ἅπερ ἔπαθε Παῦλος ; ἔτι χρημάτων μνησθησόμεθα ; ἔτι γυναικός, καὶ πόλεως, καὶ ἐλευθερίας ἐκεῖνον αὐτῆς τῆς ζωῆς μυριάκις καταφρονοῦντα ἰδόντες ; ὁ μάρτυς ἅπαξ ἀποθνήσκει· ὁ δὲ μακάριος ἐκεῖνος ἑνὶ σώματι, καὶ μιᾷ ψυχῇ τοσούτους κινδύνους ὑπέμεινεν, ὅσοι καὶ ἀδαμάντινον ἱκανοὶ θορυβῆσαι ψυχήν· καὶ ἅπερ ἅπαντες ἐν τοσούτοις σώμασιν οἱ ἅγιοι ἔπαθον, ταῦτα αὐτὸς ἐν ἑνὶ πάντα ἤνεγκε· καθάπερ εἰς στά-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*διον τὴν οἰκουμένην εἰσελθών, καὶ πρὸς πάντας ἀποδυσάμενο*
*οὕτως ἱστατο γενναίως. (Χρυσοστ. Τόμ. Γ'. Σελ 516.)*

*Πρόβατον γὰρ ἀποίμαντον θηρσὶν ἕτοιμον δεῖπνον, καὶ ψυ*
*ἀσφράγιστος, δαίμοσιν εὐεπιβούλευτος. (τοῦ αὐτοῦ αὐτόθι. Σε*

*Κτῆσαι οὖν τὴν ἐν φόβῳ Θεοῦ ἡσυχίαν, καὶ οὐ μή σε βλά*
*πάντα τὰ βέλη τοῦ ἐχθροῦ· ἡσυχία γὰρ φόβῳ Θεοῦ συνεζευγμέ*
*ἅρμα πύρινόν ἐστι· καὶ πειθέτω σε Ἠλίας ὁ προφήτης ἀγαπήσ*
*τὴν ἡσυχίαν, καὶ τὸν φόβον τοῦ Θεοῦ, ἀναληφθεὶς ὡς εἰς οὐρ*
*νόν· ὦ ἡσυχία! προκοπὴ μοναζόντων· ὦ ἡσυχία, κλίμαξ οὐράνι*
*ὦ ἡσυχία, ὁδὸς βασιλείας οὐρανῶν· ὦ ἡσυχία, κατανύξεως μήτη*
*ὦ ἡσυχία, ἔσοπτρον ἁμαρτημάτων, ἡ δεικνύουσα ἀνθρώπῳ*
*πλημμελήματα αὐτοῦ· ὦ ἡσυχία, ἡ δάκρυα μὴ ἐμποδίζουσα, ὦ ἡσ*
*χία, πραότητος γεννήτρια, ὦ ἡσυχία, ταπεινοφροσύνης σύσκη*
*ὦ ἡσυχία, φόβῳ Θεοῦ συνεζευμένη· διανοίας φωταγωγέ· ὦ ἡσυχ*
*λογισμῶν κατάσκοπε, καὶ διακρίσεως σύμπονε· ὦ ἡσυχία, γενν*
*τρια παντὸς ἀγαθοῦ, νηστείας ἑδραίωμα, καὶ γαστριμαργίας ἐμ*
*διον· ὦ ἡσυχία, γαλήνη λογισμῶν, καὶ λιμὴν εὔδιος· ὦ ἡσυχ*
*ἀμεριμνία ψυχῆς· ὦ ἡσυχία, ζυγὸς χρηστός, καὶ φορτίον ἐλαφρ*
*ἀναπαύουσα καὶ βαστάζουσα τὸν βαντάζοντά σε· ὦ ἡσυχία, εὐφρ*
*σύνη ψυχῆς καὶ καρδίας· ὦ ἡσυχία, ὀφθαλμῶν καὶ ἀκοῆς,*
*γλώσσης χαλινός· ὦ ἡσυχία, περπερότητος ἀναίρεσις, καὶ ἀναιδε*
*ἐχθρὰ ὦ ἡσυχία, δεσμωτήριον παθῶν· ὦ ἡσυχία, πάσης ἀρε*
*συνεργέ, ἀκτημοσύνης πρόξενε, χωρίον Θεοῦ καρποφοροῦν καρπ*
*ἀγαθούς· ὦ ἡσυχία, τεῖχος καὶ ὀχύρωμα τῶν βουλομένων ἀγω*
*σασθαι τὴν βασιλείαν τῶν οὐρανῶν· ναὶ ἀδελφέ, ταύτην κτῆ*
*τὴν καλὴν μερίδα, ἣν Μαρία ἐξελέξατο· αὕτη γὰρ ἡ Μαρία ἐ*
*νετο ὑπόδειγμα τῆς ἡσυχίας, παρακαθίσασα παρὰ τοῖς ποσὶ*
*Κυρίου καὶ αὐτῷ μόνῳ προσκολληθεῖσα. διὸ καὶ ἐπῄνεσεν αὐτ*
*ὁ Κύριος λέγων· Μαρία τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις*
*ἀφαιρεθήσεται ἀπ' αὐτῆς· βλέπεις, ἀδελφέ, οἷα ἐστὶν ἡ ἡσυχ*
*ὅτι αὐτός ἐστι, καὶ ἐπαινεῖ τὸν κτώμενον αὐτήν, ὁ Δεσπότης ἡμ*
*Θεός· ταύτην κτῆσαι, ἀδελφέ μου, καὶ κατατρυφήσεις τοῦ Κυρ*
*σου, παρακαθεζόμενος τοῖς ποσὶν αὐτοῦ, καὶ αὐτῷ μόνῳ προ*
*κολλώμενος, ἵνα λέγῃς καὶ σὺ μετὰ παῤῥησίας· ἐκολλήθη ἡ ψυ*
*μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου· διὰ τοῦτο ὡς*
*στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου. (τοῦ αὐτοῦ. Τ*
*ιβ'. Σελ. 280.)*

*Τί γὰρ φησί; τρὶς ἐνανάγησα, νυχθημερὸν ἐν τῷ βυθῷ πεπο*
*κα· τρίτον γὰρ ἐναυάγησεν ἡ ἀνθρωπότης· ἅπαξ ἐν τῷ παραδεί*
*διὰ τῆς παραβάσεως, δεύτερον πάλιν ἐν τῷ κατακλυσμῷ Νῶε, τ*

Δημόσιο Κεντρική Βιβλιοθήκη Σέρρες

*του μετὰ τὸ δέξασθαι τὸν νόμον πρὸς τὴν εἰδωλολατρείαν ἐξέπεσεν ὁ λαός, ἕως οὗ ἐλθὼν ὁ τῶν ψυχῶν ἡμῶν Κυβερνήτης Χριστός, στήσας τὸ ἱστίον τοῦ Σταυροῦ ἐν μέσῃ τῇ γῇ ἀχείμαστον ἡμῖν τὸν εἰς οὐρανόπολιν πλοῦν ᾠκονόμησε.* (τοῦ αὐτοῦ Τόμ. ιγ'. Σελ. **215**.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΘ'.

### Περὶ ἀκτημοσύνης καὶ ὀλιγαρκείας.

*Δεινὸν πένεσθαι, χεῖρον δ' εὐπορεῖν κακῶς.*

*Τὸ καλῶς ἔχειν ὀλίγα, πολὺ προτιμότερον τοῦ κακῶς ἔχειν πολλά.*

*Σιτίοις χρῶ μὴ τοῖς ἡδέσιν, ἀλλὰ τοῖς ὠφελίμοις.*

*Εὐτελὴς δίαιτα κυλιομένη, καὶ προσκόπτουσα, ἐπὶ πολὺ καταλύει τὰ τῆς πορνείας μαθήματα.*

*Κρεῖσσων πενία ἐπαινετὴ πλούτοιο κακίστου.*

*Οὐκ εὔχομαι πλουτεῖν, οὔτε ἔραμαι, ἀλλά μοι εἴη ζωὴ ἀπὸ ὀλίγων μηδὲν ἔχουσα κακόν.*

*Ἔστι ποριστὸς μέγας ἡ εὐσέβεια μετ' αὐταρκείας, οὐδὲν γὰρ εἰσενέγκαμεν εἰς τὸν κόσμον, δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα : ἔχοντες διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα.*

*Κρεῖσσον πλήρωμα ὄρακὸς μετ' ἀναπαύσεως, ὑπὲρ πλήρωμα δύο ὀρακῶν ἐν μόχθῳ.*

*Κρεῖσσον ὀλίγου τῷ δικαίῳ ὑπὲρ πλοῦτον τῶν ἁμαρτωλῶν πολύν.* (Ψαλμ. γς'. **17**).

*Κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν, ἢ παρένθεσις μόσχων μετὰ ἔχθρας.* (Παροιμ. ιε'. 18).

*Κρείσσων ὀλίγων λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.* ( » ιε'. **33**).

*Κρείσσων ζωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πολλῶν ἀγαθῶν, καὶ ἀδίκων χρημάτων μετὰ μάχης.* ( » ιζ'. 1).

*Πλοῦτον καὶ πενίαν μή μοι δός, Κύριε σύνταξόν δέ μοι τὰ δέοντα, καὶ τὰ αὐτάρκη, ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω, τίς με ὁρᾷ ; ἢ πενηθὴς κλέψω, καὶ ὁμόσω τὸ ὄνομα τοῦ θεοῦ.*

*Μέλι εὑρὼν φάγε τὸ ἱκανόν, μήποτε πλησθεὶς, ἐξεμέσῃς. Ἐσθίειν μέλι πολὺ οὐ καλόν.* (Παροιμ. κε'. **16**).

*Ζωὴ αὐταρκείας ἐργάτου γλυκανθήσεται.* (Σειρὰχ μς'. 29).

*Ὕπνος ὑγείας ἐπὶ ἐντέρῳ μετρίῳ.* (Σειρὰχ γα'. 22).

*Μὴ κτήσασθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν μηδὲ πήραν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδή-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματα, μηδὲ ῥάβδους· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. (*Ματθ. β'. 9*).

Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδείς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς πάντα κοινά. (*Πράξ. δ'. 32*)·

Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. (*Πράξ. κ'. 33*).

Ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι· οἶδα ἐγὼ καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. (*Φιλιπ. δ'. 11*).

Ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω; (*Ἑβρ. ιγ'* 5.)

Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ χρῶ ὀλίγῳ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. (*Α'. Τίτ. ε'. 23*)

Ἡ οἰκονομοῦσα τὸ ζῶον δύναμις, αὐτάρκειαν μὲν καὶ λιτότητα ῥᾳδίως εἰργάσατο, καὶ ᾠκείωσε τῷ τρεφομένῳ, πολυτέλειαν δὲ καὶ ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρὸς τὸ πέρας οὐκ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν.

Παράχρησίς ἐστιν ἡ ὑπὲρ τὴν χρείαν δαπάνη· σκοπὸς ἐσθῆτος εἰς κάλυμμα εἶναι σαρκός, πρὸς χειμῶνα καὶ θέρος αὔταρκες· ἀκτημοσύνην ἐκείνων ἔφη ὁ Κύριος, τὸ μέτρον εἶναι, ὥστε εἰς τὸν ἔσχατον χιτῶνα αὐτοῦ ἕκαστον περιεστάναι τὴν κτῆσιν.

Οὐκ ἐπαινοῦμέν τι τῶν μετὰ τὸν λαιμὸν ὁμοτίμων μᾶλλον δὲ ἀτίμων, ὁμοίως καὶ ἀποβλήτων, ἀλλὰ ζῶμεν οὕτως ἁπλῶς καὶ σχεδίως, καὶ μικρόν τι τῶν θηρίων, οἷς ὁ βίος ἄσκευος καὶ ἀνεπιτήδειος, διαφέροντες.

Ὄψον σοὶ γενέσθω καὶ ἔνδεια, καὶ τὸ μὴ ἐπιβαλεῖν κόρον τῷ κόρῳ, μηδὲ ἀμβλύνειν τῇ κραιπάλῃ τὴν ὄρεξιν.

Ὁ τὴν ἡμέραν διδούς, καὶ τὰ εἰς τὴν ἡμέραν δώσει.

Ὁ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος· τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητόν, τὸ δὲ μὴ πολυδεές, διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας. (Ἰωάν. Δαμ. Τμ. Β. 365 )

— Εἴ κεν σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο, καὶ θαμὰ τοῦθ' ἕρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο (Ἡσιόδου).

— Εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα. (*Μενάνδρου.*)

— Ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ ὀλίγων ζῆν, ἵνα μηδὲν αἰσχρὸν ἕνεκεν χρημάτων μάθαμεν. (*Κάτων. Ρωμαίου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Συνέσιος ἔφη, μὴ αἴτει μεγάλα, ἵνα μή, δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΙ'.

### Περὶ πειθαρχίας.

— *Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία εἰμὴ ἀπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσίν· ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται.* (*Ῥωμ. ιγ'. 1.*)

— *Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.* (*Πράξ. Ἀποστ.*)

— *Ὧδ' ἂν ἄριστα ἡγεμόνεσιν ἕποιτο,*
*Μήτε λίαν ἀνεθεὶς μήτε πιεζόμενος.* (*Σόλωνος.*)

— *Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστι κακόν·*
*αὕτη πόλεις ὄλλυσιν, ἥδ' ἀναστάτους*
*οἴκους τίθησιν· ἥδε σὺν μάχῃ δορὸς*
*τροπὰς καταρρήγνυσι τῶν δ' ὀρθουμένων*
*σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.* (*Σοφοκλέους.*)

— *Λέγοντός τινος τῷ Θεοπόμπῳ, ὅτι ἡ Σπάρτη εὐτυχεῖ ὡς ἔχουσα ἀρχηγοὺς τοὺς βασιλεῖς, λέγε μᾶλλον, (ἔφη), ὡς ἔχουσα πειθαρχικοὺς τοὺς πολίτας. — Βέλτιον τοῦ φονεύειν (πολεμίους) τὸ πείθεσθαι τοῖς ἄρχουσι.* (*Θεοπόμπου.*)

— *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· πᾶν γὰρ τὸ γιγνόμενον μὴ καλῶς, κἂν καλὸν ᾖ καθ' ἑαυτό, καλὸν οὐκ ἔστι· μήδ' ἐάν τις ἀθλήσῃ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. — Μὴ λίαν ἐπέμβαινε ἄρχοντι, ὃν αὐτὸς ὁ βασιλεύς, ἄξιον ἀντιμετρησάμενος, εἵλετο ἀνθ' ἑαυτοῦ καταλιπεῖν ἐν τοῖς πράγμασι, τῆς ὅλης κυβερνήσεως ἐπιτρέψας τοὺς οἰακας· καὶ οὗ ἐν χειρσὶν οἱ νόμοι, χρῆσθαι αὐτοῖς, ὅπως βούλοιτο.* (*Νεοφύτου Δούκα.*)

— *Μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τὰ ἀγαθά.* (*Ξενοφ. Κυρ. Παιδ. 8, 1, 3.*)

— *Τίς ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον ἢ ζῶντι πειθομένῳ χρῆσθαι.* (*Ξενοφ. Ἀπομνημ. 1, 2, 11.*)

— *Ὃν ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται.* (*Ξενοφ. Κύρου Παιδ. 1, 6, 21.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΑ'.

### Περὶ ἐπιμελείας καὶ ἀμελείας.

— *Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασιν. (Βασιλείου.)*

*Οὐδ' ἂν τὸν ἑαυτοῦ οἶκόν ποτε καλῶς οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται, ὧν προσδεῖται, πάντων δὲ ἐπιμελούμενος ἐκπληρώσει. (Σωκράτους)*

— *Αἰσχρὸν δὲ καὶ τὸ δι' ἀμέλειαν γηρᾶσαι, πρὶν ἰδεῖν ἑαυτὸν ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι γένοιτο.(Ξενοφῶντος)*

— *Δεῖ γὰρ μὴ μόνον τὴν ἐπιμέλειαν ὑπάρχειν, ἀλλὰ καὶ τὸ τῇ φύσει γίνεσθαι τὸ σῶμα καλὸν κἀγαθόν. . . . . Βέλτιον μὲν οὖν ἕξει τὸ σῶμα (διὰ τῆς ἐπιμελείας) ἄριστα μέντοι πάντων οὔ. Ὁμοίως δὲ δεῖ ὑπολαμβάνειν καὶ ἐπὶ ψυχῆς.— τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει,τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκονται. Καταμάθοις δ' ἂν ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστίν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. Σταγόνες μὲν γὰρ ὕδατος πέτρας κυλαίνουσι. σίδηρος δὲ ταὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται . . . . . ἀλλὰ καὶ τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κατὰ φύσιν ἐγένετο κρεῖττον. — Τοῖς μὲν οὖν κατορθουμένοις ἐπιλογιστέον, ὡς οὐκ ἀπὸ τύχης οὐδὲ αὐτόματος, ἀλλ' ἐπιμελείᾳ καὶ πόνῳ καὶ μαθήσει κατορθοῦνται. (Πλτ.)*

— *Ἡ μὲν ῥᾳθυμία ῥίζα τῶν κακῶν ἡ δὲ ἐπιμέλεια μήτηρ πασῶν τῶν ἀρετῶν ἐστιν. (Ἐπικτήτου.)*

— . . . . . *Πᾶν τὸ ζητούμενον ἁλωτόν, ἐκφεύγει δὲ τ' ἀμελούμενον. (Σοφοκλέους.)*

— *Οὐκ ἂν εἴη, ὃ μὴ ἐπιμελείας τυχὸν ἱκνουμένης, οὐκ ἂν τῷ χρόνῳ βέλτιον γένοιτο· οὐδ' ἂν ἐπιστήμη τις, μὴ συνεχέσιν ἀεὶ μελέταις ἀρδευομένη. (Νεοφύτου Δούκα.)*

— *Αἱ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν. (Ξενοφ. Ἀπομν. 2, 1, 20.)*

— *Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί. (Κάτων Ρωμαῖος.)*

— *Πάντα ἐκ τῆς ἐπιμελείας καὶ τῆς διαρκοῦς φροντίδος καὶ τῆς σπουδῆς τῆς ἀνελλιποῦς κρείττονα γίγνεσθαι δύναται.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΒ'.

### Περὶ προσοχῆς καὶ ἀπροσεξίας.

*Τοῦτο γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἄν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ· καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. — Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν Κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας (Λουκ. ιβ΄)

— Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι (ἔλαιον) ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα· ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι, Κύριε Κύριε, ἄνοιξον ἡμῖν· ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. (Ματθ.)

— Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. (Παύλ.)

— Μὴ δὸς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδὲ ἐπινυστάξεις σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. (Σολομῶντος.)

— Πονηρὸν θηρίον ἡ ἀπροσεξία· λέων ἅρπαξ, ὅφις ἰοβόλος· ἁρπάζουσα καὶ καταπίνουσα τοὺς αὐτῇ προσομιλοῦντας. — Μακάριοι οἱ προσέχοντες ὅτι ὡμοιώθησαν πόλει ἐπὶ ὑψηλοῦ ὄρους κειμένῃ, ἥτις μήκοθεν κατασκοπεύει τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς λογισμούς· καὶ τοὺς μὲν ἀγαθοὺς ὡς οἰκείους μετ' εὐφροσύνης ὑποδέχεται, τοὺς δὲ πονηροὺς καὶ ὑπεναντίους, μακρόθεν ἀποσοβεῖ, καὶ οὐκ ἐᾷ αὐτοὺς προσεγγίσαι αὐτῷ. (Συμεὼν Μεταφραστοῦ.)

— Νὺξ ζοφερὰ καὶ σκότος ἀφεγγὲς καὶ ὁμίχλη συνεχὴς ἡ ἀπροσεξία· καὶ ὁ περιπατῶν ἐν αὐτῇ οὐκ οἶδε ποῦ ὑπάγει. — Ὁδοὶ γὰρ προσεχόντων ὅμοιοι φωτὶ λάμποντι· προπορεύονται γὰρ καὶ φωτίζουσιν ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν μὴ προσεχόντων, σκοτειναί, οὐκ οἴδασι ποῦ προσκόπτουσιν. (τοῦ αὐτοῦ).

— Πᾶσα ἡλικία, πᾶν ἔτος, πᾶσα ἡμέρα, πᾶς τόπος εἰς ὃν ἐρχόμεθα, πᾶσα μεταβολὴ καταστάσεως, ἀπαιτοῦσι παρ' ἡμῖν ἐγρηγορσιν, νηφαλιότητα, ἀνανέωσιν τῆς προσοχῆς. (Δωροθ. Σχολαρίου.)

— Οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἳ ἄν, ἀφέμενοι τοῖς πολλοῖς προσέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. (Ξενοφ. Κύρ. Παιδ. 2, 1, 21.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΓ΄.

### Περὶ τάξεως καὶ ἀταξίας.

Τάξις οὖν τὸ πᾶν συνεστήσατο. Τάξις συνέχει καὶ τὰ ἑπου-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ράνια καὶ τὰ ἐπίγεια. Τάξις ἐν νοητοῖς· τάξις ἐν αἰσθητοῖς· τάξις ἐν Ἀγγέλοις· τάξις ἐν ἄστροις καὶ κινήσει καὶ μεγέθει καὶ σχέσει τῇ πρὸς ἄλληλα καὶ λαμπρότητι. Ἑνὶ λόγῳ τάξις τὰ πάντα ἐν πᾶσι, καὶ τάξεως μὲν ἐπικρατούσης κόσμος τὸ Πᾶν καὶ τὸ κάλλος ἀκίνητον. Ἀταξία δὲ καὶ ἀκοσμία ἐν μὲν τῷ ἀέρι τοὺς ὑετοὺς ἐν δὲ γῇ τοὺς σεισμούς, ἐν δὲ θαλάσσῃ τὰς ἐπικλίσεις, ἐν δὲ πόλεσι καὶ οἴκοις πολέμους, ἐν δὲ τοῖς σώμασι τὰς ἀρρωστίας, ἐν δὲ ταῖς ψυχαῖς τὰς ἁμαρτίας ἐκαινοτόμησε . . . Συνδεῖ μὲν γὰρ τάξις, λύει δ' ἀταξία . . . . Αὕτη τῶν ἀλόγων ἡμᾶς διέστησε καὶ πόλεις ᾤκησε καὶ νόμους ἔθετο καὶ ἀρετὴν ἐτίμησε καὶ τὸ περὶ τὰ γεννώμενα φίλτρῳ ἡμέρωσε . . . . Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν : τάξις τῶν ὄντων ἐστὶ μήτηρ καὶ ἀσφάλεια. (Γρηγορίου τοῦ Θεολόγου.)

Βούλει δὲ καὶ ἄλλην σοι παραστήσω τάξιν, καὶ ταύτην ἐπαινετὴν καὶ ταύτην ἀξίαν τῆς εἰς τὸ παρὸν μνήμης καὶ νουθεσίας ; Ὁρᾷς τῶν Χριστοῦ μαθητῶν πάντων ὄντων ὑψηλῶν καὶ τῆς ἐκλογῆς ἀξίων· ὁ μὲν Πέτρα καλεῖται καὶ τοὺς θεμελίους τῆς Ἐκκλησίας πιστεύεται, ὁ δὲ ἀγαπᾶται πλέον καὶ ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ ἀναπαύεται καὶ φέρουσιν οἱ λοιποὶ τὴν προτίμησιν. Εἰς τὸ Θαβώριον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης οἱ πρὸ τῶν ἄλλων καὶ ὄντες καὶ ἀριθμούμενοι. Παρεῖναι δὲ ἀγωνιῶντι (καὶ θαρροῦντι) καὶ ἀναχωροῦντι μικρὸν πρὸ τοῦ πάθους καὶ εὐχομένῳ τίνες ; Οἱ αὐτοὶ πάλιν. Αὕτη μὲν ἡ τοῦ Χριστοῦ προτίμησις. Ἡ λοιπὴ δ' ὅση εὐκοσμία καὶ τάξις ὅση ; Τὸ μὲν Πέτρος ἐρωτᾷ, τὸ δὲ Φίλιππος, τὸ δὲ Ἰούδας, τὸ δὲ Θωμᾶς, τὸ δὲ ἄλλος τις, καὶ οὐδὲ τὸ αὐτὸ πάντες, οὐδὲ τὰ πάντα εἷς, ἀλλ' ἕκαστος ἐν μέρει καὶ καθ' ἕν. (τοῦ αὐτοῦ.)

Ἔτι δ' οὐδὲν οὕτως οὔτ' εὔχρηστον, οὔτε καλὸν ἀνθρώποις ὡς ἡ τάξις· καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν· ἀλλ' ὅταν μὲν ποιῶσιν ὅ,τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται καὶ θεᾶται ἀτερπές· ὅταν δὲ τεταγμένως ποιῶσιν καὶ φθέγγωνται, ἅμα αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ ἀξιάκουστοι. Ἡ δὲ ἀταξία ὁμοιόν τί μοι δοκεῖ εἶναι, οἷόν περ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ καρποὺς καὶ ὄσπρια· κἄπειτα ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου, ἢ ὄψου, διαλέγειν δέον αὐτῷ τοῦ λαβόντα διευκρινομένους χρῆσθαι. (Ξενοφῶντος.)

Ἀπειλεῖ γὰρ ὁ Θεὸς καὶ κολάζει τοὺς βλᾶκας . . . . . πάνυ ἂν ἡμῶν εἴη βλακικόν, εἰ οἱ μὲν ἐν τοῖς πλοίοις καὶ μικροῖς οὖσι, χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχυρῶς ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι ὅμως εὑρίσκουσι τὸ δέον λανβάνειν· ἡμεῖς δὲ καὶ διηρημένων ἑκάστοις θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων, καὶ βεβηκυίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς οἰκίας ἐν δαπέδῳ, εἰμὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν, πῶς οὐκ ἂν πολλὴ ἡμῶν ἀσυνεσία εἴη; (Ξενοφ. Οἰκονομ. κεφ. VIII).

Ἡ μὲν γὰρ εὐταξία σώζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. (Ξενοφῶντος).

— Λίθοι καὶ ξύλα καὶ πλίνθοι καὶ κέραμοι ἀτάκτως ἐρριμμένα οὐδὲν χρήσιμά ἐστι. (τοῦ αὐτοῦ.)

— Καὶ γὰρ αἱμασίαν τινὰ καὶ θριγγὸν οἰκοδομοῦσιν οὐ διαφέρει ξύλον τὸ τυχὸν ἢ λίθον ἐπιβαλεῖν χυδαῖον, ἢ στήλην ὑποθεῖναι παραπεσοῦσαν ἀπὸ μνήματος, οἷα ποιοῦσιν οἱ φαῦλοι, πᾶσαν ἐργασίαν καὶ πρᾶξιν, ὡς ἔτυχε, συμφοροῦντες εἰς ταυτὸ καὶ σωρεύοντες· ἀλλ' οἵ γε προκόπτοντες, οὐδὲν εἰκῇ προσίενται τῶν γινομένων, ἀλλ' οἷον ἀπὸ στάθμης παράγουσι καὶ προσαρμόττουσιν ἕκαστον. (Πλουτάρχου.)

— Τάξει μὲν πάντα σώζεται, ἀταξία δὲ καὶ τὰ εὖ ἔχοντα ἀπολεῖται. (Νεοφύτου Δούκα.)

Ὅλον τοῦ ἀνθρώπου τὸ ἐξωτερικὸν πρέπει νὰ μηνύῃ ὅτι τὸ σῶμα αὐτοῦ εἶναι κατοικία ὄντος φίλου τῆς τάξεως καὶ τοῦ εὐπρεποῦς, ἐπειδὴ τὸ ἀνθρώπινον σχῆμα εἶναι ἐπιδεκτικὸν εὐκοσμίας τινὸς τὴν ὁποίαν δὲν παρατηροῦμεν καθ' ὅλου εἰς τὰ ἄλλα ζῷα.

— Μία θέσις δι' ἕκαστον πρᾶγμα· καὶ ἕκαστον πρᾶγμα εἰς τὴν θέσιν του.

— Ὁ Δημιουργὸς ὁ ποιητὴς τῶν πάντων, ἐπέβαλεν εἰς τὸν παρ' Αὐτοῦ κτισθέντα ὁρατὸν καὶ ἀόρατον κόσμον, τὸ κάλλιστον κόσμημα, τὴν τάξιν· καὶ ἐν τῇ κοινωνίᾳ ἔτι τῶν ἀνθρώπων ἀδύνατον νὰ εὐαρεστήσῃ τῷ Θεῷ καὶ νὰ εὐφράνῃ τοὺς ἀνθρώπους, ὅ,τι ἄνευ τάξεως γίνεται. Ἡ τάξις εἶναι αὐτόχρημα ἀρετή· δυνάμεθα δὲ κατα πλατυτέραν ἔννοιαν νὰ εἴπωμεν ὅτι ἀρετὴ οὐδὲν ἄλλο ἢ τάξις. (Γ. Μεταξᾶ)

Ἀγαθὸν μὲν γάρ ἐστι τάξις ἀρίστη, ἑκάστοις τὸ κατὰ φύσιν οἰκεῖον διασώζουσα, ταὐτὸν δ' ἐστί καὶ ἀρετή· ἀταξία δὲ ἡ τῆς τάξεως λύσις. (Ἰωάννου Δαμασκηνοῦ.)

— Βίαζε καὶ σὺ ἀτάκτους μὴ λύειν τάξιν πρεπώδη, καὶ νόμοις ἡρμοσμένους. (Συνέσιος.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΔ'.

### Περὶ εὐδαιμονίας καὶ Μακαριότητος.

— Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σονται· μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ (*Ματθαῖος Ε'. 1—12*).

— *Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν* (*Σολομῶντος*).

— *Εὐδαίμον καὶ μακάριον οὐ χρημάτων πλῆθος, οὐδὲ πραγμάτων ὄγκος, οὐδὲ ἀρχαί τινες ἔχουσιν, οὐδὲ δυνάμεις, ἀλλ' ἀλυπία καὶ πραότης παθῶν, καὶ διάθεσις ψυχῆς τὸ κατὰ φύσιν δρίζουσα.—Μητροκλῆς, ὃς χειμῶνος ἐν τοῖς προβάτοις καθεύδων, καὶ θέρους ἐν τοῖς προπυλαίοις τῶν ἱερῶν, τῶν ἐν Βαβυλῶνι χειμάζοντα καὶ περὶ Μηδίαν θερίζοντα Περσῶν βασιλέα, περὶ εὐδαιμονίας εἰς ἀγῶνα προὐκαλεῖτο.* (*Πλουτάρχ.*)

— *Αἱ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας εἰσὶ τῶν ἀνθρώπων· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται πάντα ταῦτα.* (*Δημοσθ. πρὸς φιλιπ. ἐπιστολ. 156*).

— *Ἀλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.* (*Θεόγν. 167.*)

— *Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·*
*Ἀνὰ δὲ λαῖφος ὥς*
*τις ἀκάτου θοᾶς τινάξας δαίμων*
*Κατέκλυσεν δεινῶν πόνων ὡς πόντου*
*Λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.* (*Εὐριπίδ. Ὀρέστ. 330.*)

— *Μακάριός ἐστιν ὁ πλουτῶν, καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων, ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτατος.* (*Βίαντος*).

— *Νομίζειν δεῖ τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίνεσθαι μᾶλλον δὲ ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι· καὶ τὸ σῶμα, οὐ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη· τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον.—Δοκεῖ δὲ εὐδαίμων βίος, κατ' ἀρετὴν τελείαν,* (*Ἀριστοτέλ.*)

— *Εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών.* (*Σοφ. Ἀντιγ.*)

— *Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,*
*Ὅταν δ' ἀνοίξῃ τὴν θύραν, τρισάθλιος.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί.* (*Σοφοκλ.*)

— *Εὐδαίμων μὲν ὃς ἐκ θαλάσσης*
*Ἔφυγε κῦμα, λιμένα δ' ἐκίχανεν·*
*Εὐδαίμων δ' ὃς ὕπερθ' ἐστὶ μόχθων·*
*Τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος.*
*Εὐδαίμων, μακαρίζω.* (*Εὐριπίδου*).

— *Τίς εὐδαίμων; ὁ τὸ σῶμα ὑγιής, τὴν δὲ τύχην εὔπορος, τὴν δὲ ψυχὴν εὐπαίδευτος.* (*Θάλητος*).

— *Ἡ μακαριότης οὐκ ἔστι περὶ τὴν ἀρετήν, ἀλλ' αὐτὴ ἡ ἀρετή.* (*Σιλιγγίου*).

— *Τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.* (*Δημοσθ. Ὀλυνθ. 1,16*).

— *Κεῖνος ὀλβιώτατος ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.* (*Εὐριπ.*).

— *Οὔ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μὴ οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον. Πολλοὶ μὲν γὰρ ζάπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου εὐτυχέες.* (*Ἡροδότ. 1,32*).

— *Φύσει εἰς μακαριότητα σπεύδομεν, οὐχ ὅπως τὴν ἐν τῷ δε τῷ βίῳ, ἀλλὰ τὴν μετὰ τοῦτον καὶ αἰωνίαν ἀπολαύσωμεν.— Εὐδαιμονία μεγίστη ἐν τῷ τῇ δε βίῳ ἐστὶ τὸ ὡς οἷον τε ἐλάχιστου μεταλαβεῖν ἀθλιότητος. Τὸ γὰρ ἀταράχως μὲν τὴν ψυχὴν καὶ ἀναλγήτως ὅλως τὸ σῶμα βιώσειν, ἀμήχανον. Καὶ γὰρ ἡ ἐν τῷ δε τῷ βιῳ εὐδαιμονία ἐπὶ δυσὶ τούτοις κεῖται· εἶναι μὲν τὸ σῶμα ἄλγους ἀπηλλαγμένον, εἶναι δὲ τὴν ψυχὴν ταραχῆς κρείττονα.* (*Εὐγενίου Βουλγάρεως*).

— *Φύσει ἀγόμεθα ἐξιχνεύοντες, εἰτίς ἐστιν ὁδός, ἣν βαίνοντες ἔχοιμεν ἂν τῆς πανταχόθεν συνεχούσης ἡμᾶς ἀθλιότητος ἀπαλλαγῆναι. Φύσει καὶ γὰρ πρός τε μακαριότητα σπεύδομεν, καὶ ἀθλιότησι δειναῖς περιπίπτομεν. Καὶ φύσει διδασκόμεθα ἐκζητεῖν, πῶς ἂν τῶν μὲν ὀφθείημεν κρείττονες, τῆς δὲ τύχοιμεν.* (*Τοῦ αὐτοῦ*).

— *Εὐδαιμονίαν τὴν ἀληθῆ καὶ ἀκήρατον, ἣν μακαριότητα μάλιστ' ἂν εἴποι τις, εἴ τις κτήσασθαι δι' ἐφέσεως ἔχει, μὴ ζητείτω ταύτην ἐπὶ τῆς γῆς· ἀλλὰ τοὺς ὑπὲρ αὐτῆς ἐνταῦθα ἀγῶνας καὶ τὰ σκάμματα ἀναράμενος, εἰς τὸν μέλλοντα βίον τὰ βραβεῖα ἀνατίθεσθαι. — Εἷς ὅρος εὐδαιμονίας, συνείδησις καθαρά· οὗτος δὴ ὁ ἐξ εὐσεβείας, δικαιοσύνης καὶ σωφροσύνης τρίπλοκος στέφανος· τὰ δ' ἄλλα οὐδέν.* (*Νεοφύτου Δούκα.*)

— *Σεβῆρος ὁ τῶν Ρωμαίων Αὐτοκράτωρ, ὃς βαθμηδὸν διελθὼν διὰ πάντων, ἃ ἐδόκει αὐτῷ δόξαν φέρειν, μηδέν, ἔφη, τούτων συν-*

δημόσια κεντρική βιβλιοθήκη Βέροιας

τελέσαι ὡς πρὸς τὸ εὐδαίμονα εἶναι . . . . . Πῶς οὖν Σευῆρος εὐδαίμων ἂν εἴη, οὗ οὐδὲ πᾶσα ἡ γῆ τὴν πλεονεξίαν ἐχώρει ; Εὔθυμον ἄρα καὶ αὐτάρκη δεῖ εἶναι τὸν μέλλοντα ἔσεσθαι εὐδαίμονα. (Τοῦ αὐτοῦ.)

— Ὅστις ἐκτὸς ἑαυτοῦ τὴν εὐδαιμονίαν ζητεῖ, φάσμα οἰχόμενον διώκει· ὁ δ' ἐντὸς ἑαυτοῦ ζητῶν αὐτὴν ἀείποτε εὑρίσκει. (Σαριπόλου.)

— Εὐδαίμων βεβαίως οὐδεὶς λέγεται, ἂν μὴ ἔχῃ γαλήνην ψυχῆς καὶ ὑγείαν σώματος· ἀλλ' ἐκείνην μὲν προξενεῖ ἡ ἀρετή, ταύτην δὲ ἡ ἐγκράτεια. Ἆρα ἡ εὐδαιμονία προέρχεται ἐξ ἡμῶν αὐτῶν. Ἐπιποθεῖς, ὦ δαιμόνιε, ἀτάρακτον μακαριότητα, καὶ ζητεῖς αὐτὴν ἐν ἐκείνοις, ἅπερ μόνον τῷ περιέχοντί σε σώματι, μόνον ταῖς σαρκικαῖς αἰσθήσεσί σού εἰσι πιθανῶς εὐάρεστα. Πόθῳ μεγάλῳ φέρεσαι πρὸς τὴν ἀφθαρσίαν, καὶ ἐν τούτοις σπεύδεις πρὸς τὰ φθαρτά. (...

— Ἡ εὐδαιμονία δὲν ὑφίσταται εἰς τὸ ἔχειν πολλά, ἀλλὰ εἰς τὸ ἐλπίζειν καὶ ἀγαπᾶν πολύ. (.....)

— Πάντα τὰ τῆς ψυχῆς ἐπιχειρήματα καὶ καρτερήματα ἡγουμένης μὲν φρονήσεως εἰς εὐδαιμονίαν τελευτᾷ, ἀφροσύνης δ' εἰς τοὐναντίον. (Πλάτ. Μεν. 88 )

— Τὸ ἐν ταῖς πράξεσι τὸ εὐδαιμονεῖν τίθεσθαι ἐν τοῖς ἔξω τῆς ἀρετῆς καὶ τῆς ψυχῆς ἐστι τιθέντος· ἡ γὰρ ἐνέργεια τῆς ψυχῆς ἐν τῷ φρονῆσαι καὶ ἐν ἑαυτῇ ὠδὶ ἐνεργῆσαι· καὶ τοῦτο τοῦ εὐδαίμονος. (Πλωτίν. Αἰνείας 1, 5, 10.)

— Ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύναται σὺν τῷ δικαίῳ, χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω. (Ξενοφ. Κύρ. Παιδ. 8, 2 23.)

— Τίκτει κόρος ὕβριν ὅταν πολὺς ὄλβος ἕπηται.

— Θνητῶν οὐδεὶς ἐστιν εὐδαίμων ἀνήρ.
Ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
— Ἄλλου γένοιτ' ἄν, εὐδαίμων δ' ἂν οὔ. (Εὐριπ. Μήδεια. 1228.)

— Τοῦτο ἱκανὸν πρὸς τὸ εὐδαίμονα ποιῆσαί τινα, τό τε κεκτῆσθαι τ' ἀγαθὰ καὶ τὸ χρῆσθαι αὐτοῖς. (Πλάτ. Εὐθύδημος.)

— Κακῶς οἱ ποιηταὶ καὶ λογοποιοὶ λέγουσι περὶ ἀνθρώπων τὰ μέγιστα, ὅτι εἰσὶν ἄδικοι μέν, εὐδαίμονες δὲ πολλοί· δίκαιοι δέ, ἄθλιοι· καὶ ὡς λυσιτελὲς τὸ ἀδικεῖν, ἐὰν λανθάνῃ, ἡ δὲ δικαιοσύνη, ἀλλότριον μὲν ἀγαθόν, οἰκεία δὲ ζημία. (Πλάτων Πολιτειῶν Γ.)

— Τὸ ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον κρίνω· τοῦτον δ' εἶναι τὸν βασιλικώτατον καὶ βασιλεύοντα αὐτοῦ· τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον, ἀθλιώτατον, ἐάν τε λανθάνωσι τοιοῦτοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ὄντες, ἐάν τε μή, πάντας ἀνθρώπους τε καὶ Θεούς.) (Πλάτ. Πολιτείας Θ'.)

— Εὐδαιμονία, ἀγαθὸν ἐκ πάντων ἀγαθῶν συγκείμενον· δύναμις αὐτάρκης πρὸς τὸ εὖ ζῆν, τελειότης κατ' ἀρετήν, ὠφέλεια αὐτάρκης ζώου. (Πλάτ. Ὅροι.)

— Οὐ διανοίας τῆς τυχούσης ἐν εὐτυχήμασι μὴ ἐκστῆναι τῶν λογισμῶν. (Πλουτ. Λούκλ. 25.)

— Εὐπρηξίης γὰρ οὐκ ἔστι ἀνθρώποισι οὐδεμία πληθώρη. (Ἡροδ. 7, 49.)

— Οὐ δυνατὸν ἀνθρώποις τελέως μακαρίοις τε καὶ εὐδαίμοσι γενέσθαι πλὴν ὀλίγων.

— Ἀλλὰ μὴν ὅ γε εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μὴ τἀναντία (Πλάτ. πολιτεία α'. 354 α.)

Αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. (Κικ. παραδ. β'.)

## Περὶ εὐτυχίας καὶ δυστυχίας.

Οὐ γὰρ μόνον τὸ εὖ πράσσειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ὡς Δημοσθένης εἶπεν· ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς πράττειν τοῖς μὴ φρονοῦσι. — Τὸ δὲ ἡδέως ζῆν, καὶ ἱλαρῶς οὐκ ἔξωθέν ἐστι, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὐτὸν πράγμασιν ἡδονὴν καὶ χάριν, ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους, προστίθησι. Τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός· τὸ δ' ἀνεπιφθόνως, εὐηνίου ἀνθρώπου. (Πλουτ.)

Εὐτυχεῖς νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσι, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας. (Ἰσοκράτης.)

Εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος. (Περιάνδρου.)

Οἱ ἐπιφανεῖς τύχας, καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων, μεγάλα ποιοῦσι ναυάγια. (Διαφόρων.)

Οὐδὲν καλὸν κακότητος ἄμικτον. — Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα. (Ἡσιόδου.)

Λέγω γὰρ καὶ δύσφορ', εἰ τύχοι κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν. (Σοφοκλ.)

Εἰ γὰρ ἐγένου σύ, ..... τῶν πάντων μόνος,
Ὅτ' ἔτικτεν ἡ μήτηρ σε, ἐφ' ᾧ γε διατελεῖν
Πράττων, ἃ βούλει καὶ διευτυχῶν ἀεί,
Καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι
Ὀρθῶς ἀγανακτεῖς .....
..... Εἰδ' ἐπὶ τοῖς αὐτοῖς νόμοις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ἐφ' οἷς περ ἡμεῖς, ἔσπευσας τὸν ἀέρα*
*Τὸν κοινόν . . . . . .*
*Οἰστέον . . . . . καὶ ταῦτα λογιστέον*
*. . . . . ἄνθρωπος εἶ,*
*Οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν*
*Ταπεινότητα, ζῷον οὐδὲν λαμβάνει*
*Καὶ μάλα δικαίως· ἀσθενέστατον γάρ ὄν*
*Φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν.*
*Ὅταν δὲ πέσῃ πλεῖστα συντρίβει καλά.*
— *Μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,*
*Ὃ ὅ' ἐξεπαίρῃ μεῖζον ἢ χρεὼν φρονεῖν.*
*Μηδ' ἄντι συμβῇ δυσχερές, δουλοῦ πάλιν,*
*Ἀλλ' αὐτὸς ἀεὶ μιμῇ, τὴν σαυτοῦ φύσιν*
*Σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρὶ*
*Οὐκ ἔστιν οὐδὲν δεινόν, ὧδ' εἰπεῖν ἔπος,*
*Οὐδὲ πάθος οὐδὲ συμφορὰ θηλατος, ὧν*
*Οὐκ ἂν ἄροιτ' ἄχθη ἀνθρώπων φύσις.* (*Μενάνδρου.*)

*Οὐκοῦν τῆς κατὰ ψυχὴν γαλήνης ἐκ τῆς ποιᾶς τῶν σωμάτων, κράσεως ἀναφυομένης ὡς τὰ πολλὰ καὶ ἐν ἀγρῷ, καὶ ἐν ἄστει καὶ ἐν ἀνθηρῷ βίῳ ἐν πᾶσιν ἔστιν εὑρεῖν εὐτυχοῦντας καὶ δυστυχοῦντας.* (*Φιλοθέου Πάρεργα.*)

*Εὐπραγίαν ἀποῦσαν μὲν κτήσασθαι φρονίμων ἐστὶ σπουδάζειν· παροῦσαν δέ, εὐγενῶν μετρίως ἐπέρεσθαι, ἀποτόμως πρὸς τὸ αὔθαδες τοῖς ἄλλοις χρωμένοις μήτε ἀπούσης καταπίπτειν, πρὸς τὸ χαμερπὲς ὑποτρέχοντας τοὺς τυχόντας. — Ἐν παντὶ γὰρ βίῳ οὐδὲν ἂν εἴη, μηθ' ἃ βλάψειεν ἄν τινα ἄνευ τοῦ ὠφελεῖν ἐν μέρει, μεθ' ὃ ὠφελήσειεν ἄνευ τοῦ καὶ βλάβος τι παρασχεῖν εἰς τέλος.* (*Νεοφύτου Δούκα.*)

*— Μηδέποτ' ἐπὶ δυσπραγίᾳ, ἣν οὐκ ἀπὸ σαυτοῦ προὐκάλεσας, δυσφόρει ἀῤῥαβὼν γὰρ αὕτη ἀπὸ Θεοῦ μελλούσης εὐπραξίας. Ὡς αἱ φυσικαὶ ἐπιστῆμαι δίδουσι λόγον τῆς τῶν πικρῶν φαρμάκων ἐπὶ τοῦ νοσοῦντος σώματος ἐνεργείας, οὕτως ἡ εὐσέβεια φιλοσοφοῦσα ἐξηγεῖ τὴν ἀπὸ ἀτυχημάτων προσγινομένην τῇ ψυχῇ ὠφέλειαν. Πᾶσαν μὲν εὐπραγίαν ὡς ἀπὸ Θεοῦ παραδέχου· πᾶσαν δὲ δυσπραγίαν, σαυτῷ καταλόγιζε.*

*Ἡ δυστυχία εἰς δύο τινὰ εἶναι χρησίμη· εἰς τὸ δοκιμάσαι τοὺς φίλους καὶ εἰς τὸ λαμπροτέραν ἀναδεῖξαι τὴν ἀρετήν. Ἐν τῇ δυστυχίᾳ οἱ μὲν καταπίπτουσιν εὐθὺς ὡς δένδρα τῶν ὀρέων, ἅτινα συντρίβει βίαιος ἄνεμος. Οἱ δὲ ἀνθίστανται ὡς ὁ κάλαμος, ἐνίοτε ὅμως ἡ δυστυχία ὠφελεῖ ἀπροσδοκήτως καὶ πολυειδῶς τὸν ἄνθρω-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*που· ἐν τῷ σχολείῳ αὐτῆς μανθάνομεν τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν καὶ τὴν ἀληθῆ χρῆσιν τῶν πραγμάτων, ὅσα ἄλλοτε κατησωτεύσαμεν. Ἐκεῖ σπουδάζομεν τοὺς χαρακτῆρας τῶν ἀνθρώπων· ἐκεῖ γνωρίζομεν τοὺς εἰλικρινεῖς φίλους· ἐκεῖ διορθοῦμεν τὰ ἴδια ἡμῶν σφάλματα· ἐκεῖ βλέπομεν τὴν ἀξίαν τῆς ἀρετῆς. (Σαριπόλου.)*

*Κοινὸν ἀνθρώπων τὸ μὴ πάντα διευτυχεῖν. — Τὰ ἀνθρώπινα πάθη καὶ πράγματα μέμικται συντυχίαις ἄλλοτε ἄλλως ῥεούσαις. (Πλουτάρχ.)*

*— Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν. (Μενάνδρου.)*

*— Ἀχαλίνων στομάτων*
*Ἀνόμου τ' ἀφροσύνας*
*Τὸ τέλος δυστυχία. (Εὐριπίδ. Βάκχ. 385.)*

*— Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλος.*

*— Ἀεί ἐστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν ἐγγὺς εἶναι τοῦ εὐτυχῆσαι. (Ξενοφ.)*

*— Ἐὰν μίξῃς ταῖς εὐτυχίαις τὰ δυσχερῆ, μᾶλλον αἰσθήσῃ τῆς ἀρετῆς καὶ συνήσεις τῆς εὐτυχίας. (Μαξιμιανοῦ Τυρίου.)*

*— Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασι εὐθυμεόμενος,*
*Δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος. (Δημοκρίτ.)*

*— Οἱ οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται. (Ξενοφ. Ἀπομν. 1, 6, 8)*

*— Τὴν εὐτυχίαν πάντες φασί, καὶ οἱ πάνυ φαῦλοι, μέγιστον τῶν ἀγαθῶν εἶναι. Ἡ σοφία δὴ εὐτυχία ἐστί. Ἡ σοφία ἄρα παντα χοῦ εὐτυχεῖν ποιεῖ τοὺς ἀνθρώπους· οὐ γὰρ δήπου ἁμαρτάνοι γ' ἂν ποτέ τις σοφία, ἀλλ' ἀνάγκη ὀρθῶς πράττειν καὶ τυγχάνειν· ἢ γὰρ ἂν οὐκέτι σοφία σοφία εἴη. (Πλάτ. Εὐθύδημος)*

*— Αἱ συμφοραὶ καὶ τὸν ἄγαν σώφρονα πολλάκις ἐξήγαγον ἀφεῖναί τι ῥῆμα τῶν αὐτοῦ τρόπων ἀνάξιον. (Κλεοβούλου Λινδίου.)*

*— Ἐν εὐημερίᾳ τἀναντία πάντα φυλάσσου· ἐμπαλιν δυσπραγέων τὰ κρείττυνα προσδόκα. (Κάτων Ρωμαίου.)*

*— Δυστυχῶν κρύπτε ἵνα μὴ τοὺς μὴ φίλους εὐφράνῃς. (Κλεοβούλ. Ροδίου.)*

*— Τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν. (Εὐριπ. Φοίν. 1763.)*

*— Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς. (Εὐριπ. Μήδ. 1005.)*

*— Ἐπὶ παντὸς πρόχειρα ἐκτέου ταῦτα·*
*Ἄγου δὲ μ' ὦ Ζεῦ καὶ σὺ γ' ἡ Πεπρωμένη,*
*ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·*
*Ὡς ἕψομαι γ' ἄοκνος. (Ἐπικτ. ἐγχειρ. 52.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΕ'.

### Περὶ ὕβρεως καὶ ὑβριστοῦ.

*Οἴκους ὑβριστῶν κατασπᾷ Κύριος. (Παροιμ. ιε'. 25.)*
*Τοὺς ὕβρει φερομένους ἐταπείνωσε. (Ἰώβ κβ'. 12.)*
*Πάντα ὑβριστὴν ταπείνωσον. (αὐτόθι μ'. 11.)*
*Κακὸς μετὰ ὕβρεως πράσσει κακά. (Παρμ. ιε' 20.)*
*Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία. (αὐτόθι ια'. 2.)*
*Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαίρει σκῦλα μετὰ ὕβρεως. (αὐτόθι ις'. 19.)*
*Ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται καὶ ταπεινωθήσονται. (Ἡσαΐα ι'. 33.)*

*— Ὅπου ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ,*
*ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ*
*ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν. (Σοφοκλ. Αἴας 1081.)*

*— Θῖνες νεκρῶν καὶ τριτοσπόρῳ γονῇ*
*ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν*
*ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.*
*ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν*
*ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος. (Αἰσχύλ. Πέρσ. 818.)*

*— Ὕβριν, Κύρνε, Θεὸς πρῶτον κακῷ ὤπασεν ἀνδρί,*
*ὃν μέλλει 'ν ὥρῃ μηδεμίᾳ θέμεναι. (Θεόγ. 151.)*

*— Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. (Ματθαίου Ε'. 22).*

*— Ἐν ἀμίλλαις πονηραῖς, ἀθλιώτερος ὁ νικήσας, ὅτι ἀπέρχεται τὸ πλέον ἔχων τῆς ἁμαρτίας (Βασιλείου.)*

*— Τὰ παρὰ τῶν φίλων λεγόμενα, κἂν ὕβρεις ᾖ, φορητά. (Βασιλ.)*

*— Σωκράτης, ἀπαγγείλαντός τινος αὐτῷ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει· καὶ τυπτέτω με (ἔφη) μὴ παρόντα.*

*Ἀρίστιππος ὑβριζόμενος ὑπό τινος ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος καὶ λέγοντος, φεύγεις; ναί, ἔφη· τοῦ μὲν γὰρ κακῶς λέγειν, σὺ τὴν ἐξουσίαν ἔχεις· τοῦ δὲ ἀκούειν, ἐγώ.*

*— Ὑπὸ λόγων μᾶλλον ἢ πράξεων πονηρῶν ἀνιᾶσθαι πεφύκασιν οἱ πολλοί· χαλεπώτερον γὰρ ὕβριν ἢ βλάβην φέρουσι. (Πλτχ.)*

*— Ὁ προσέχων ἀδίκοις ὕβρεσι, φαίνεται δικαιολογῶν αὐτάς. (Σαριπόλου.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ ΡΙϛ'.

## Περὶ συκοφαντίας καὶ ψεύδους.

*Ψεύστην οὐδένα ἄλλον, ἢ τὸν συκοφάντην νόει· ψεύδους γὰρ καὶ συκοφαντίας οὐδὲν τὸ διάφορον.*

*Συκοφάντην τὸν διαβολέα καὶ προσαγωγέα οἱ πάλαι καὶ οἱ νῦν καλοῦσι.*

*Διάβολον τὴν συκοφαντίαν ἐξευρεῖν βέβαιον.*

*Τὸν μάταιον καὶ ψευδῆ λόγον μακρὰν ποίησον ἀπὸ σοῦ.*

*Ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· θεῷ βδέλυγμα χείλη ψευδῆ. (Πρμ. ια'.)*

*Ἀπατεῶνα καὶ ἐπίορκον ἀποκαλοῦσι δικαίως τὸν ψεύστην.*

*Ὄφις τὴν Εὔαν τῷ ψεύδει ἀπώλεσεν.*

*Σκορπίου ἰὸς γλῶσσα συκοφάντου.*

*Ἄτρεπτος τοῦ ἔργου ὁ συκοφάντης, ἐπειδὰν καὶ τῆς συκοφαντίας ὀρεγομένους εὕρῃ τοὺς ἄρχοντας.*

*Ἰστὸς ἀράχνης πλέγμα συκοφάντου*

*Τεχνᾶται ψεύδη διαβολὴ παντοῖα.*

*Ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται, καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει. (Σειράχ λδ'. 4.)*

*Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια. (Ψαλ. ια'. 4.)*

*Γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν. (Παρμ. ιϛ'. 28.)*

*Ὡς βδελυρὸν φεῦγε τὸν συκοφάντην.*

*Τὸ ψεῦδος οἱ συκοφάνται πιπράσκουσι· τοὺς ὅρκους ἀνήλωσαν εἰς τὸ ὀμνύειν καὶ μόνον τὸν Θεὸν ἐπιστάμενοι. (Χρυσοστόμ.)*

*Οὔτε ἐν δικαστηρίοις οὔτε ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον τὸ ψεῦδος τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῶς προελομένοις τοῦ βίου. (Βασιλειου.)*

*Νέους καὶ γέροντας, ἄρχοντας καὶ δυνάστας καθεῖλε συκοφαντία. (τοῦ αὐτοῦ.)*

*Τὸ μὲν ἀληθὲς ἓν, τὸ δὲ ψεύδεσθαι πολυσχιδές· (»)*

*Ἔοικε πῶς ὁ λόγος, ἐπειδὰν ἅπαξ τῆς ἀληθείας παρενεχθῇ, εἰς πολλὰς καὶ ἐπικινδύνους ἀτοπίας ἐκφέρεσθαι. (»)*

*Λόγον καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε διότι ταῦτα ἐμίσησα, λέγει Κύριος Παντοκράτωρ. (Ζαχρ. η'. 17.)*

*Ἔσχατος ὅρος τῆς πονηρίας ἐστὶ τὸ ψεῦδος. (Βασιλείου.)*

*Τῷ ἐν βορβόρῳ, ἄνθρωπος δὲ ἐν ψεύδει. (Σειράχ.)*

*Το ψευδόμενον στόμα ἀναιρεῖ ψυχήν. (Ζ. Σλ. α'. 11.)*

*Ἀπολεῖται μάρτυς ψευδής. (Πρμ. κα'. 8.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ἴσα κλέπτης καὶ συκοφάντης κληρονομήσουσι. (ν)*

*Ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει, καὶ ἔρχεται ἐπὶ παγίδος θανάτου. (» κα'. 6.)*

*Νεανίσκε, μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου· μὴ φίλῳ τὸ ὅμοιον ποίει. (Σειράχ. 3.)*

*Συκοφαντία περιφέρει σοφόν, καὶ ἀπολύει τὴν καρδίαν εὐτονίας αὐτοῦ. (Ἐκκλ. ζ'. 8.)*

*Ἴδιον συκοφάντου ἐνεδρεύειν κατὰ παντός.*

*Χαίρει συκοφάντης πολλῷ πλέον, ὅσῳ τοῖς ἔργοις εὐδοκιμεῖ.*

*Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἄνεμον· ὁ δὲ αὐτὸς διώξεται ὄρνεα πτερωτά. (Παρμ. ι'. 4.)*

*Νέους φίλους ὡς τοὺς παλαιοὺς ἀπώλεσε συκοφάντης.*

*Ἡ γυνὴ τοῦ Πετεφρῆ πρὸς τοὺς ἐν τῇ οἰκίᾳ αὐτῆς εἶπε. Εἴδετε εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον ἐμπαίζειν ὑμῖν· εἰσῆλθε γὰρ πρός με λέγων· Κοιμήθητι μετ' ἐμοῦ· καὶ ἐβόησα φωνῇ· ἐν δὲ τῷ ἀκοῦσαι αὐτόν, ὅτι ὕψωσα τὴν φωνήν μου, καὶ ἐβόησα καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοί, ἐξῆλθεν ἔξω. (Γένεσις λθ'. 14.)*

*Ἡνίκα ἀποθανεῖν (ἐκ συκοφαντίας) κατεκρίθη, ἀνεβόησε φωνῇ μεγάλῃ Σωσάνα καὶ εἶπεν. Ὁ θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν γνώστης, σὺ ἐπίστασαι, ὅτι ψευδῆ μου κατεμαρτύρησαν. (Δανιήλ. ι'. γ'. 14.)*

*Λύτρωσαί με Κύριε, ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. (Ψαλμ.)*

## Περὶ τοῦ ψεύδους, ὅτι ἐκ τοῦ Διαβόλου ἐστί.

*Εἶπε δὲ Πέτρος, Ἁνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμης τοῦ χωρίου; οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ· ἀκούων δὲ Ἁνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξε. (Πράξεων ε'. 2, 11.)*

*Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. (Κολασσαεῖς γ'. 6 10.)*

*Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας· εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ ὑμῶν μὴ κατακαυχᾶσθε καὶ ψεύ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεσθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστι αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη ἀλλ' ἐπίγειος ψυχικὴ δαιμονιώδης. (Ἰακώβου γ'. 14—16.)

Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδὲ μία· ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, καὶ ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. (Α'. Ἰωάν. 6.)

Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν ἀγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε· διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν· ὑμεῖς ἐκ Πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ. (Ἰωάννου. ηι'. 42—44.)

Ὁ ὢν ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. (« η'. 47.)

Πᾶς ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. (Ἰωάνν. γ'. 20.)

— Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' Οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. (Ρμ. α'. 18.)

Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. (» 25.)

Διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη ... μήτε δίδοτε τόπον τῷ διαβόλῳ. (Ἐφεσι. δ'. 25—26.)

— Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ. (Ἰλιάς 9, 311.)

— Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, καὶ βραχὺν χρόνον ἀντέχει. — Τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ καταρρεῖ. (Δημοσθ. Ὀλυν. 2, 10.)

= Ἂν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. (Ξενοφ. Κύρ. Παιδ. 1, 6, 19.)

= Τὸ ψευδόμενον φαίνεσθαι καὶ τοῦ συγγνώμης τινὸς τυγ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χάνειν ἐμποδὼν μάλιστα ἀνθρώποις γίγνεται. (Ξενοφ. Κύρο Παιδ. 3, 1, 9.)

— Τοῦτο κερδαίνουσιν οἱ ψευδόμενοι, τὸ μηδὲ ὅταν ἀληθεύ ωσι πιστεύεσθαι. (Αἰσώπ. μῦθ. 166.)

= Οὐκ αἰσχρὸν (τὸ ψευδῆ λέγειν), εἰ τὸ σωθῆναί γε τὸ ψεῦ δος φέρει. (Σοφ. Φι. 110.)

= Τῶν ψευδανύμων ἀνδρῶν ἔλεγχός ἐστι τὰ πράγματα. (Αἰ σώπ. μῦθ. 9.)

— Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον μαρτυρίαν ψευδ (Δεκάλογ.)

— Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. (Ψαλμ.)

— Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· ἡ καρδια αὐτῶ ματαία, τάφος ἀνεωγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶ ἐδολιοῦσαν, κρῖνον αὐτοὺς ὁ Θεός. (Ψαλμ.)

— Οὐκ ἀπέκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συν ἀγωγῆς πολλῆς. (Ψαλμ.)

— Ἐβδελυγμένα ἔναντι Κυρίου χείλη ψευδῆ. (Ψαλμ.)

— Τὸ μὲν ἀληθὲς ἓν τὸ δὲ ψεῦδος πολυσχιδές. (Γρηγ. Θεολγ

— Ἡ ἀλήθεια τὴν γῆν κατέλιπεν, οἱ συκοφάνται τὸ ψεῦδος π πράσκουσιν· ἀλλήλοις ψευδόμενοι τοὺς ὅρκους ἠνάλωσαν εἰς τ ὀμνύειν, καὶ μόνον τὸν Θεὸν ἐπιστάμενοι. (Χρυσόστ.)

— Φίλη γὰρ καὶ προτιμοτάτη πάντων ἡ ἀλήθεια· ἐπαινεῖν τ χρὴ καὶ συναινεῖν ἀφθόνως, εἴ τι ὀρθῶς λέγοιτο ἐξετάζειν δὲ κα διευθύνειν, εἴ τι μὴ φαίνοιτο ὑγιῶς ἀναγεγραμμένον. (Διονυσ Ἀλεξανδρ.)

= Ἀλήθειά ἐστιν ὁ Θεός, ὡς ἕν, οὐ πολλὰ τῇ φύσει· τὸ μὲ γὰρ ἀληθὲς ἕν, τὸ δὲ ψεῦδος πολυσχιδές· φησὶ γὰρ ὁ Θεός : Ἐγ εἰμὶ ἡ ὁδός, ἡ ἀλήθεια, καὶ ἡ ζωή. (Διονυσ. Ἀρεοπαγίτου.)

— Καλὸν γάρ ποτε καὶ τὸ ψεῦδος, ὅταν ὠφελοῦν τοὺς λέγον τας, μηδὲν καταβλάπτῃ τοὺς ἀκούοντας. (Χαρικλείας.)

— Αἴσωπος ἐρωτηθεὶς ὑπό τινος· τί ὄφελος τοῖς ψευδομένοι ἐκ τοῦ ψεύδους προσγίνεται ; ἔφη· τό, κἂν ἀληθῆ λέγωσι μὴ πι στεύεσθαι. (Αἴσωπ.)

— Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι. (Σοφοκλέους.)

— Ἐπαίνετος, πάντων, ἔφη, τοὺς ψεύστας τῶν ἁμαρτημάτω καὶ τῶν ἀδικημάτων αἰτίους εἶναι.

— Ὃς ἂν ψεύσηται τὴν ὑπόσχεσιν, ἑκὼν μὲν τοῦτο ποιήσα οὐκ ἂν ἀνεπίληπτος εἴη· ἄκων δέ, ἀνεύθυνος γίγνεται· τὸ γὰ ἀδύνατον πανταχοῦ συγγνωστὸν νόμῳ φύσεως κρίνεται. (Νεοφ Δούκα.)

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

— *Βδέλυγμα Κυρίῳ χείλη ψευδῆ.* (*Παροιμ.*)
— *Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.* (*Σοφοκλέους.*)
— *Κακὸν τὸ κεύθειν, κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.* (*Σοφοκλ.*)
— *Κακὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν,*
*ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ ἀληθεὶ' ἄγει,*
*συγγνωστόν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.* (*Σοφοκλ.*)
— *Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.* (*Μενανδρ.*)
— *Ψεῦδος δὲ μισεῖ πᾶς φρόνιμος καὶ σοφός.* (»)
— *Κρεῖττον δ' ἑλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.* (»)
— *Ψεύδεσθαι ἀνελεύθερον· ἀλήθεια γενναῖον.* (*Ἀπολλωνίου.*)
— *Οὐ γὰρ ἐπὶ ψεύδεσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός.* (*Ὁμ. Ἰλ. β'. Π.* IV. 235.)
— *Ψευδόμεθα μέν, πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.* (*Ἐπικτ. ἐγχειρ.* 51.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΖ'.

### Περὶ ἀπάτης.

— *Θύκ ἐν πολέμῳ μόνον, οὐδ' ἐπὶ τοὺς ἐχθρούς, ἀλλὰ καὶ ἐν εἰρήνῃ καὶ ἐπὶ τοὺς φιλτάτους χρῆσθαι τῇ ἀπάτῃ καλόν.* (*Χρυσοστ. περὶ ἱεροσύνης.* 1, 9.)
— *Πολλὴ γὰρ ἡ τῆς ἀπάτης ἰσχύς. μὴ μόνον μετὰ δολερᾶς προσαγαγέσθω τῆς προαιρέσεως. Μᾶλλον δὲ οὐδὲ ἀπάτην τὸ τοιοῦτον δεῖ καλεῖν, ἀλλ' οἰκονομίαν τινὰ καὶ σοφίαν καὶ τέχνην ἱκανὴν πολλοὺς πόρους ἐν τοῖς ἀπόροις εὑρεῖν, καὶ πλημμελείας ἐπανορθῶσαι ψυχῆς.* (*Αὐτόθι.*)
— *Ἔλαττον ἁμάρτημά ἐστιν ἀκουσίως τινὸς φονέα γενέσθαι, ἢ ἀπατεῶνα καλῶν τε καὶ ἀγαθῶν καὶ δικαίων καὶ νομίμων.* (*Πλάτ. Πολιτειῶν Ε'.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΙΗ'.

### Περὶ τοῦ ὅτι δεῖ συμφωνεῖν τὰ ἔργα τοῖς λόγοις.

*Ἀμὴν λέγω ὑμῖν, ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.* (*Ματθαῖος Ε'. 19.*)
*Ὁ οὖν διδάσκων ἕτερον σαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτῃς; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις;* (*Ρωμ. β'. 23.*)
*Ἄφωνον ἔργον κρεῖττον ἀπράκτου λόγου· λόγου ἀπράκτου μητ' ἄκουε μηθ' ὅρα. Βίου μὲν οὐδεὶς πώποθ' ὑψώθη δίχα· λόγου δὲ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*πολλοὶ τοῦ κειῶς ψοφουμένου. Ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ. Τὸ λαλεῖν ἃ μὴ χρή, τοῦ ἀκούειν ἀτιμώτερον. (Γρηγ. τοῦ Θεολόγου.)*

*Τὸ μὲν γὰρ διὰ ῥημάτων φιλοσοφεῖν εὔκολον, ἡ δὲ διὰ τῶν ἔργων ἐπίδειξις γενναίου τινὸς καὶ μεγάλου. — Τὸ διὰ τὸν λόγον μόνον ὁμολογεῖν, διὰ δὲ τῶν ἔργων ἐναντιοῦσθαι, οὐκ ἀνόητον μόνον, ἀλλὰ καὶ ἐπιβλαβὲς ἡμῖν. (Χρυσοστόμου.)*

*Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου· ὁ μὲν γὰρ καὶ σιγῶν ὠφελεῖ, ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ. (Ἰσιδώρου.)*

*Οὐ λόγων κομψῶν, ἀλλ' ἔργων δεῖ. (Φιλοθέου.)*

*Μὴ τὰς τῶν λεγόντων δυνάμεις, ἀλλὰ τὰς τῶν πραγμάτων φύσεις δοκιμάζε.ν. (Ἐτεοκλέους.)*

*Οὐκ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους δεῖ κρατεῖν· οὐ γὰρ ἕνεκεν λόγων τὰ πράγματα συντελεῖται, ἀλλ' ἐκ τῶν πραγμάτων οἱ λόγοι. (Σωκράτους.)*

*Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετήν, μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύοντες αὐτοῖς, ὁποίους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορεῖτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. (Ἰσοκρ.)*

*Ἀγησίλαος ἐρωτηθείς, πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη; Εἰ λέγοι, εἶπε τὰ ἄριστα, πράττει δὲ τὰ κάλλιστα.*

*Καὶ μὴν ὅτι τὸ τὰς κρίσεις ἐπὶ τὰ ἔργα μετάγειν, καὶ τοὺς λόγους, μὴ λόγους ἐᾶν, ἀλλὰ πράξεις ποιεῖν, μάλιστα τῆς προκοπῆς ἴδιον ἐστιν, εἴρηται. (Πλουτάρχου.)*

*Ἡνίκα μέντοι συμφώνως, οἷς φρονεῖ, τοὺς λόγους παρέχεται, ἀληθεύειν λέγεται· ψεύδεσθαι δὲ τοὐναντίον, ὁπόθ' αἱ φωναὶ αὐτοῦ οὐκ εἰλικρινεῖς σημαντῆρες τῶν ἐνδιαθέτων εἰσὶν ἰδεῶν.— Εὐγενὴς χαρακτήρ, φησὶν ὁ Εὐριπίδης, ἐκ λόγου γνωρίζεται· ἀλλ' ὁπόθ' οὗτος βεβαιοῦται τοῖς πράγμασι, τότε ποιεῖ μᾶλλον τὸν ἄνθρωπον τίμιον, ἐφ' οὗ ἀναρτᾶται αὐτῷ τὸ εὔδαιμον. — Δεῖ γὰρ δὴ τὸν Χριστιανὸν καὶ φιλόσοφον ἀπὸ τῶν λόγων ἀρχόμενον, καταλήγειν εἰς τοῦργον, ἵν' ἢ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς. — Εὐεργετικὸν μὲν οὖν καὶ τὸ διὰ λόγου γιγνόμενον, εὐεργετικώτερον γεμὴν παλλῷ τῷ μέτρῳ τὸ διὰ πράξεως ἐκτελούμενον καὶ πλέον ἔχει καὶ ζῆλον καὶ ἔπαινον. (Νεοφύτου Δούκα.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ ΡΙΘ'

## Περὶ λόγου καὶ τῆς ἐξ αὐτοῦ ὠφελείας.

— *Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.* (*Λουκᾶ ια'. 28.*)

— *Ὁ λόγος ὑμῶν, πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.* (*Κολοσ. δ'. 6.*)

— *Εἴ τις ἐν λόγῳ οὐ πταίσῃ, οὗτος τέλειός ἐστι, δυνάμενος χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.* (*Ἰακώβου α'. 26.*)

— *Ἔστι γνῶσις, λόγου χωρίς, καὶ ἔστι γνῶσις μετὰ λόγου· καὶ γὰρ εἰσὶ πολλοί, γνῶσιν μὲν ἔχοντες, λόγον δ' οὐκ ἔχοντες.* (*Χρυσοστόμου.*)

— *Κατόπτροις ἐοίκασιν οἱ λόγοι, καὶ ὥσπερ ἐν ἐκείνοις ὁ τοῦ σώματος καὶ τῆς μορφῆς ἐμφανίζεται τύπος, οὕτω καὶ ἐν ταῖς ὁμιλίαις τὸ τῆς ψυχῆς εἶδος χαρακτηριζόμενον καθορᾶται.* (*Φωτίου. Πατριάρχ.*)

— *Θεῖον μὲν χρῆμα ὁ λόγος· θειότερον δὲ ἡ ἀρετή· θειότατον δὲ ἡ εὐσέβεια. Ὁ μὲν οὖν καὶ λόγῳ καὶ ἔργῳ καὶ πίστει κεκοσμημένος, ἀνυπέρβλητος, καὶ ἀοίδιμος, καὶ τῆς ἀκροτάτης μακαριότητος ἄξιος· ὁ δὲ καθ' ὁπότερον τούτων λειπόμενος τοσοῦτον ἐλαττοῦται, ὅσον ἡ ἀναλογία τοῦ ἐλλειφθέντος ἀπαιτεῖ.* (*Ἰσιδώρου.*)

*Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται· καὶ γὰρ ἐκ τοῦ καρποῦ, τὸ δένδρον γνωσθήσεται. — Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος οὐ λόγος· καὶ τρόπος μὲν οὖν καὶ λόγος· ἢ τρόπος διὰ λόγου. — Ὥσπερ οὖν ὁ μετὰ τὴν τομὴν φεύγων τὸν ἰατρόν, καὶ τὸν ἐπίδεσμον μὴ προσιέμενος, τὸ μὲν ἀλγεινὸν ἀνεδέξατο, τὸ δ' ὠφέλιμον οὐχ ὑπέμεινε τῆς θεραπείας, οὕτως ἐν τῷ χαράξαντι καὶ τρώσαντι λόγῳ τὴν ἀβελτηρίαν καὶ ἀπουλῶσαι καὶ καταστῆσαι μὴ παρασχὼν ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ὠφεληθεὶς δὲ μηδέν.* (*Πλουτάρχου.*)

*Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσι. — Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. — Δύο ποιοῦ καιροὺς τοῦ λέγειν· ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν.* (*Ἰσοκράτους.*)

— *Τὸν μὲν κέραμον, ἐκ τοῦ κτύπου δοκιμάζεσθαι, τὸν δ' ἄνθρωπον ἐκ τοῦ λόγου.* (*Ρωμύλου.*)

— *Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθὸς, τῆς ψυχῆς περιτίθησι σχῆμα.* (*Δημώνακτος.*)



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν προσομιλοῦντα τριχῆ διασκοποῦ ἢ ὡς ἄμεινον, ἢ ὡς ἧττονα, ἢ ὡς ἴσον· καὶ εἰ μὲν ἀμείνονα εὕροις, ἀκούων χρὴ καὶ πείθεσθαι αὐτῷ· εἰδ' ἧττω, ἀπειθεῖν, εἰ δ' ἴσον συμφωνεῖν. (Μοσχίων.)

— Ἀκτὶς γὰρ ἡλίου διασκεδάζει σκότος, λόγος δὲ ὀρθὸς ἀποσοβεῖ ἀπάτην. — Λόγος λόγον ἔτιξε καὶ φάτις φάτιν· ἐξ ὧν τὰ κεδνὰ βλαστάνει βουλεύματα. — Θεῷ ἕπεσθαι καὶ λόγῳ πείθεσθαι ταὐτόν ἐστιν· ἐκεῖθεν γὰρ ὁ λόγος τοῖς ἀνθρώποις. — Δόλος προσηνὴς καὶ συνείκων, σὺν χάριτι προσρηθεὶς καὶ εὐστόχως ἐπιτεθείς, οἷά περ κατάπλασμα ἀκεσώδυνον, μεγάλην πληγὴν τῆς ψυχῆς πολλάκις ἰάσατο. — Καθάπερ σπέρμα τῇ γῇ ἐγκρυβὲν βλαστόν, εἰ μὴ σαπείη πρότερον εἰς κάρπωσιν οὐκ ἂν ἀναδύοι, οὔτε καὶ λόγος ταῖς τῶν πολλῶν ψυχαῖς ἐνσπαρείς, εἰ μὴ ῥιζωθείη τῷ χρόνῳ, δρόσου τυγχάνων καὶ συνεχέσιν ἀρδείαις ἀρδευόμενος, καθ' ὅσον ἐκεῖναι τύχοιεν οὖσαι ἐξ ἀμαθείας τραχύτεραι, οὐκ ἂν ῥᾳδίως ἀνίσχοι πρὸς κάρπωσιν. (Νεοφύτου Δούκα.)

— Σπεῖρε τὸ καλόν, θεῷ δὲ περὶ τῆς βλαστήσεως μελήσει.

— Τοῦ μὲν σώματος τροφὴ σῖτος, τῆς δὲ ψυχῆς λόγος. (Σαριπ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚ'.

### Περὶ πονηρίας.

Τὴν καρδίαν τοῦ πονηροῦ πεπλήρωκεν ὁ Σατανᾶς δόλου, μίσους, ἀπανθρωπίας ἁρπαγῆς κακεντρεχείας καὶ προδοσίας. Πόθεν δὲ ὁ πρὸς πάντας αὐτοῦ πόλεμος; ὅτι δοχεῖον ὢν πάσης κακίας, ἐδέξατο καὶ τοῦ φθόνου τὴν νόσον καὶ ἐβάσκανεν ἡμῖν τῆς τιμῆς· οὐ γὰρ ἤνεγκε τὴν μετρίαν ἡμῶν εὐτυχίαν. (Βασιλείου.)

Ἴδια τοῦ διεστραμμένου τὸ πονηρόν, τὸ ὕποπτον, ὁ δόλος, τὸ θρασύ, τὸ ἐπίβουλον, τὸ προδοτικόν, τὸ ἁρπακτικόν· φεῦγε τοίνυν τὸν ἑπτακέφαλον δράκοντα, ἵνα μὴ σοῦ καταφάγῃ οὐ μόνον τὰς σάρκας, ἀλλὰ καὶ τὰ ὀστᾶ.

Ἀεὶ μελετᾷ πονηρίαν· καὶ πολλὰ τὰ προσωπεῖα περικείμενος, δυσφυλακτότερος ἐστι θηρίου, δορὰν προβάτου προβαλλόμενος, καὶ ἔνδον τὸν λύκον ἐπικρύπτων· διὸ καὶ ἀφυλάκτως πολλοὶ τούτῳ ἐπιπίπτουσι. (Χρυσοστ. Τ. Ε'. 418.)

Ὑπάρχει ὁ πονηρὸς ὅμοιος τῷ χαμαιλέοντι, πάσας μεταλαμβάνοντι τὰς χρόας πλὴν μιᾶς, τῆς λευκότητος· ἢ ὅμοιος τῷ θηρίῳ ὃ καλεῖται Τάρανδος, ἀεὶ μεταβάλλων τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα, οἷς ἂν ἐγγὺς ἵσταται, ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταύτῃ μᾶλλον, ἢ τῇ περὶ τὸ σῶμα γίνεσθαι ἀλκῇ δυσθήρατον τοῦτο. (Φίλωνος.)

Δημόσιον Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔοικεν ὁ πονηρὸς τῷ δολερῷ καὶ πολυπλόκῳ πολύποδι, ὅς, ὁποίᾳ ποτ' ἂν πέτρᾳ περιπλακῇ, τὴν ἐκείνης ὑπέχεται χρόαν· ὥστε τοὺς πολλοὺς τῶν ἰχθύων ἀπροόπτως νηχομένους τῷ πολύποδι περιπεσεῖν (ὡς) τῇ πέτρᾳ δῆθεν, καὶ ἕτοιμον γενέσθαι θήραμα τῷ κακούργῳ. Δολερὸν τὸ θηρίον φεῦγε αὐτό. (Βασιλείου.)

Ἀγάπην δείκνυσιν ὁ πονηρός, τὸ μῖσος ἐν τῷ βάθει τῆς καρδίας κατέχων· ἀγάπην δείκνυσι κατακεχωσμένην τὴν ἐπιφάνειαν κατ' αὐτὰς τὰς ὑφάλους πέτρας, αἳ βραχὺ καλυπτόμεναι ὕδατι, κακὸν ἀπρόοπτον καὶ ὄλεθρος τοῖς ἀφυλάκτοις γίνεται. (τοῦ αὐτοῦ.)

Ἐριδός ἐστι καὶ ἔχθρας μεμεστωμένος· ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος σπουδάζει πονεῖν τὰ πάντα· ὅπου δ' ἀποτυγχάνει ταῖς μεθοδείαις, ἐκεῖ τὸν τῆς ἐχίδνης ἐξεμεῖ πρὸς ἀπώλειαν ἰόν, καὶ θανατοῖ ἐκ προαιρέσεως· εἰ γὰρ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ Πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὁ κακὸς οὗτος (ὁ πονηρὸς) δυνήσεται εὖ ποιῆσαι, μεμαθηκὼς κακά· φεῦγε τοῦτο. (τοῦ αὐτοῦ.)

Σκανδάλων καὶ κοινωνίαν, καὶ φιλίαν, καὶ Ἐκκλησίαν πεπλήρωκε τῷ ἰδίῳ φθόνῳ ὁ παμπόνηρος Σατανᾶς, τέχναις ἀπατηλαῖς μεθοδεύει τὴν ἐπιχείρησιν· σοφός ἐστι τοῦ κακοποιῆσαι· σήμερον κλέπτει διὰ τῆς μεθοδείας, αὔριον τὰς ἐπαγγελίας περιαφίησιν· ἀεὶ τὸ μὲν παρὸν διὰ τῆς πλάνης ἀφαιρούμενος, τὸ δὲ μέλλον ταῖς ἐλπίσι δολιευόμενος, λανθάνει ἡμᾶς ἀποβουκολῶν τῆς ζωῆς. (τοῦ αὐτοῦ.)

Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένου. (Ψλλμ.)

Φαύλων πεπαλαιωμένε, καὶ κακῶν ἡμερῶν· νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις, τὸ πρότερον, ἀδικῶν ἀθώους, ἁρπάζων ἀδελφούς, διαστρέφων ὀρθά, καὶ παρανομῶν ἐν νόμῳ

Νήφωμεν, φεύγωμεν τὸν πονηρόν· ἐπιβλαβὴς γάρ, καὶ τῆς εἰρηνικῆς ἡμῶν καταστάσεως φθοροποιὸς ἡ μετ' αὐτοῦ συνδιαίτησις· ὡς γὰρ οἱ ἐν ἀέρι λοιμικῷ γενόμενοι, πάντως νοσοῦσιν, οὕτως οἱ ἐν ἀνθρώποις διεστραμμένοις διάγοντες, μεταλαμβάνουσι τῆς κακίας καὶ πονηρίας ἐκείνων.

Σκοπεῖτε τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν· οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. (Ρωμ. ις'. 17)

Οὐ μόνον τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν φέρει κόλασιν χαλεπωτέραν τῶν ἐν πονηρίᾳ ζώντων· τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ ἁμαρτάνειν τὸ καὶ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως φέρει λόγον. (*Χρυσοστ. Τμ. Ε'. 418.*)

*Ποῦ νῦν εἰσιν οἱ λέγοντες, διατί θηρία ; διατί σκορπίοι ; διατί ἔχεις ! ἰδοὺ γὰρ εὕρηται ζῶον πλείονα κακίαν ἐπιδεικνύμενον, οὐ παρὰ φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην ὁ ἄνθρωπος.* (*τοῦ αὐτοῦ ἐν ψαλμ. λθ'.*)

— *Ὁ ζῶν ἐν πονηρίᾳ καὶ πρὸ τῆς γεέννης κολάζεται τῷ συνειδότι κεντούμενος.*

— *Πεπονήρευται χαλεπῶς ἡ παροῦσα γενεά, καὶ ὅλη οἰήσεως καὶ ὑποκρίσεως πεπλήρωται· κόπους σωματικοὺς ἐπιδεικνυμένη, τῶν δὲ χαρισμάτων οὐκ ἀξιουμένη . . οὐ γὰρ κόποις ἀλλ' ἁπλότητι καὶ ταπεινότητι Θεὸς ἐμφανίζεται.* (*Ἰωάν. Κλίμακος.*)

— *Ἡ πονηρία μήτηρ πάσης κακίας· ζωὴ δαιμονική. Ὁ πονηρὸς φαντάζεται καὶ εἶναι σύντροφος τοῦ διαβόλου καὶ συνώνυμός του διότι ἀμφότεροι μετέρχονται τὰ πονηρά· ἡ πονηρία εἶναι πλάνη καὶ τέχνη διαβολικὴ καὶ γεννᾶ τὴν διπροσωπίαν καὶ ἁπατηλὴν εὐλάβειαν.* (*Ἰω. Κλίμακος.*)

— *Κρεῖττον εὐήθη δοκεῖν ἢ πονηρὸν εἶναι.* (*Δημοσθ.*)

— *Ἡ πονηρία διὰ τῶν παραυτίκα ἡδονῶν πορευομένη, ταύτας ἔχει συμπειθούσας πολλοὺς αὐτῇ ὁμογνωμονεῖν.* (*Ξενοφ. Κύρου Παιδ. 2, 2 24.*)

— *Αἱρετώτερον τὸ παρὰ τῆς τύχης ἀδικεῖν μᾶλλον, ἢ κατὰ γνώμην δοκεῖν πονηρεύεσθαι.* (*Σώπατ.*)

— *Ἡ πονηρὰ φύσις πλημμελεῖν προαιρουμένη, κἂν μετ' εὐλόγου προσχήματος οὐ δυνηθῇ, ἀλλά γε ἀπαρακαλύπτως πονηρεύεται.* (*Αἰσώπ. μῦθ. 15.*)

— *Πονηρίαν ἀρχομένην μὲν κωλῦσαι τάχ' ἄν τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγενημένην τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λεγόντων.* (*Δεινάρχ. Ἀριστογείτ. 3.*)

— *Οἱ φύσει πονηροί, κἂν τὰ μάλιστα κολάζωνται τὸν τρόπον οὐ μετατίθενται.* (*Αἰσώπ. μῦθ. 116.*)

— *Τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.* (*Αἰσώπ. μῦθ. 184.*)

— *Ἐν ψυχῇ δόξαι ἐπιθυμίαις, καὶ θυμὸς ἡδοναῖς, καὶ λόγος λύπαις, καὶ πάντα ἀλλήλοις ταῦτα τῶν φλαύρων ἐχόντων διαφέρουσι· στάσιν ἄρα καὶ νόσον τῆς ψυχῆς πονηρίαν λέγοντες ὀρθῶς ἐροῦμεν.* (*Πλάτ. Σοφιστής.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΑ'.

### Περὶ ψόγου καὶ διαβολῆς.

*Μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξουσιν.* (*Ματθ. ε'.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Λοιδορούμενοι εὐλογοῦμεν βλασφημούμενοι παρακαλοῦμεν. (α'. Κορινθ. δ'.)*

*Καλύπτουσιν ἔχθραν χείλη δίκαια, οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν. (Παροιμ. ι'.)*

*Ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀναμέσον εἰρηνευόντων, βαλεῖ διαβολήν. (Σειράχ.)*

*Πρὶν ἐξετάσῃς μὴ μέμψῃ, νόησον πρῶτον, καὶ τότε ἐπιτίμα. (»)*

*Οὐ τὰ ῥήματα πέφυκε τὰς λύπας, ἀλλ' ἡ κατὰ τοῦ λοιδοροῦντος ἡμᾶς ὑπεροψία, καὶ ἡ ἑκάστου αὐτῶν φαντασία. (Βασιλείου.)*

*Πέφυκε πῶς ταῖς μεγάλαις συναστείαις αἱ ἀνελεύθεραι αὗται παραφύεσθαι θεραπεῖαι· αἳ διὰ τὸ ἀπορεῖν οἰκείου ἀγαθοῦ δι' οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτοὺς συνιστῶσιν. (»)*

*Τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλων· τὸν γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ αὐτὸς ἑαυτόν. (»)*

*Τὸ μὲν ἐπιτιμᾶν οὐ μέγα· ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός· τὸ δὲ ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην, ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν ἔχοντος. (»)*

*Καλῶς ἀκούειν κρεῖσσον, ἢ λέγειν κακῶς. (»)*

*Ἅπτεται οὐ τῶν πολλῶν μόνον ἀλλὰ καὶ τῶν ἀρίστων ὁμῶμος. (»)*

*Ὥσπερ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας ἐστίν, οὕτω καὶ τὸ κακῶς λέγειν καὶ διαβάλλειν ἔχθρας καὶ ἀπεχθείας καὶ μυρίων κακῶν, ἀρχὴ καὶ ὑπόθεσις γίνεται. (Χρυσόστομος.)*

*Ἐπαινετὸν τοὺς ἐν ἀρετῇ ὄντας παρὰ πάντων ἀκούειν καλῶς. (»)*

*Εἰ οἱ προσδεχόμενοι ἀκοὴν ματαίαν, οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν; (»)*

*Μὴ τὸ κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλὰ τὸ δικαίως ἀκούειν κακῶς. (»)*

*Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται τῶν δὲ ἀλλοτρίων κατήγοροι.*

*Ἐπιστόμιζε τὸν διαβάλλοντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς, καὶ σεαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων κακιεῖ κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ ἀποκόπτων. (Μαξίμου.)*

*Ὃς εὐχερῶς τὰς ἀλλοτρίας διαβολὰς ἀποδέχεται, οὐδὲν τῶν ὁμοίων οὗτος ἀπέχεται πράξεων. (Φωτίου.)*

*Ἡ γὰρ εὐεργεσία τοῦ ἐπιτηδεύματος εἰς κοινωνίαν φιλεῖ καθέλκειν καὶ τὸν ἀναίτιον. (»)*

*Γλῶσσα βλάσφημος, διανοίας κακῆς ἔλεγχος. (Πλουτάρχου.)*

— *Καθάπερ ἡ Αἰσώπειος ἀλεκτορὶς πρὸς τὴν αἴλουρον ὡς δὴ κατ' εὔνοιαν αὐτῆς νοσούσης, ὅπως ἔχῃ πυνθανομένης, καλῶς, εἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεν, ἂν σὺ ἀποστῇς, οὕτω πρὸς τοιοῦτον ἄνθρωπον ἐμβαλόντα λόγου ὑπὲρ τῆς διαφορᾶς, καὶ πυνθανόμενον καὶ ὑπορρίπτοντα τῶν ἀπορρήτων ἔνια, χρὴ λέγειν. Ἀλλ' ἔμοι γε πρᾶγμα πρὸς ἀδελφὸν οὐδέν, ἂν μήτε ἐγὼ τοῖς διαβάλλουσι προσέχω, μήτε ἐκεῖνος. Ψίθυρον καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ· ὡς γὰρ τὰ ἀπόρρητα ἀπεκάλυψέ σοι, ὡσαύτως καὶ τὰ ὑπὸ σοῦ λεγόμενα ἑτέροις ἀνιθήσεται. (Σωκράτους.)

Ὑπὸ πολλῶν διαβάλλεσθαι κακῶν, οὔτε ἀληθές, οὔτε βλαβερόν· τὸ δὲ ὑφ' ἑνὸς ἀγαθοῦ ψέγεσθαι, καὶ ἀληθὲς καὶ λυσιτελές. (Μοσχίονος.)

Ἀνδρείου στρατιώτου διαβληθέντος τῷ Δημώνακτι, ὡς βλασφημοῦντος αὐτόν, ἐγὼ τὰ μὲν ἔργα αὐτοῦ, ἔφη, βλέπω, τὸν δὲ λόγον οὐκ ἤκουσα.

Ἥδιον οὐδέν, οὐδὲ μουσικώτερόν ἐστι, ἢ δύνασθαι λοιδορούμενον φέρειν. (Φιλήμονος.)

Καὶ γὰρ ὁ λοιδορῶν, ἂν ὁ λοιδορούμενος μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν. (»)

Ὅστις διαβολαῖς πείθεται ταχύ, ἤτοι πονηρὸς αὐτός ἐστι τοῖς τρόποις, ἢ πάντα πᾶσι παιδαρίου γνῶσιν ἔχει (Μενάνδρου.)

Πολλοὶ μὲν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν, ἢ τῶν πολεμίων· καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας, ἢ ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς. (Ρηγίνου.)

Κακουργότερον οὐδὲν διαβολῆς ἐστι ποῦ· λάθρα γὰρ ἀπαντήσασα τὸν πεπεισμένον, μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον. (Κλεάνθης.)

Ὁ διαβάλλων φίλου, μὴ εὐδοκιμείτω, κἂν ἀληθῆ λέγῃ. (Σέξτου.)

Εἰπόντος Χρυσίππῳ τινός, ὁ φίλος σε λάθρα λοιδορεῖ, εἶπε· μὴ ἔλεγχε αὐτὸν ἐπεὶ φανερῶς αὐτὸ ἔχει ποιεῖν.

Ὁ μὲν ἀγαθὸς δρομεὺς τῆς ὕσπληγγος εὐθὺς καταπεσούσης, μόνου τοῦ πρόσω ἐφιέμενος, καὶ τὴν διάνοιαν ἀποτείνας πρὸς τὸ τέρμα, καὶ ποσὶ τὴν ἐλπίδα τῆς νίκης ἔχων, τῷ πλησίον οὐδὲν κακουργῶν, οὐδέ τι τούτου κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονῶν. Ὁ δὲ κακὸς ἐκεῖνος καὶ ἄναθλος ἀνταγωνιστής, ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα ἐπὶ τὴν κακοτεχνίαν τρέπεται, καὶ τοῦτο μόνον ἐξ ἅπαντος σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχών, ἢ ἐμποδίσας ἐπιστομιεῖ, ὡς εἰ τοῦτο διαμάρτοι οὐκ ἄν ποτε νικῆσαι δυνάμενος. (Λουκιανοῦ.)

Διονύσιος ὁ βασιλεὺς ἀκούσας δύο νεανίσκους, πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίας εἰρηκέναι παρὰ πότον, ἀμφοτέρους ἐκάλεσε περὶ δεῖπνον· ὁρῶν δὲ τὸν μὲν παροινοῦντα καὶ ληροῦν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τα πολλά, τὸν δὲ κοσμίως μετ' εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν, ὡς φύσει παροινήσαντα, τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν, καὶ πολέμιον ἐκ προαιρέσεως.

— Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. (Ἰσοκρ.)

— Καὶ ἐπέστρεψα ἐγώ, καὶ εἶδον συμπάσας τὰς συκοφαντίας τὰς γινομένας ὑπὲρ τὸν ἥλιον· καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν· καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοὺς ἰσχὺς καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν. (Ἐκκλησιαστής.)

— Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με· ἀνταπεδίδοσάν με πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. (ψαλμ. γδ'. 14.)

— Ὁρῶ τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν, ὅσῳ περ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετὰ αἰσχρᾶς βλάβης ὁμιλοῦντας, τρεφούσας. (Πλάτ. Ἐπιστολαί.)

— Εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν (Ἰσοκράτ.)

— Μὴ ὡς εὐνοοῦντας λογίζου τοὺς διαβολὰς καὶ λόγους σοι φέροντας, λύπην ἐν σοὶ καὶ μίσος πρὸς τὸν ἀδελφὸν ἐργαζομένους, κἂν ἀληθεύειν δοκῶσιν· ἀλλ' ὡς θανατοῦντας ὄφεις τοὺς τοιούτους ἀποστρέφου· ἵνα κἀκείνους τοῦ κακολογεῖν ἀνακόψῃς καὶ τὴν σεαυτοῦ ψυχὴν πονηρίας ἀπαλλάξῃς. (Μαξίμου.)

— Πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον. (Δημοσθέν.)

— Ὅταν οὖν λεχθῇ τι μὴ ἀληθές, οὐχ, ὅτι ψεῦδος ἐστι, δεῖ καταφρονεῖν καὶ ἀμελεῖν, ἀλλὰ σκοπεῖν τί τῶν ὑπὸ σοῦ λεγομένων, ἢ πραττομένων, ἢ σπουδαζομένων, ἢ συνόντων, ὁμοιότητα τῇ διαβολῇ παρέσχηκε, καὶ τοῦτο διευλαβεῖσθαι καὶ φεύγειν. (Πλουτάρχ.)

= Δεινόν ἐστιν ἡ διαβολή· ὅτι οὐδὲ τιμωρία τις κατὰ τῶν διαβαλλόντων γέγραπται ἐν τοῖς νόμοις, ὥσπερ τῶν κλεπτῶν· ὥστε ἡ ὕβρις κακοῦργος οὖσα, δικαιοτέρα ἐστὶ τῆς διαβολῆς, διὰ τὸ μὴ ἀφανὴς εἶναι. (Ἱππίου.)

— Σιμωνίδῃ τῷ περιφήμῳ ποιητῇ, εἶπέ τις, «Πολλοὶ κακολογοῦσί σε πρός με·» αὐτὸς δὲ εἶπεν. «Οὐ παύσῃ ποτὲ σὺ τοῖς ὡσί με βλασφημεῖν;» ὡς ἂν ἔλεγε πρὸς τὸν διαβάλλοντα, «Ἐὰν σὺ δὲν ἔδιδες ἀκρόασιν, δὲν θὰ μ' ἐκακολόγουν. (Στοβαίου.)

— Κακουργότερον οὐδὲν διαβολῆς ἔστι που.
Λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον,
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον. (Κλεάνθους.)

— *Ὅστις δὲ διαβολαῖσι πείθεται ταχύ,*
*ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους·*
*ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.* (*Μενάνδρ.*)

— *Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον·*
*τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν*
*εἰς μέμψιν ἰδίαν αὐτὸν ἐπάναγκες λαβεῖν.* (*Μενάνδρ.*)

— *Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι.* (*Θουκυδίδ. ς'. 41.*)

— *Διαβολὴ γάρ ἐστι δεινότατον, ἐν τῇ δύο μέν εἰσιν οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος· ὁ μὲν γὰρ διαβάλλων ἀδικέει οὐ παρεόντος κατηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθόμενος, πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου κακὸς εἶναι.* (*Ἡροδότ. ζ'. 10,7.*)

— *Διαβολὴ γὰρ κακὸν τὸ ὀξύτατον καὶ ἐπιβουλότατον.* (*Διων. Χρυσ.*)

*Ἀλέξανδρος ἐπιστολὴν κατὰ τοῦ ἰατροῦ δεξάμενος ὡς ἐπιβουλεύοντος, ἐπειδὴ ἔτυχεν ἐν αὐτῷ καιρῷ φάρμακον ὥστε πιεῖν, τοσοῦτον ἀπέσχε πιστεῦσαι τῷ διαβάλλοντι, ὥστε ὁμοῦ τε τὴν ἐπιστολὴν ἀνεγίνωσκε, καὶ τὸ φάρμακον ἔπινεν.*

*Τὸν αὐτόν, φασί, διαβαλλομένου τινος τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν ἐπιμελῶς ἐπιφράξασθαι τῇ χειρί, ἀκεραίαν δηλονότι ταύτην διασώζοντα τῷ μὴ παρόντι.*

*Κλεόβουλος μάλιστα σωφρονεῖν ἔφη, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον.*

*Τῶν κατ' ἀρετὴν ζώντων ὁ τῆς λοιδορίας μῶμος οὐχ ἅπτεται.* (*»*)

*Διάβολοι καὶ θείας ἀπόπεμπτοι χάριτος, οἱ τὴν αὐτὴν ἐκείνῳ διαβολικὴν νοσοῦντες κακοτεχνίαν, θεοστυγεῖς τε καὶ θεομισεῖς πάντῃ, καὶ πάσης εὐδαιμονίας ἀλλότριοι* (*Φίλωνος*).

*Οὐ παραδέξῃ ἀκοὴν ματαίαν* (*Ἐξδ. κγ'. 1*)

*Ὁ διαβάλλων τὸν πλησίον ἀδελφικὰ κρέα ἔφαγεν, ὑπόληψιν τρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος διὰ τοῦ λόγου κακά. Οὐ τοῖς κακῶς μόνον ἀγορεύουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσιν κακῶς λέγοντας ἑτέρους, παραινῶ τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προφήτην μιμεῖσθαι τὸν λέγοντα· «Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον». Εἰπὲ πρὸς τὸν πλησίον· εἰ ἔχεις τινὰ ἐπαινέσαι καὶ ἐγκωμιάσαι, ἀνοίγω τὰς ἀκοάς, ἵνα δέξωμαι τὰ μύρια, ἂν δὲ κακῶς ἐθέλῃς εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν* (*Χρυσοστόμ.*).

*Βίον ἀλλότριον περιεργάζεσθαι, ἀπελευθερίας ἐσχάτης· τὸ δὲ πάντων καταγελαστότερον, οἱ τοῦτον ἔχοντες τὸν βίον, καὶ τῶν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκείων ἀμελοῦντες, ἐπειδὰν εἴπωσί τι τῶν ἀπορρήτων, παρακαλοῦσι τὸν ἀκούσαντα, καὶ ὁρκοῦσι μηδενὶ λοιπὸν εἰπεῖν ἑτέρῳ, αὐτόθεν δηλοῦντες, ὅτι πρᾶγμα ἄξιον κατηγορίας· εἰ γὰρ ἐκεῖνον μηδενὶ εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πόσῳ μᾶλλόν σε πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν, καὶ διαβάλλειν τινά, οὐδὲ κατέχοντα ἐν ἀσφαλείᾳ τὸν λόγον προδοῦναι, καὶ τότε τῆς σωτηρίας αὐτοῦ φροντίζειν· ἀλλὰ ἡδὺ τὸ διαβάλλειν, ἡδὺ μὲν ἂν τὸ μὴ λέγειν κακῶς· ὁ μὲν γὰρ κακῶς εἰπών, ἐναγώνιος λοιπόν ἐστιν, ὑποπτεύει καὶ δέδοικε, μετανοεῖ καὶ κατεσθίει τὴν γλῶσσαν ἑαυτοῦ, δεδικὼς καὶ τρέμων, μήποτε εἰς ἑτέρους ἐξενεχθῇ τὸ ῥῆμα, καὶ μέγαν ἐπαγάγῃ τὸν κίνδυνον (τοῦ αὐτοῦ).

— Οὐδὲν οὕτως ἐνάρετόν ἐστιν, ὃ μὴ ψόγον ἐπιδέχεται. (Αἰσωπ. μῦθ. 275).

— Ἐπ' οὐδενὶ τὸν Θεὸν οὕτω νεμεσᾶν, ὡς ἐπὶ τῷ τὸν ὅμοιον αὐτῷ ψέγειν, ἐπαινεῖν δὲ τὸν ἀνόμοιον· Θεῷ δὲ ὁ ἀγαθὸς ὅμοιος ὢν οὐ δεῖ νεικείειν, ὁ δὲ κακὸς ἀνόμοιος, ὃν οὐ δεῖ ἀσπάζεσθαι. (Πλάτωνος.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΒ'.

### Περὶ καταλαλιᾶς.

Καταλαλιά ἐστι, τὸ κατὰ ἀπόντος ἀδελφοῦ λαλεῖν, σκοπῷ τοῦ διαβάλλειν αὐτόν, εἰ καὶ ἀληθὲς ᾖ τὸ λεγόμενον (Βασιλείου).

Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς (Παροιμ. κ'. 13).

Μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ, ἢ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμου (Ἰακώβ. δ'. 11).

Ὀφθαλμὸν καταλαλοῦντος πατρὸς καὶ ἀτιμάζοντος γῆρας μητρὸς ἐκκόψειαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, καὶ καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν (Παροιμ λ'. 17).

Ἐάν τίς σε εἴπῃ κακῶς, εἰ μὲν ἀληθὲς λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον· εἰ μὲν σύνοιδας σεαυτῷ τὰ εἰρημένα, σωφρόνησον· εἰ δὲ μὴ σύνοιδας, καταφρόνησον (Χρυσοστόμ.).

Τῶν κακῶς λεγόντων ἡμᾶς τότε χρὴ καταφρονεῖν, ὅταν ἡμεῖς μὴ παρέξωμεν λαβάς, μᾶλλον δὲ μηδὲν τότε, ἀλλ' ἐπειδὰν δυνώμεθα ἐπιστόμίζειν αὐτούς· ὅταν δὲ ἐξ ἡμῶν γίνηται τὸ πᾶν, εἰς τὴν ἡμετέραν κεφαλὴν τρέπεται πᾶν τὸ πῦρ. (»)

Οὐχ οἱ κακῶς λέγοντες μόνον, ἀλλὰ καὶ οἱ τὰς αἰτίας εἰκῇ παρέχοντες, τῆς ἐπὶ τῇ κατηγορίᾳ κειμένης, εἰσὶν ὑπεύθυνοι τιμωρίας (τοῦ αὐτοῦ).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ κακῶς ἕτερον διατεθῆναι βουλόμενος, πρότερον ἑαυτὸν οὕτω διατίθησι (Διδύμου).

Συμφέρει σοι πίνειν οἶνον, καὶ τρώγειν κρέα, καὶ μὴ κατεσθίειν ἐν καταλαλιᾷ σάρκας ἀδελφῶν.

Κυηθόμενοι τὴν ἀκοήν, ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. (Β'. Τιμθ. δ'.)

Εἴ τις εὑρεθῇ καταλαλῶν τινος, καὶ ἀκούων καταλαλοῦντα τινα, καὶ μὴ ἐπιτιμῶν αὐτῷ, σὺν αὐτῷ ἀφοριζέσθω. (Βασιλείου ἐν τοῖς ἐπιτιμίοις.)

Καὶ γὰρ ἐκάθησαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν. (ψαλμ. ριη', 23.)

Ἀκήκοας λόγον συναποθανέτω σοι· ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ διηγοῦ. (Σειράχ 12.)

Ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωσέως ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης, ἣν ἔλαβε Μωσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβεν καὶ εἶπον· μὴ Μωσῆ μόνον ἐλάλησεν ὁ Κύριος; καὶ εἶπε Κύριος πρὸς αὐτούς· Ἀκούσατε τὸν λόγον μου ἀμφότεροι· Ἐὰν γένηται προφήτης ὑμῶν Κυρίου, ἐν ὁράματι γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ, οὐχ οὕτως ὡς ὁ θεράπων μου Μωϋσῆς· ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι, στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, καὶ τὴν δόξαν Κυρίου εἶδεν, καὶ διατί οὐκ ἐφοβήθητε λαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωσῆ; καὶ ὀργὴ θυμοῦ Κυρίου ἐπ' αὐτοῖς, καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα ὡσεὶ χιών. (Ἀρθ. ιβ'. 1.)

— Ὁ καταλαλος θανατώνει τὴν τιμὴν τοῦ ἀνθρώπου, καὶ ὁ φονεὺς τὴν ζωήν, ἀλλ' ἐπειδὴ ἡ τιμὴ εἶναι ἀνωτέρα τῆς ζωῆς, ἄρα ἡ καταλαλιὰ εἶνε ἁμαρτία ἀνωτέρα τοῦ φόνου, διότι ὁ φονεὺς θανατώνει μὲ τὸ βέλος καὶ μὲ μέγαν κίνδυνον τῆς ζωῆς του τοὺς ζῶντας μόνον, ὁ δὲ κατάλαλος μὲ ἕνα λόγον καὶ μὲ μεγάλην ἀσφάλειαν θανατώνει ζῶντας καὶ τεθνεῶτας. (Σωκράτους.)

— Ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμον καὶ κρίνει νόμον. Εἷς ἐστιν ὁ νομοθέτης ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι. Σὺ δὲ τίς ὁ κρίνων τὸν ἕτερον; (Ἰακ.)

— Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. (ψαλμ.)

— Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.

— Περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη μακρὰν ἄπωσα ἀπὸ σοῦ. (Σωλομῶντ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Κρεῖττόν γάρ ἐστιν πεσεῖν ἀπὸ ὕψους ἢ ἀπὸ γλώσσης.* (*Σολομῶντ.*)

— *Ἵνα πράξῃ τις φόνον πολλῶν ἔχει χρείαν προφυλάξεων· οὐ πᾶς καιρὸς πρὸς τοῦτο εὐνοϊκός· οὐ πᾶς τόπος κατάλληλος εἰς ἐκτέλεσιν τοῦ ἐγκλήματος· οὐ πάντα τὰ ὅπλα ἀσφαλῆ οὐ πᾶσαι αἱ πληγαὶ καταφέρονται πρὸς τὸν σκοπόν· οὐ πάντα τὰ τραύματα θανατηφόρα. Ἀλλ' ἵνα βλάψῃ τις τὴν τιμήν, ἀρκεῖ ἵνα εἴπῃ ἕνα μόνον λόγον· οὐδ' ἔχει τις χρείαν καιροῦ εἰς τοῦτο, μιᾶς στιγμῆς ἐξαρκούσης· μόλις ἂν συλλάβῃ τὸν σκοπὸν ἵνα καταλαλήσῃ, καὶ τὸ πρᾶγμα ἐξετελέσθη.*

— *Ἐπειδάν τισι τοιούτοις συκοφάνταις περιπέσωμεν μὴ ἐκείνους σπουδάζειν περιβάλλειν λοιδορίας, καὶ τὴν γλῶσσαν ἀκονᾶν κατὰ τῆς ἑτέρων κατηγορίας, ἀλλὰ μόνον πράως καὶ ἡμέρως ἑαυτοὺς ἀνευθύνως δεικνῦναι, καὶ μιμεῖσθαι τὸν θαυμάσιον ἐκεῖνον (Ἰωσὴφ τὸν Πάγκαλον) ὅτι οὐδὲ ἐν συμφορᾷ ὢν κατεδέξατο κἂν μέχρι ῥημάτων ἐκπομπεῖσθαι τῆς Αἰγυπτίας τὴν ἀσέλγειαν.* (*Χρυσοστόμ.*)

— *Ὁ κατηγορῶν, ἀδελφικὰ κρέα ἔφαγε· τὴν σάρκα τοῦ πλησίον ἔδακε. — Ὥσπερ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν, ἔχθρας καὶ ἀπεχθείας καὶ μυρίων κακῶν ἀρχὴ καὶ ὑπόθεσις γίνεται.* (*Χρυσοστόμ.*)

— *Ὃς εὐχερῶς τὰς ἀλλοτρίας διαβολὰς ἀποδέχεται, οὐδὲ τῶν ὁμοίων οὗτος πράξεων ἀπέχεται· ἡ γὰρ ἐργασία τοῦ ἐπιτηδεύματος, εἰς κοινωνίαν φιλεῖ καθέλκειν καὶ τὸν ἀναίτιον.* (*Φωτίου Πατριάρχου.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΓ'.

### Περὶ κατακρίσεως.

*Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.* (*Ἰακώβ. α'.*)

*Οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ κατακρίνειν τὰ ἀλλότρια.* (*Γρηγ. Ναζιαν.*)

*Κατάκρισις προσενεχθεῖσα ψυχὰς ἀνέτρεψε, καὶ κατέδυσε* (*Χρυσοστμ.*)

*Ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ.* (*Μτθ. ιβ'.*)

*Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις, ὁ κρίνων· οἴδαμεν δὲ ὅτι τὸ κρῖμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς τὰ τοιαῦτα πράσσοντας. Λογίζει δὲ τοῦτο, ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ Θεοῦ; (Ρωμ. β'. 1.)

Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; (Ρωμ. η'. 32-33.)

Μὴ τοίνυν γινώμεθα ἑτέρων πικροὶ δικασταὶ ἵνα μὴ καὶ ἡμεῖς ἀκριβῶς ἀπαιτηθῶμεν εὐθύνας· καὶ γὰρ ἔχομεν ἁμαρτήματα συγγνώμης πάσης μείζονα· ὥστε ἐκείνους μᾶλλον ἐλεῶμεν τοὺς τὰ ἀσύγγνωστα ἁμαρτάνοντας, ἵνα καὶ αὐτοὶ τοιοῦτον ἑαυτοῖς προαποθώμεθα ἔλεον· καίτοι ὅσα ἂν φιλοτιμησώμεθα, οὐδέποτε δυνησόμεθα τοιαύτην εἰσενεγκεῖν φιλανθρωπίαν, οἵας χρήζομεν ἡμεῖς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Πῶς οὖν οὐκ ἄτοπον τοσούτων ὄντας ἐν χρείᾳ αὐτοὺς ἀκροβολογεῖσθαι περὶ τοὺς ἡμετέρους συνδούλους, καὶ καθ' ἑαυτῶν ἅπαντα πράττειν; σὺ γὰρ οὕτως ἐκεῖνον ἀνάξιον ἀποφαίνεις τῆς εὐεργεσίας τῆς σῆς, ὡς ἑαυτὸν τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Ὁ γὰρ περὶ τὸν σύνδουλον ἀκριβολογούμενος, πολλῷ μᾶλλον τὸν Θεὸν ἕξει τοῦτο ποιοῦντα. Μὴ τοίνυν καθ' ὑμῶν φθεγγώμεθα, ἀλλὰ κἂν διὰ ῥᾳθυμίαν, καὶ δι' ἀργίαν προσίωσιν, ἡμεῖς παρέχωμεν· ὡς γὰρ καὶ ἡμεῖς διὰ ῥᾳθυμίαν ἁμαρτάνομεν, μᾶλλον δὲ ἅπαντα διὰ ῥᾳθυμίαν, καὶ οὐκ ἀπαιτεῖ δίκην ἡμᾶς εὐθέως ὁ Θεός ἀλλὰ δίδωσι προθεσμίαν μετανοίας ἡμῖν, τρέφων καθ' ἑκάστην ἡμέραν, παιδεύων διδάσκων, τ' ἄλλα πάντα χορηγῶν, ἵνα καὶ ἡμεῖς ζηλώσωμεν τὸν ἔλεον αὐτοῦ τοῦτον· καταλύσωμεν τοίνυν τὴν ὠμότητα ταύτην· ἐκβάλωμεν τὴν θηριωδίαν, ἅτε ἑαυτοὺς μᾶλλον, ἢ ἑτέρους εὐεργετοῦντες· τούτοις μὲν γὰρ ἀργύριον διδόαμεν, καὶ ἄρτον καὶ ἱμάτιον, ἡμῖν δὲ αὐτοῖς μεγίστην προσετιθέμεθα δόξαν, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ· τὰ γὰρ σώματα ἄφθαρτα ἀποβαλόντες συνδοξασόμεθα καὶ συμβασιλεύσομεν τῷ Χριστῷ. (Χρστμ. Τμ. Θ'. 589.)

Ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν. (Ματθ. ε'.)

Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον; (Ιακβ. δ'.)

Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; (Ρωμ. ιδ'.)

Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὔτε υἱοὶ ὑπὲρ πατέρων· ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. (Δευτερ. κδ'. 16.)

Ἐν ταῖς ἡμέραις ἐκείναις οὐ μὴ εἴπωσιν· οἱ πατέρες ἔφαγον ὄμφακας, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν, ἀλλ' ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται, καὶ τοῦ φαγόντος αἱμωδιάσωσιν οἱ ὀδόντες. (Ἱερμ. λά. 29.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ζῶ ἐγὼ λέγει Κύριος, ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη καὶ ἀποθανεῖται· ὁ δὲ ἄνθρωπος ἔσται δίκαιος ὁ ποιῶν δικαιοσύνην. Υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς αὐτοῦ, δικαιοσύνη δὲ δικαίου ἐπ' αὐτὸν ἔσται. (Ἰεζεκιὴλ ιη'. 2.20.)

Ἕκαστος τὸ ἴδιον φορτίον βαστάζει. (Γαλατ. ς'. 5.)

Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος. (ψαλ. μη' 7.)

Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς. (Α'. Θεσσαλ. δ'. 8)

— Δύο καιροὺς εἶναι ἡγοῦμαι, καθ' οὓς ἔξεστιν εἰπεῖν τι περί τινος φαύλου, ὅταν ἀνάγκην ἔχῃ τις βουλεύσασθαι μετὰ καὶ ἑτέρου τῶν εἰς τοῦτο δεδοκιμασμένων πῶς διορθωθῇ ὁ ἡμαρτηκώς, καὶ πάλιν ὅταν χρεία γένηται ἀσφαλίσασθαί τινας τοὺς ἐξ ἀγνοίας δυναμένους πολλάκις συναναμιγνύναι τῷ κακῷ ὡς καλῷ (Βασίλ.).

— Μὴ κρίνετε ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς; (Ματθαίου).

— Ὁ ἀναμάρτητος ἐξ ὑμῶν, πρῶτος τὸν λίθον ἐπ' αὐτῆς βαλέτω.

— Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον (. . .).

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΔ'.

### Περὶ ἐπιβουλῆς.

Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν, ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλιεῖ (Παροιμ. κς'. 27).

Ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου, δίκτυον περιβάλλει τοῖς ἑαυτοῦ ποσίν (αὐτόθι κθ'. 5).

Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, καὶ ὁ ἱστῶν παγίδα, ἐν αὐτῇ ἁλώσεται.

Ὁ ποιῶν πονηρά, εἰς αὐτὰ κυλισθήσεται, καὶ οὐ μὴ ἐπιγνῷ, πόθεν ἥκει αὐτῷ (Σειράχ. κζ'. 26).

Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο (Ψλμ. ζ'. 15).

Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποῦς αὐτῶν (θ'. 16).

Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν (νς'. 7).

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί (ρμ'. 10).

Ὁ καθ' ἑτέρου μηχανώμενος καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει (Αἰσώπ. μῦθ. 233).

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ὁ κατὰ τῶν ἑαυτοῦ φίλων δολίας μηχανὰς συντιθείς, αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται (Αἰσώπ. μῦθ. 172).

Ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα (Παροιμ.

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΕ'.

### Περὶ δόλου.

Δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, οἱ δὲ βουλόμενοι εἰρηνεύειν εὐφρανθήσονται. (Παροι. ιδ'.)

Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν κρῖνον αὐτοὺς ὁ θεός (ψλ.έ.10).

Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ, καὶ ἐροῦσι πᾶς ὁ λαὸς γένοιτο. (Δευτ. κζ'.)

Οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου. (Λευϊτ. ιθ.)

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. (ψλ. λγ'. 14.)

Οὐ νοεῖτε, ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι; ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα· ἔλεγε δέ, ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον· ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημίαι, ὑπερηφανία, ἀφροσύνη. Πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον. (Μαρ. ζ'. 18—23.)

Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου κακοηθείας κτλ. (Ρωμ.α'.27.)

Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον, καὶ ὑποκρίσεις καὶ φθόνους, καὶ πάσας καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε ἵνα ἐν αὐτῷ αὐξηθῆτε, εἴπερ ἐγεύσασθε ὅτι Χριστὸς ὁ Κύριος. (Α. Πετρ. β'. 1—3.)

Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. (» β'. 21—23.)

Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες· μὴ ἀποδιδόντες κακὰ ἀντὶ κακοῦ, ἢ λοιδο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ρίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, εἰδότες, ὅτι εἰς τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν κληρονομήσητε. Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ ἰδεῖν ἡμέρας ἀγαθάς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν· ὅτι οἱ Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά* (πγ' 8—15)

— *Βδέλυγμα ἀνθρώποις ἀνὴρ λοιμός.* (*Πλάτων.*)

— *Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.*

*Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.* (*ψαλμός.*)

— *Τὸ στόμα σου ἐπλεόνασε κακίαν καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας.* (*ψαλμός.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΣΤ'.

### Περὶ φιλοπονίας, ὀκνηρίας καὶ ἀργίας.

*Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου* (*Γενέσεως*).

*Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι* (*Ἰωάννης*).

*Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Αὐτοὶ δὲ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Ἐργάζεσθε ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν. Μίσους ὄντως ἀξία καὶ καταγνώσεως ἡ ἀργία, μύρμηκος καὶ μελίσσης χείρονα ποιοῦσα τὸν ἄνθρωπον.* (*Παύλου*).

*Τοὺς πόνους τῶν χειρῶν σου, ὅτι φάγεσαι, μακάριος εἶ καὶ καλῶς σοι ἔσται* (*Δαυΐδ*).

*Ἴδε τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ καὶ γενοῦ ἐκείνου σοφώτερος. Ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὢν ἑτοιμάζεται θέρους τὴν τροφήν, πολλήν τε ἐν ἀμητῷ ποιεῖται τὴν παράθεσιν. Ἑτοιμάζου εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν, καὶ πορεύου κατόπισθέν μου καὶ οἰκοδομήσεις τὸν οἶκόν σου. Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων· οἱ δὲ διώκοντες μάταια ἐνδεεῖς φρενῶν. Πορεύθητι πρὸς τὴν μέλισσαν, ὦ ὀκνηρέ, καὶ μάθε ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται, ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγιείαν προσφέρονται· ποθεινὴ δὲ πᾶσι καὶ ἐπίδοξός ἐστι, καί περ οὖσα τῇ ῥώμῃ ἀσθενής. Ὁδὸς ἀεργοῦ ἐστρωμέναι ἀκάνθαις. Ψυχὴ ἀεργοῦ πεινάσει. Ἐὰν ἄοκνος ἧς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου· ἡ δὲ ἔνδεια ὥσπερ καλὸς δρομεὺς ἀπαντομολήσει.* (*Παρ. ς'. 6*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

Ἐν ὥρᾳ σου ἐξεγείρου πρὸς τὸ ἐργάζεσθαι καὶ μὴ βραδύνῃς. Ἐν νεότητί σου οὐκ ἐκοπίασες, πῶς ἂν εὕροις ἐν γήρᾳ σου; (Σειράχ.)

Ἡ ἀργία μήτηρ ἐστὶ τοῦ λιμοῦ, καὶ ἀδελφὴ τῆς κλοπῆς. (Τωβ.)

Τίς ἐν καιρῷ σπορᾶς οἴκοι καθήμενος, ἐνστάντος τοῦ θερισμοῦ, τὸν κόλπον ἐπλήρωσε τῶν δραγμάτων; ..... ἐκείνων οἱ καρποί, ὧν καὶ οἱ πόνοι. — Πολλοὶ τὰ μὲν ἀγαθά, ὅταν ἐπίπονα ᾖ κακὰ νομίζουσι· τὰ δὲ κακά, διὰ τὴν προσοῦσαν αὐτοῖς ἡδονήν, ὡς ἀγαθὰ μεταδιώκουσι, καὶ ἀμύθητος ἐν ἀνθρώποις ἡ περὶ τὰ τοιαῦτα πλάνη. (Βασιλείου.)

Ἡ μὲν νωθρία, σύζυγος ὕπνου· ἡ δὲ ἀργία, μήτηρ λιμοῦ. (Θεολόγου.)

Οὐκ ὀκνεῖ ὁ εὖ φρονῶν πρὸς τοὺς πόνους, διὰ τοὺς ἐκ τῶν πόνων καρπούς. — Μικρὸν ἐν πετεινοῖς ἡ φιλόπονος μέλισσα, ἀλλ' ἀλλ' ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. (Διονυσίου Ἀρεοπαγίτου)

Πόνων δεῖ, ἀλλὰ στέφανοι τῶν πόνων αἱ ἀμοιβαί. (Μελετίου.)

Μὴ ἀποκάμῃς τρέχων καὶ πυκτεύων, καὶ ἀγωνιζόμενον, ἕως τῶν βραβείων εὐμοιρήσειας. — Αἰσχύνεσθαι δὲ οὐκ ὀρθῶς ἔχει, μή τις ἄρα διὰ τὴν αὐτουργίαν, ἀθλίους ἡμᾶς καὶ ἀβοηθήτους ὑπολάβῃ. (Πηγᾶ)

Τὸ μετὰ πόνων καὶ ἱδρώτων κτηθέν, κἂν μικρὸν τυγχάνῃ, ποθεινότερόν ἐστί· τὸ δ' αὐτομάτως προσπεσόν, εὐκαταφρόνητον, κἂν ὑπάρχῃ μέγα. (Ἰσιδώρου Πηλουσιώτου)

Γύμναζε σαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. — Ἅπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, (Ἀθηναῖοι τε καὶ Λακεδαιμόνιοι) εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας. Ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν, ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλως ἁμαρτημάτων τῶν μετ' ἐκείνων γιγνομένων. (Ἰσοκράτ.)

Οὐδεὶς ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ, ἀλλ' οἱ πόνοι γεννῶσι τὴν εὐανδρίαν· πόνος γὰρ εὐκλείας πατήρ. — Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. Αἰσχρόν τι μοχθεῖν μὴ θέλειν νεανίαν. (Εὐριπ.)

Ὁ μὲν εὐθύμως εἰς ἔργα ἐπιφερόμενος, δίκαια καὶ νόμιμα καθ' ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται, καὶ πανακηδὴς ἐστιν· ὃς δ' ἂν δίκης ἀλογέῃ, καὶ τὰ χρεόντα μὴ ἐρδῃ, τούτῳ πάντα τὰ τοιάδε ἀτερπέα, ὅταν τε ἀναμνησθῇ καὶ δέδοικε, καὶ ἑαυτὸν κακίζει. (Δημοκρίτου.)

Οὐ γάρ ἔστι φυλακὴ καθευδόντων, οὐδὲ νίκη φευγόντων, οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαράν. — Ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον, καὶ τὰ σώματα, τοῖς μὲν συμμέτροις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὔξεται πόνοις, τοῖς δὲ ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη .... οὐδ' ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι. (Πλουτάρχου.)

Ἄτοπόν ἐστι διώκοντα τὰς τιμάς, φεύγειν τοὺς πόνους, δι' ὧν αἱ τιμαί. (Εὐαγρίου.)

Ἀρχὴν παντὸς ἀγαθοῦ, καὶ ἀρετῆς ἁπάσης, ὁ Θεὸς ἐνέδειξεν ἀνθρώποις τὸν πόνον, οὐ χωρίς, τῶν ἀγαθῶν οὐδέν ἐστι παρὰ τῷ θνητῷ γένει συνιστάμενον. (Φίλωνος.)

Τά τε ὑπερβάλλοντα γυμνάσια καὶ τὰ ἐλλείποντα φθείρει τὴν ἰσχύν. (Ἀριστοτέλης.)

Ἐργάζου μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύσῃς. Πᾶς γὰρ ἄεργος ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν. Μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης· ἀλλ' ἀπὸ οἰκείων βιότων φαγέοις ἀνύβριστα. (Φωκυλίδ.)

Ὦ πονηρέ, μὴ τὰ μαλακὰ μᾶλλον, μὴ τὰ σκληρ' ἔχῃς. (Ἐπιχάρμου.)

Ἀργὸς μὴ ἴσθι μηδ' ἂν πλουτῇς. (Πιττακοῦ.)

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τοι ὄνειδος. (Ἡσιόδου.)

Πάντα ἐστὶν ἐξευρεῖν, ἂν μὴ τὸν πόνον φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις. (Φιλήμονος.)

Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις. (Ἀρετὴ πρὸς τὸν Ἡρακλέα.)

Ἡ ἀργία εἶναι μήτηρ πάσης κακίας.— Ἀνιαρὸν ἀργία. — Ἀντὶ πόνων πωλοῦσιν ἡμῖν πάντα τ' ἀγαθ' οἱ θεοί. (Διαφόρων Φιλοσόφων.)

Πονεῖτε ἕως ἡμέρα ἐστίν, ὡς μὴ εἰδότες τίποθ' ἥξει φέρουσα ἡ ἐπιοῦσα· πόνος μὲν γάρ, ἄνεσιν ἔπειτα φέρων, κέρδος· ῥᾳθυμία δὲ ἄτε δὴ τίκτουσα πόνον, ζημία. Γίγνεσθέ μοι τοίνυν ὅμοιοι Προμηθεῖ, ἢ Ἐπιμηθεῖ· ἐκείνῳ μὲν γὰρ προσῆν τὸ μέλειν, τούτῳ δὲ τὸ μεταμέλειν.

Ἀλήθεις, Κλεάνθη; ἠρώτησεν ὁ βασιλεὺς Ἀντίγονος τὸν φιλόσοφον Κλεάνθην. Ἀλήθω, βασιλεῦ, ἀπήντησεν ἐκεῖνος, ὅπως πορίζωμαι τὰ πρὸς τὸ ζῆν. Διὰ τῆς αὐτῆς δὲ ἐκείνης χειρός, δι' ἧς ἐκίνει τὸν χειρόμυλον τὴν ἡμέραν, τὴν δὲ νύκτα ἤντλει τὸ ὕδωρ ἐκ τῶν φρεάτων, ἔγραφεν ὁ μακάριος, εὐκαιρῶν, περὶ Θεοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων!! Ἡμεῖς ὅμως καταφρονοῦντες, ὡς δουλικά, τὰ τοιαῦτα ἔργα, νομίζομεν εὐγενέστερον, ἐὰν δανειζώμεθα, γινόμενοι ἀνδράποδα τοῦ δανειστοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπειδὴ πολλάκις ἡ ἀργία εἶναι τῆς κακῆς ἀνατροφῆς ἀποτέλεσμα, ὁ Σόλων, ὁ σοφὸς οὗτος νομοθέτης, ἵνα παρακινήσῃ τοὺς γονεῖς νὰ συνειθίζωσι παιδιόθεν τὰ ἑαυτῶν τέκνα εἰς τὴν ἐργασίαν, ἐθηκε νόμον, ἵνα μὴ ᾖ ὑπόχρεως νὰ διατρέφῃ μηδὲ νὰ γηροκομῇ τὸν ἑαυτοῦ πατέρα, ὅστις δὲν ἐδιδάχθη καμμίαν τέχνην ὑπ' αὐτοῦ.

Ἡ ὀκνηρία ὁμοιάζουσα τὴν σκωρίαν, φθείρει πολὺ περισσότερον ἢ ἡ ἐργασία· ὡς ἡ συχνὴ χρῆσις τῆς κλειδὸς διατηρεῖ αὐτὴν πάντοτε στιλπνήν. — Ἡ ἐργασία τὰ πάντα εὐκολύνει, ἡ δὲ ἀργία τὰ πάντα δυσκολεύει. — Ἡ φιλοπονία χορηγεῖ πλειότερα σὺν ὀλιγωτέρῳ κόπῳ. — Ἡ ἀργία βραδυπορεῖ τόσον, ὥστε ταχέως καταλαμβάνεται ὑπὸ τῆς πτωχείας. — Ἡ φιλοπονία ἀνάγκην εὐχῶν οὐκ ἔχει· ὁ ὑπὸ ἐλπίδων τρεφόμενος λιμῷ ἀπόλλυται. — Ἡ φιλοπονία πληρώνει τὰ χρέη, ἡ δὲ ὀκνηρία τὰ αὐξάνει. — Ἡ πεῖνα παρατηρεῖ τὴν θύραν τοῦ φιλέργου ἀνθρώπου, ἀλλὰ δὲν τολμᾷ νά εἰσέλθῃ. — Ἡ ἐργασία τῶν χειρῶν δὲν ἐξευτελίζει τὴν ἀξίαν τοῦ ἀνθρώπου. (Διαφόρων λογίων.)

Ἰδοὺ ἀνέτειλεν ὁ ἥλιος! Διατί μένεις ἐπὶ τῆς κλίνης; Διατί ἀργοπορεῖς, οὔτε ὑπάγεις εἰς τὸ ἔργον σου; Μὴ ἐγεννήθης ὅπως διατελῇς κυλιόμενος ἐπὶ τῶν στρωμάτων, ἢ μένων ὕπτιος καὶ κατ' αὐτὴν τὴν ἡμέραν; οὐ βλέπεις τὸν μύρμηκα πόσον κινεῖται ἄνω καὶ κάτω ὅπως ἐν καιρῷ τοῦ θέρους ἀποθησαυρίσῃ εἰς ἀποθήκας ἀσφαλῶς τὰ ἐφόδια τοῦ χειμῶνος; οὐ βλέπεις τὰς ἀράχνας, αἵτινες ἀδιακόπως ἐργάζονται; οὐ βλέπεις τὰς μελίσσας περιπετομένας ὧδε κἀκεῖσε εἰς τὰ ἄνθη καὶ τὰ φυτά, ἅμα ἐφώτισε. Σὺ δὲ τί βραδύνεις ἵνα ἐκπληρώσῃς τὰ ἀνθρώπινά σου καθήκοντα διὰ τὴν κοινὴν καὶ τὴν ἰδιαιτέραν σου αὐτὴν εὐημερίαν; (. . . . .

— Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσι. (Δημοκρίτου.)

— Πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ τῇ συνηθείᾳ γίγνεται. (Δημοκρ.)

— Πλείονες ἐξ ἀσκήσεως ἀγαθοὶ γίγνονται, ἢ ἀπὸ φύσεως. (Δημοκρίτου.)

— Ὁ φεύγων πόνους φεύγει καὶ τιμάς. (Θουκυδ. β'.)

— Ἡ τῶν σωμάτων ἕξις ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται, ὑπὸ γυμνασίων δὲ καὶ κινήσεων ὡς ἐπὶ τὸ πολὺ σώζεται· ἡ δ' ἐν τῇ ψυχῇ ἕξις ὑπὸ μαθήσεως μὲν καὶ μελέτης, κινήσεων οὐσῶν, κτᾶταί τε μαθήματα καὶ σώζεται καὶ γίνεται βελτίων· ὑπὸ δὲ ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει, ἅ τε ἂν μάθῃ, ἐπιλανθάνεται. (Πλάτων Θεαίτητος.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις.* (*Ξενοφ. Ἀπομνημ. Β'. 1.*)

— *Ἡδονὰς τὰς μετὰ πόνου διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.* (*Ἀντισθέν.*)

*Ἀργὸς μὴ ἴσθι· ἀνιαρὸν ἀργία.* (*Πιττακοῦ.*)

*Μηδὲ ἐπὶ χοίνικα καθίσαι* (*Πυθαγόρ.*)

*Μὴ φορεῖν στενὸν δακτυλίδιον.*

*Ἀργία μήτηρ λιμοῦ, ἀδελφὴ κλοπῆς, ἐξαδέλφη τοῦ ψεύδους, θεία τῆς δυστυχίας.* (*Συνέσιος.*)

*Πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία, ἀργία μήτηρ κακίας, φέρε οὖν τὸ τῶν δημιουργῶν γένος καὶ χειροτεχνῶν ἐξετάσωμεν· οὗτοι γὰρ μάλιστα δοκοῦσιν ἐκ δικαίων διαζῆν πόνων καὶ τῶν ἱδρώτων τῶν ἑαυτῶν, ἀλλὰ καὶ οὗτοι ὅταν μὴ προσέχωσιν ἑαυτοῖς, πολλὰ ἐντεῦθεν συνάγουσιν ἑαυτοῖς τὰ κακά· τὴν γὰρ ἀπὸ τῆς πράσεως καὶ ἀγορασίας ἀδικίαν ἐπισυνάγουσι τῇ τῶν δικαίων πόνων ἐργασίᾳ, καὶ ὅρκους καὶ ἐπιορκίας καὶ ψευδολογίας προστιθέασι τῇ πλεονεξίᾳ πολλάκις, καὶ τῶν βιοτικῶν μόνον εἰσὶ πραγμάτων καὶ τῇ γῇ προσηλωμένοι διατελοῦσιν καὶ ὅπως μὲν χρηματίσωνται πάντα πράττουσιν, ὅπως δὲ μεταδοῖεν τοῖς δεομένοις, οὐ πολλὴν τίθενται τὴν σπουδὴν ἀεὶ τὰ ὄντα αὔξειν βουλόμενοι.* (*Χρυσόστ.*)

— *Ἡ ὀκνηρία εἶναι μία παράλυσις τῆς ψυχῆς, κράτησις τῶν μελῶν, τύφλωσις τῶν ὀφθαλμῶν, κώφωσις τῶν ὤτων, κλείδωσις τοῦ στόματος, φραγμὸς τῆς ῥινός, δεσμὸς τῶν χειρῶν, ἄλυσις τῶν ποδῶν, ἀδυναμία τῆς καρδίας, ἀσθένεια ὅλου τοῦ σώματος καὶ γενικὴ ἐξασθένωσις ὅλου τοῦ ἀνθρώπου σωματικῶς καὶ ψυχικῶς· ἡ φιλεργία εἶναι ὁ ἐξολοθρευτὴς ὅλων τούτων.*

— *Ἡ ἀργία εἶναι τάφος τοῦ ζῶντος ἀργοῦ ἀνθρώπου.* (*Σενέκ.*)

— *Ἡ ἀργία εἶναι μήτηρ τῆς κακίας καὶ παγὶς τῆς ἁμαρτίας.* (*Κάτων.*)

— *Πηγὴ πάσης ἁμαρτίας εἶναι ἡ ἀργία· οὐδὲν σχολῆς μοχθηρότερον, οὐδὲν ἀργίας χειρότερον· πάντας γὰρ ἡ ἀργία βλάπτει καὶ τὰ μέλη τοῦ σώματος καὶ τὰ νοήματα τοῦ πνεύματος βλάπτει πως ἡ ἀργία . . . . .* (*Χρυσοστ. ὁμιλ. λε'. εἰς τὰς Πράξεις.*)

— *Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί, τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέσει, ὅς κεν ἄεργὸς ζώῃ* (*Ἡσ. Θεογ. 302.*)

— *Ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.* (*Αἰσώπ. μῦθ. 33.*)

— *Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ Θεοί.* (*Ξεν. Ἀπομνημ· 2,1,20.*)

— *Οἱ πόνοι ὄψον τοῖς ἀγαθοῖς.* (*Ξενοφ. Κυρ. Παιδ. 7,5.80.*)

— *Πόνος πόνῳ πόνον φέρει.* (*Σοφοκ. Αἴας. 866.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ῥᾴθυμος ἂν ἦς πλούσιος, πένης ἔσῃ. (Μενάνδρ.)

— Σκόπει τὸν πολύευκτον χρυσόν, σκόπει τὸν ἄργυρον, σκόπει τὰς οἰκίας πολυτελεῖς, σκόπει τὰς ἐσθῆτας τὰς ἐσπουδασμένας. σκόπει τὰ τούτοις ἀκόλουθα πάντα, πόσων πραγμάτων ἐστὶν ὤνια, πόσων πόνων, πόσων κινδύνων, μᾶλλον δὲ αἵματος καὶ θανάτου καὶ διαφθορᾶς ἀνθρώπων πόσης (Λουκ. Κυνικ. 8.)

— Φύσεως μὲν ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δ' ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ τῆς ἐπιμελείας ἁλίσκεται. (Πλουτάρχ. Παίδ' ἀγωγή.)

— Τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κατὰ φύσιν ἐγένετο κρεῖττον. (αὐτούς.)

— Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή.
Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται. (Εὐριπίδου.)

— Ἀργὸς πολίτης κεῖνος, ὃς κακὸς γ' ἀνήρ. (τοῦ αὐτοῦ.)

— Ἀργὸς γὰρ οὐδεὶς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν συλλέγειν ἄνευ πόνων. (τοῦ αὐτοῦ.)

— Ἀνὴρ γὰρ ὅστις, εὖ βίου κεκτημένος,
τὰ μὲν κατ' οἴκους ἀμελείᾳ παρεὶς ἐᾷ·
μολπαῖσι δ' ἡσθείς, τοῦτ' ἀεὶ θηρεύσεται·
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται
φίλοισι δ' οὐδεὶς ἡ φύσις γὰρ οἴχεται
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ. (τοῦ αὐτοῦ.)

— Τί ἀηδέστερον γένοιτ' ἂν ἀνθρώπου, οὐδὲν ἔχοντος ποιεῖν; Τί μοχθηρότερον; τί ταλαιπωρότερον; μυρίων χεῖρον τοῦτο δεσμῶν, χασμᾶσθαι καὶ κεχηνέναι διὰ παντὸς ἐπὶ τῆς ἀγορᾶς καθήμενον, ὁρῶντα τοὺς παριόντας· ἡ γὰρ ψυχὴ φύσιν ἔχουσα τοῦ κινεῖσθαι διὰ παντὸς οὐκ ἀνέχεται ἠρεμεῖν· ἔμπρακτον τὸ ζῶον τοῦτο ἐποίησεν ὁ Θεός, καὶ κατὰ φύσιν αὐτῷ ἐστι τὸ ἐργάζεσθαι, παρὰ φύσιν δὲ τὸ ἀργεῖν· ποῖος ἵππος χρήσιμος; ὁ τρυφῶν ἢ ὁ γυμναζόμενος; ποία ναῦς; ἡ πλέουσα ἢ ἡ ἀργοῦσα; ποῖον ὕδωρ; τὸ τρέχον ἢ τὸ ἑστός; ποῖος σίδηρος; ὁ κινούμενος ἢ ὁ μὴ ἐργαζόμενος; οὐχ ὁ μὲν ἀπολάμπει καὶ ἀργύρῳ προσέοικε, ὁ δὲ καταπίπτει πανταχοῦ ἄχρηστος ὢν καὶ τῆς ὕλης ἀπολλύς τι τῆς οἰκείας; τοιοῦτον γίνεται καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς.

— Ὦ Κλέων, παῦσαι φλυαρῶν, ἂν ὀκνῇς τὸ μανθάνειν,
ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσῃ ποιῶν.
Οὔτε γὰρ ναυαγὸς ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὐτόν· οὔτ' ἀνὴρ πένης γεγώς,
μὴ οὐ τέχνην μαθών, δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.
ἀλλὰ χρήματ' ἔστιν ἡμῖν, ἄγε τάχιστ' ἀπόλλυται,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κτήματ', οἰκίαι· τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν τὴν αὔριον.
κἂν μὲν ὀρκισθῇ τις ἡμῶν εἰς λιμένα τὸν τῆς τύχης,
ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·
ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
Τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
ἔρανον εἰσοίσουσιν· εὔχου μὴ λαβεῖν πεῖραν φίλων.
εἰδὲ μή, γιώσῃ σαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν. (Φιλήμονος.)

— Τὸ μὲν ἐργάζεσθαι ἀγαθόν, τὸ δ' ἀργεῖν κακόν. (Ξενοφ. Ἀπομν.)

— Σῶμα ἀργίη τήκει, ψυχὴν δὲ ἀμελετησίη ἀσκήσιος τῶν αὐτὴν ἀειρόντων πρὸς τὸ θεοειδέστατον· (Εὐσεβίου.)

— Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν. (Εὐριπίδου.)

— Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ. ( »

— Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. ( »

— Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις. ( »

— Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν. ( »

— Ἃ δ' ἀρετὰ βαινει διὰ μόχθων. ( »

— Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει. ( »

— Πολλὰ δεῖ
μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς.
ῥᾳθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν
λαβοῦσα, λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ. (Θεοδέκτου.)

— Ἐκ τοῦ φιλοπονεῖν γίγνεθ' ὧν θέλεις κρατεῖν. (Φιλήμονος.)

— Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
καὶ τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δὲ τ' ὄνειδος. (Ἡσιοδ. Ἔργ. καὶ Ἡμέρ.

— Ἁλωτὰ γίγνετ' ἐπιμελείᾳ καὶ πόνῳ
ἅπαντα. (Μενάνδρου.)

— Δεῖ τοὺς γενομένους, μέχρις ἂν ζῶσι, πονεῖν·
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον. (Μενάνδρου.)

— Ἅπαντα τὰ καλὰ τοῦ πονοῦντος γίνεται.
Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος. (Σοφοκλέους.)

— Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. (Σοφοκλέους.)

— Οὗτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θνητοῖς ὑπέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον. (Ξενοφάνους.)

— Ἐπιμελείας δοῦλα πάντα γίγνεται. (Ἀντιφάνους.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Πανταχοῦ διὰ δυσκολίας καὶ πόνων τοῖς ἀνθρώποις πέφυκε τὰ χρήσιμα παραγίνεσθαι.* (*Ἰωάν. Χρυσοστ.*) *Ἴδε Τόμ. Α'. κεφ. ρξ'.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΖ'.

### Περὶ συγγνώμης, τιμωρίας, ἀμνησικακίας καὶ ἐκδικήσεως.

(*Ἴδε Τόμ. Α'. κεφ Ν'. ΝΣΤ'*)

— *Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.* (*Ματθαῖος ς'. 14.*)

— *Προσελθὼν αὐτῷ ὁ Πέτρος, εἶπε, Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς Οὐ, λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.* (*Ὁ αὐτός*)

— *Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.* (*Ὁ αὐτός.*)

— *Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ.* (*Λουκᾶς*)

— *Μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· «Ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω, λέγει Κύριος». Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. ὁ Ἄρχων ἐστὶν ἔκδικος εἰς ὀργὴν τῷ κακῶς πράσσοντι.— Ὁρᾶτε μήτις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.* (*Παύλου.*)

— *Θρασὺς καὶ αὐθάδης καὶ ἀλαζών, λοιμὸς κκλεῖται· ὃς δὲ μνησικακεῖ, παράνομος.* (*Σειράχ.*)

— *Ἐὰν πέσῃ ὁ ἐχθρός σου μὴ ἐπιχαρῇς αὐτῷ· ἐν δὲ τῷ ὑποσκελισμῷ αὐτοῦ, μὴ ἐπαίρου, ὅτι ὄψεται Κύριος καὶ οὐκ ἀρέσει αὐτῷ· καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.* (*Σολομῶντος.*)

— *Ἐχθρὸν ἐὰν εὕρῃς στενούμενον, μὴ ἐπιβάλῃς τῇ ὀργῇ τῇ κατεχούσῃ τὴν ἄμυναν, ἀλλὰ θρέψον ὡς Ἰωσὴφ τοὺς ἀδελφοὺς τοὺς πωλήσαντας.* (*Βασιλείου.*)

— *Ὅταν ἴδῃς τὸν ἐχθρόν σου πεσόντα εἰς χεῖρας τὰς σάς, μὴ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόμιζε τιμωρίας, ἀλλὰ σωτηρίας, ἐκεῖνον εἶναι καιρόν· διὰ τοῦτο μάλιστα δεῖ φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γενώμεθα κύριοι (*Χρυσοστόμ.*)

— Μὴ μνημόνευε ἐν τῷ καιρῷ τῆς εἰρήνης, τῶν ἐν τῷ καιρῷ τῆς λύπης ὑπὸ τοῦ ἀδελφοῦ σου λεχθέντων· κἂν τι κατὰ πρόσωπον τὰ λυπηρὰ ἐρρέθη, κἂν τε πρὸς ἄλλον περὶ σοῦ, καὶ μετὰ ταῦτα ἤκουσας· ἵνα μὴ τῶν λογισμῶν τῆς μνησικακίας ἀνεχόμενος εἰς τὸ ὀλέθριον μῖσος τοῦ ἀδελφοῦ σου ὑποστρέψῃς. (*Μαξίμου.*)

— Σωκράτης τυπτόμενος ὑπὸ βαναύσου τινός, ὑπέμεινε γενναίως τὴν ὕβριν· προτρεπόμενος δὲ εἰς ἐκδίκησιν, εἶπεν· « Εἰ ὄνος με ἐλάκτισεν, ἀντιλακτίσαι αὐτὸν ἠξιώσατ' ἄν με ;— Τὸ γὰρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.— Οὔτε ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχων ὑπ' αὐτῶν. (*Σωκράτους.*)

— Ἀδικούμενος διαλλάσσου. (*Χίλωνος.*)

— Συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεως, τὸ δὲ θηριώδους (*Πιττακοῦ.*)

— Οὐ γάρ ἐστιν, ὅτι μεῖζον ἄνθρωπος ἀπολαύειν θεοῦ πέφυκεν, ἢ τὸ μιμήσει καὶ διώξει τῶν ἐν ἐκείνῳ καλῶν καὶ ἀγαθῶν εἰς ἀρετὴν καθίστασθαι· διὸ καὶ τοῖς πονηροῖς ἐν χρόνῳ καὶ σχολαίως τὴν δίκην ἐπιτίθησιν, οὐκ αὐτός τινα ταχὺ κολάζειν ἁμαρτίαν δεδιώς, ἢ μετάνοιαν, ἀλλ' ἡμῶν τὸ περὶ τὰς τιμωρίας θηριῶδες καὶ λάβρον ἀφαιρῶν, καὶ διδάσκων,μὴ σὺν ὀργῇ μηδ' ὅτι μάλιστα φλέγεται καὶ σφαδάζει. «Πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω.» ἀλλὰ μιμουμένους τὴν ἐκείνου πραότητα καὶ τὴν μέλησιν, ἐν τάξει καὶ μετ' ἐπιμελείας. τὸν ἥκιστα μετανοίᾳ προσοισόμενον χρόνον ἔχοντας σύμβουλον,ἅπτεσθαι δίκης.— Τὸ δ' ἐν καιρῷ καὶ τρόπῳ προσήκοντι γενέσθαι τὰς τιμωρίας, οὐ βέλτιον εἶναι τοῦ ταχὺ καὶ παραχρῆμα νομίζετε ;

— Ὁ Ἀγριππῖνος ἡγεμονεύων ἐπειρᾶτο τοὺς καταδικαζομένους ὑπ' αὐτοῦ πείθειν, ὅτι προσήκει αὐτοῖς καταδικασθῆναι· οὐ γάρ, ὡς πολέμιος αὐτοῖς, ἔφη, οὐδ' ὡς λῃστὴς καταφέρω τὴν ψῆφον αὐτῶν, ἀλλ' ὡς ἐπιμελητὴς καὶ κηδεμών· ὥσπερ καὶ ὁ ἰατρὸς τὸν τεμνόμενον παραμυθεῖται, καὶ πείθει παρέχειν ἑαυτόν.

— Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεύς, πικρὸς ἦν τῶν ὑπηκόων κολαστής· τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε· «μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία» ὁ δὲ ἀλλ' ἡ ἐμή, ἔφη, αὕτη μανία, τοὺς ἄρχομένους σώφρονας ποιεῖ. (*Κότυος*).

— Ὥσπερ, ὅτε συμπάσχουσι τοῖς φίλοις οἱ ἄνθρωποι, τὸ πολὺ τῆς ἐκείνων θλίψεως δοκοῦσί τι ὑφαιρεῖν, καὶ οἱονεὶ μεριζόμενοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τῆς λύπης φορτίον, ἀνακουφίζουσιν, οὕτω καὶ οἱ ἐφηδόμενοι τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι, δοκοῦσιν ἀποσκευάζειν, ὥσπερ ἐκ νεὼς ὑπερκλυζούσης, τινὰ τῶν ἰδίων, ἢ γοῦν συγκαλύπτειν τοῖς ἀλλοτρίοις τὰ ἑαυτῶν ἀτυχήματα· ἔστι δὲ τὸ μὲν πρῶτον συμπαθείας πάθος ὑπὸ φιλανθρωπίας τικτόμενον· τὸ δὲ δεύτερον ἄγριον καὶ κακόηθες, ἐξ ἰοῦ τοῦ πρωτογόνου ὄφεώς τισιν ἐνσπαρέν.— Οὐδεὶς γὰρ κολάζει τοὺς ἀδικοῦντας, πρὸς τοῦτο τὸν νοῦν ἔχων, καὶ τούτου ἕνεκα, ὅτι ἠδίκησαν, ὅστις μὴ ὥσπερ θηρίον ἀλογίστως τιμωρεῖται· ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν, οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται (οὐ γὰρ ἂν τό γε πραχθὲν ἀγέννητον θείη) ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ (*Νεοφύτου Δούκα*).

— Μὴ ἐπιδιώξῃς ποτὲ ἐκδίκησιν κατὰ τῶν ἀδικούντων σε, διότι θέλεις οὕτως ἐξομοιωθῆ πρὸς αὐτούς· μὴ ὀκνήσῃς ὅμως ποτέ, εἰ σοι δοθῇ περίστασις, ἵνα εὐποιήσῃς τοὺς ἐχθρούς σου, διότι ἡ εὐποιΐα ἐστὶν ὅ,τι κάλλιστον πρὸς ἄλωσιν τοῦ ἐχθροῦ. — Ἀμέλει τῶν ὕβρεων, περιφρόνει τοὺς συκοφάντας, πολιτεύου κατ' ἀρετήν, καὶ ἔσο βέβαιος, ὅτι ἂν πρὸς καιρὸν ἐπισκιασθῇ ἡ πρός σε ὑπόληψις τῶν ἄλλων, θέλει ἀναλάμψει ἡ δόξα σου φαεινοτέρα. Καὶ ὁ ἥλιος ποθεινότερος γίνεται, καὶ λαμπρότερος ἀναφαίνεται ἀφοῦ παρέλθωσι τὰ τὰς ἀκτῖνας αὐτοῦ πρὸς καιρὸν ἐπισκιάσαντα νέφη. (*Σαριπόλου*).

— Οὐδέποτε διορθοῦται ὁ πταίσας ἵππος, ἂν μὴ νυχθῇ ἢ μαστιγωθῇ εὐθύς. Καὶ τὸ παιδίον δὲ μὴ ἐπιπληχθέν, ἢ τιμωρηθέν, ἅμα ἐσφάλη, ἐπιμένει πάντοτε ἐν τῇ ἀταξίᾳ.

— Ἐλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προσήκει ἢ τοῖς ἑκουσίοις, καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτήμασι (*Ἀντιφῶν*. 1,27).

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΗ'.

### Περὶ ἐπάρσεως μεγαλαυχίας καὶ οἰήσεως.

(Ἴδε *Τόμ. Α'. Κεφ. Ρ¼Γ'. Ρ¼Δ'. Ρ¼Ε'.*)

— Ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυνοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει, ὁρᾷς δέ, ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτ' ἀποσκήπτει τὰ βέλεα· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν· οὕτω δὲ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται.

— Οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ Θεὸς ἄλλον ἢ ἑωυτόν. (*Ἡροδ. ζ'. 10*)

— Κάτων τῆς μὲν ἰδίας ἀρετῆς, μιᾶς οὔσης, μικρὸν ἔργον ἡ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γειτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν, αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος (*Πλουτ. Κάτ. νεώτ. 9*).

— *Ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ . . . καταλείπεται ἔρημος θεοῦ.* (*Πλ. νόμ. δ'. 716 α*).

— *Ὁ Νεῖλος ἔφη· χαῖρε, τὴν ἀρετὴν ἡνίκα πράττῃς, ἀλλὰ μὴ ἐπαίρου, μήποτε τὸ ναυάγιον ἐν τῷ λιμένι γένηται* (*Νεῖλος*).

— *Καὶ ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν καὶ ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν* (*Λουκᾶς*)

— *Φρονήσῃς μὲν μηδέποτε ἐπὶ σεαυτῷ μέγα, ἀλλὰ μηδὲ καταφρονήσῃς σεαυτοῦ.* (*Ἰσοκρ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΘ'.

### Περὶ ἀλαζονείας.

— *Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.* (*Παύλου*).

— *Οὐδὲ γὰρ οὕτως ἀποσχίζει σῶμα ἐκκλησίας, ὡς ἀλαζονεία.* (*Χρυστμ. Τμ. θ'. 681*).

— *Οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι εἰκότως γέλωτα ὀφλισκάνουσι.* (*Αἰσώπ μῦθ. 99*).

— *Ἀλαζονεία, ἕξις προσποιητικὴ ἀγαθοῦ, ἢ ἀγαθῶν μὴ ὑπαρχόντων.* (*Πλάτ. ὅροι*).

## ΚΕΦΑΛΑΙΟΝ ΡΛ'.

### Περὶ μεγαλοπρεπείας.

(*Ἴδε περὶ μεγαλοπρεπείας Ἠθ. Νικομαχείων Δ, Β. βιβλ.* IV *Κεφ. 11*).

*Τῷ ὄντι γὰρ ὁ μεγαλοπρεπὴς ὑπερορᾷ πάντα τὰ σωματικά, οὐδενὸς εἶναι ἄξια λόγου τῇ παραθέσει τῶν ἀοράτων. Τον μεγαλοπρεπῆ οὐδὲ μία λυπήσει περίστασις, οὐδὲ ὅλως πάθος αὐτὸν ἐκταράξει, οὐδὲ ἀνθρωπαρίων φαύλων καὶ εὐκαταφρονήτων, ἁμαρτήματα κινήσει οὐδὲ ἀκαθαρσία τῆς σαρκὸς αὐτὸν ταπεινώσει· δυσπρόσιτος γάρ ἐστι τοῖς ταπεινωτικοῖς πάθεσιν, οὐδὲ προσβλέπειν αὐτῷ δυναμένοις διὰ τὸ ὕψος τῆς γνώμης· λέγεται δέ τις καὶ θεοῦ μεγαλοπρέπεια, ὡς τὸ «ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν Οὐρανῶν».* (*Βασιλείου τμ. Α'. σελ. 149*).

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΑ'.

### Περὶ ματαιότητος.

(*Ἴδε Τόμ. Α'. κεφ. ϛ'*)

— *Τῶν γὰρ ἐν βροτοῖς*
*οὐκ ἔστιν οὐδὲν διὰ τελους εὐδαιμονεῖν.* (*Εὐριπ. Ἱκέτ. 271*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὦ Κροῖσε (εἶπεν ὁ Σόλων) ἐπισταμένον με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηίνων πραγμάτων πέρι· ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστιν ἰδεῖν, τὰ μή τις ἐθέλει πολλὰ δὲ καὶ παθεῖν. (Ἡροδότ. α'. 32.)

— Εἰσῆλθέ με (ἔφη ὁ Ξέρξης) λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. (Ἡροδ. ζ'. 46.)

— Ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν ἰδεῖν
ἡμέραν ἐπισκοποῦντα μηδὲν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ μηδὲν ἀλγεινὸν παθών. (Σοφοκλ. Οἰδ. Τυρ.)

— Σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε. (Ἡροδ. α' 32.)

— Τὴν ἀνθρωπίνην εὐδαιμονίην οὐδαμὰ ἐν ταυτῷ μένουσαν (Ἡροδ. α'. 5.)

— Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ὦνθρωποι τῶν συμφορέων. (Ἡροδ. ζ'. 49.)

— Εἰ δὲ ἔγνωκας, ὅτι ἄνθρωπος καὶ σὺ εἶς καὶ ἑτέρων τοιῶν δὲ ἄρχεις, ἐκεῖνο πρῶτον μάθε, ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχέειν. (Ἡροδότ. ο'. 207.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΒ'.

### Περὶ φιλαυτίας καὶ φιλοδοξίας.

— Πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ. (Εὐρ. Μήδ. 86.)

— Φιλοτιμίη κτῆμα σκαιόν. (Ἡροδ. γ'. 53.)

— Οἱ φιλόδοξοι τῆς ἀρετῆς ὥιπερ εἰδώλῳ τινὶ τῇ δόξῃ συνόντες οὐδὲν εἰλικρινὲς οὐδ' ὡμολογημένον, ἀλλὰ νόθα καὶ μικτὰ πολλὰ πράττουσιν. (Πλουτ. Ἄγις 1.)

— Μηδαμοῦ σαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων, ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων. (Ἐπικτ. ἐγχ. 46.)

— Τοῦτό ἐστιν ὃ λέγουσιν, ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει τὸ δεῖν εἶναι τοιοῦτον· τὸ δὲ ἀληθείᾳ γε πάντων ἁμαρτημάτων, διὰ τὴν σφόδρα ἑαυτοῦ φιλίαν, αἴτιον ἑκάστῳ γίγνεται ἑκάστοτε· τυφλοῦται γὰρ διὰ τὸ φιλούμενον ὁ φιλῶν· ὥστε τὰ δίκαια καὶ τὰ ἀγαθὰ καὶ τὰ καλὰ κακῶς κρίνει, τὸ αὐτοῦ πρὸ τοῦ ἀληθοῦς ἀεὶ τιμᾶν δεῖν ἡγούμενος (Πλάτ. νόμ. ε'. 831 ε'.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Σαλμωνεὺς τῷ Διΐ ἐξισοῦσθαι θέλων ἔλεγεν ἑαυτὸν εἶναι Δία.* (*Ἀπολλόδ. 1, 9.*)

— *Ἐσθλὴν περὶ αὐτοῦ δόξαν ἕκαστος ἔχει.* (*Σόλων ἐν Ποιητ. γνωμ. 47.*)

— *Ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἷοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ.* (*Πλάτ. ἀπολ. 21.* c.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΓ'.

### Περὶ καταφρονήσεως.

— *Μηδενὸς καταφρονεῖν λογιζομένους, ὡς οὐδείς ἐστιν, ὃς προπηλακισθεὶς οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι* (*Αἴσ μῦθ. 223.*)

— *Μὴ τὰ μαλακὰ μώσο, ἵνα μὴ τὰ σκληρὰ ἔχῃς.* (*Ἡσίοδ. παρὰ Ξενοφ. Ἀπομ. 2, 1, 20.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΔ'.

### Περὶ πολυπραγμοσύνης.

— *Παρθένον μὴ καταμάνθανε, μή ποτε σκανδαλισθῇς ἐπὶ τοῖς ἐπιτιμίοις αὐτῆς. Περὶ πράγματος οὗ οὐκ ἔστι σοι χρεία, μὴ ἔριζε, καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε.* (*Σειρὰχ Θ'. 5*)

— *Ῥᾴδιον ἑκάστῳ ἡμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια, ἢ τὰ οἰκεῖα αὐτοῦ διασκέπτεσθαι.*

— *Εὐκλείδης ὁ φιλόσοφος, ἐρωτηθεὶς ὑπό τινος, ὁποῖοί τινές εἰσιν οἱ Θεοί, καὶ τίνι χαίρουσι; «Τὰ μὲν ἄλλα οὐκ οἶδα, (ἔφη), τοὺς μέν τοι πολυπράγμονας ὅτι μισοῦσι ἀσφαλῶς οἶδα.»*

— *Ὑγιαίνων νοσεῖ πᾶς περίεργος, καὶ ὁ τὰ ἀλλότρια πολυπραγμονῶν.* (*Εὐκλείδης.*)

— *Τειρεσίαν τὸν μάγον εἰς οὐρανὸν ὁρῶντα, καὶ ἐμπεσόντα εἰς βάραθρον, ἡ θεράπαινα θεωροῦσα, ἔφη δίκαια παθεῖν, ὃς τὰ ἐν ποσὶν ἀγνοῶν, τὰ ἐν οὐρανῷ ἐσκόπει.* (. . .)

— *Ἄλλων ἐξεταζόντων εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδής· ὑμεῖς περὶ τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς ἑαυτῶν ἀκοσμίας οὐ φροντίζετε.* (*Δημώνακτος.*)

— *Οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν.* (*Σωκράτους.*)

— *Ἀμέλει ἡ περιεργία δόξειεν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετ' εὐνοίας. Ὁ δὲ περίεργος, τοιοῦτός τις, οἷος ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. Καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι, ἔν τινι ἀναστὰς ἐλεγχθῆναι . . . . . Καὶ τὸν στρατηγὸν προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι καὶ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τί μετὰ τὴν αὔριον παραγγέλλει. Καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. Καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσῃ οἶνον τῷ καυματιζομένῳ, φήσας, βούλεσθαι διὰ πείραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. κτλ. (Θεόφραστος.)

— Μετάθες ἔξωθεν, καὶ μετάστρεψον τὴν πολυπραγμοσύνην· εἰ χαίρεις κακῶς μεταχειριζόμενος ἱστορίαν, ἔχεις οἰκεῖ πολλὴν διατριβήν. (Πλουτάρχ.)

— Τὰς εἰς γείτονας θυρίδας καὶ τὰς παρόδους τῆς πολυπραγμοσύνης ἔμφραξον, ἑτέρας δ' ἄνοιξον εἰς τὴν ἀνδρωνῖτιν τὴν σεαυτοῦ φερούσας, εἰς τὴν γυναικωνῖτιν, εἰς τὰς τῶν θεραπαινίδων διαίτας· ἐνταῦθα ἔχε διατριβὰς οὐκ ἀχρήστους οὐδὲ κακοήθεις, ἀλλ' ὠφελίμους καὶ σωτηρίους, τὸ φιλοπευθὲς τοῦτο καὶ φιλοπράγμον ἑκάστῳ πρὸς ἑαυτὸν λέγοντος· «Πῇ παρέβην; τί δ' ἔπραξα; τί μοι δέον οὐκ ἐτελέσθη;» Νῦν δὲ ὥσπερ ἐν τῷ μύθῳ τὴν λάμιαν λέγουσιν οἱκοι μὲν εὔδειν τυφλήν, ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν ἀποκειμένους, ἔξω δὲ προϊοῦσαν ἐπιτίθεσθαι καὶ βλέπειν. Οὕτως ἡμῶν ἕκαστος ἔξω πρὸς ἑτέρους τῇ κακονοίᾳ τὴν περιέργειαν, ὥσπερ ὀφθαλμὸν ἐντίθησι· τοῖς δὲ ἑαυτῶν ἁμαρτήμασι καὶ κακοῖς πολλάκις περιπταίομεν ὑπ' ἀγνοίας, ὅψιν ἐπ' αὐτὰ καὶ φῶς οὐ ποριζόμενοι..... Ἀλλ' ἔνιοι τὸν ἴδιον βίον, ὡς ἀτερπέστατον θέαμα, προσιδεῖν οὐχ ὑπομένουσιν, οὐδ' ἀνακλᾶσαι τὸν λογισμόν, ὡς φῶς ἐφ' ἑαυτοῖς καὶ περιαγαγεῖν· ἀλλ' ἡ ψυχὴ γέμουσα κακῶν παντοδαπῶν, καὶ φρίττουσα καὶ φοβουμένη τὰ ἔνδον, ἐκπηδᾷ θύραζε, καὶ πλανᾶται περὶ τ' ἀλλότρια, βόσκουσα καὶ πιαίνουσα τὸ κακόηθες· ὡς γὰρ ὄρνις ἐν οἰκίᾳ πολλάκις, τροφῆς παρακειμένης, εἰς γωνίαν καταδῦσα σκαλεύει, ἔνθα γῆ που διαφαινεθ' ἅτ' ἐν κοπρίᾳ μία κριθή· παραπλησίως οἱ πολυπράγμονες, ὑπερβάντες τοὺς ἐν μέσῳ λόγους καὶ ἱστορίας, καὶ ἃ μηδεὶς κωλύει πυνθάνεσθαι, μηδ' ἄχθεται πυνθανομένους, τὰ κρυπτόμενα καὶ λανθάνοντα κακὰ πάσης οἰκίας ἐκλέγουσι..... Νῦν μὲν εἰσὶ θυρωροί, πάλαι δὲ ῥόπτρα κρυούμενα πρὸς ταῖς θύραις αἴσθησιν παρεῖχεν, ἵνα μὴ τὴν οἰκοδέσποιναν ἐν μέσῳ καταλάβῃ ὁ ἀλλότριος, ἢ τὴν παρθένον, ἢ κολαζόμενον οἰκέτην, ἢ κεκραγυίας τὰς θεραπαινίδας· ὁ δὲ πολυπράγμων ἐπ' αὐτὰ ταῦτα παραδύεται, σώφρονος μὲν οἰκίας καὶ καθεστώσης, οὐδ' ἂν παρακαλῇ τις ἡδέως γενόμενος θεατής· ὧν δὲ ἕνεκα κλεὶς καὶ μοχλὸς καὶ αὔλειος, ταῦτα ἀνακαλύπτων καὶ φέρων εἰς τὸ μέσον ἑτέρους.... Ὡς γὰρ αἱ σικύαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ τῶν πολυπραγμόνων ὦτα τοὺς φαυλοτάτους λόγους ἐπισπᾶται.— Καὶ γὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τοὺς τελώνας βαρυνόμεθα καὶ δυσχεραίνομεν, οὐχ ὅταν τὰ ἐμφανῆ τῶν εἰσαγομένων ἐκλέγωσιν, ἀλλ' ὅταν τὰ κεκρυμμένα ζητοῦντες, ἐν ἀλλοτρίοις σκεύεσι καὶ φορτίοις ἀναστρέφωνται· καί τοι τοῦτο ποιεῖν ὁ νόμος δίδωσιν αὐτοῖς, καὶ βλάπτονται μὴ ποιοῦντες· οἱ δὲ πολυπράγμονες ἀπολλύουσι καὶ προΐενται τὰ αὑτῶν, ἀσχολούμενοι περὶ τὰ ἀλλότρια . . . Διὸ καὶ πίστεως ἁπάσης ἔρημος ὁ πολυπράγμων ἐστίν· οἰκέταις γοῦν καὶ ξένοις πιστεύομεν μᾶλλον ἐπιστολὰς καὶ γράμματα καὶ σφραγίδας, ἢ φίλοις καὶ οἰκείοις πολυπραγμονοῦσιν . . . . . Ἐθιζώμεθα τοίνυν θύραν παριόντες ἀλλοτρίαν μὴ βλέπειν εἴσω, μηδὲ τῶν ἐντὸς ἐπιδράττεσθαι τῇ ὄψει καθάπερ χειρί, τῇ περιεργείᾳ, ἀλλὰ τὸ τοῦ Ξενοκράτους ἔχωμεν πρόχειρον, ὃς ἔφη, μηδὲν διαφέρειν, ἢ τοὺς πόδας, ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι· οὔτε γὰρ δίκαιον, οὔτε καλόν, ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα. «Δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν ξένε.» (Πλουτάρχ.)

— Ἐν γὰρ ἀλλοτρίᾳ οἰκίᾳ ἡ πολυπραγμασύνη μισεῖται. — Τὸ σοφὸν κρυφόνουν ἐστί πρὸς τοὺς ἀκαίρῳ πολυπραγμοσύνῃ παρενοχλοῦντας. (Φιλοθέου Πάρεργα.)

## Περὶ φιλαργυρίας, πλεονεξίας.

(Ἴδε Τόμ. Α'. κεφ. λζ'. μα'. μβ'.)

— Ἡ φιλαργυρία μητρόπολις πάσης κακίας. (Βίων.)

— Αἴσχιστον νόσημα ἡ φιλοπλουτία. (Πλουτ. Ἄγις 13.)

— Ἄμικτός ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις. (Πλουτ. Πύρρ. 9.)

— Μὴ τὴν οὐσίαν πλείω, τὴν δ' ἀπληστίαν ποιεῖν ἐλάσσω τόν γε βουλόμενον ὡς ἀληθῶς εἶναι πλούσιον. (Πλάτ. παρὰ Πλουτάρχ. Δημητρ. 32.)

— Ὡς ὅ γε πάσχων φιλοπλουτίαν, οὗτος οὔτε πενίας, οὔτε ἀπορίας ἀπήλλακται. (Πλουτάρχ.)

# ΚΕΦΑΛΑΙΟΝ ΡΛϛ'

## Περὶ ἰσχυρογνωμοσύνης καὶ ὑπεροψίας.

(Ἴδε Τόμ. Α'. κεφ. ρλη'.)

Εἰσὶν ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι (Ἀριστοτ. Ἠθικ. Νικομ. 7, 9, 3).

— Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει (Σοφοκλ· Ἀντιγ. 127).

— Ὅτ' ἂν ἴδῃς πρὸς ὕψος ἠρμένον τινά
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα,
ἐπαίρεται γὰρ μεῖζον, ἵνα μεῖζον πέσῃ (Εὐριπίδου).

— Ὦ τρισάθλιοι,
ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα·
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπου φύσιν. (Μενάνδρου).

— Ἐφ' ᾧ φρονεῖς μέγιστον, ἀπολεῖ τοῦτό σε,
τὸ δοκεῖν τίν' εἶναι, καὶ γὰρ ἄλλους μυρίους. (Μενάνδρου).

— Θνητὰ φρονεῖν χρὴ τὴν θνητὴν φύσιν,
τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας ὅ τι χρὴ τετελέσθαι (Σοφοκλέους).

— Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα (Σοφοκλ.)

— Παρὰ τῷ τύφῳ, καθάπερ παρὰ κακῷ πλάστῃ, διεστραμμένας τὰς τῶν πραγμάτων εἰκόνας ἰδεῖν ἐστιν (Σωκράτους).

— Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δὲ ἀνοήτους ἀνθρώπους τὸ οἴημα (Σωκράτους).

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΖ'.

### Περὶ θυμοῦ καὶ ἔριδος.

(Ἴδε Τόμ. κεφ. ΠΕ'.)

— Θυμούμενος δὲ τεύξεται θυμουμένων,
ἔργοισι δ' ἔργα διάδοχ' ἀντιλήψεται. (Εὐριπ. Ἀνδρομ. 732).

— Ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ' ἀνθρώπων ἀπόλοιτο
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός. (Ὁμ. Ἰλ. ι᾽. 107).

— Θυμὸς μεγίστων αἴτιον κακῶν βροτοῖς (Εὐριπ. Μήδ. 1068, Ὀρέστ. 689—696)

— Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακὰ
θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων (Εὐριπ. Μήδ.)

— Οὔτε γὰρ παντὶ δεῖ ὀργίζεσθαι, οὔτ' ἐπὶ πᾶσιν, οὔτε πάντως καὶ ἀεί. — Ὁ μέσος ἂν τούτων εἴη καὶ πρᾶος καὶ ἐπαινετὸς οὔτε γὰρ ὁ ἐλλείπων τῇ ὀργῇ οὔτε ὁ ὑπερβαίνων ἐπαινετός. (Ἀριστοτ. μεγάλ. ἠθικ. 1, 23.

— Θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι, πρᾶον δὲ ὡς ὅτι μάλιστα. — Ἐλεεῖν δὲ τὸν μὲν ἰάσιμα ἔχοντα ἐγχωρεῖ, καὶ ἀνείργοντα τὸν θυμὸν πραΰνειν, καὶ μὴ ἀκροχολοῦντα γυναικείως πικραινόμενον διατελεῖν· τῷ δ' ἀκρατῶς καὶ ἀπαραμυθήτως πλημμελεῖ καὶ κακῷ ἐφιέναι δεῖ τὴν ὀργήν. (Πλ. νόμ. ε'. 731).

— Δεῖ μηδὲν ὀργῆς ἔνδηλον ἀπολιπεῖν ἴχνος, ἀλλ' ὅταν ἀνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζέσας παύσηται καὶ καταστῇ, πᾶσαν ἐξηλεῖφθαι μνησικακίαν (*Πλουτ. Συμπόσ. 8, 7*).

— *Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, λαβών, ἔφη, τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι.* (;)

— *Μὴ ἀνθίστασο μηδ' ἐρίδεναι λάλοις ἀδολέσχοις· διότι λόγος πᾶσι δέδοται, ξύνεσις δ' ὀλιγίστοις* (*Κάτων ὁ Ρωμαῖος*).

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΗ'.

### Περὶ παθῶν καὶ παθημάτων.

*Ἄπνουν ἢ σκοτεινὴν ἢ δυσχείμερον οἰκίαν ἢ νοσώδη φυγεῖν μὲν ἴσως ἄριστον· ἂν δὲ φιλοχωρῇ τις ὑπὸ συνηθείας, ἔστι καὶ φῶτα μεταθέντα, καὶ κλίμακα μεταβαλόντα, λαμπροτέραν, εὐπνουστέραν, ὑγιεινοτέραν ἐργάσασθαι . . . . Ἐπεὶ τοίνυν ἐστί τινα πάθη νοσώδη καὶ βλαβερὰ καὶ χειμῶνα παρέχοντα τῇ ψυχῇ καὶ σκότος, ἄριστα μὲν ἐξωθεῖν ταῦτα καὶ καταλύειν εἰς ἔδαφος, αἰθρίαν καὶ φῶς καὶ πνεῦμα καθαρὸν διδόντας ἑαυτοῖς· εἰ δὲ μή, μεταλαμβάνειν γε καὶ μεθαρμόττειν ἄλλως γέ πως περιάγοντας ἢ στρέφοντας. Ἕνια τῶν ἐκ γῆς φυομένων αὐτὰ μέν ἐστιν ἄγρια τῇ φύσει καὶ ἄκαρπα καὶ βλαβερὰν τοῖς ἡμέροις σπέρμασι καὶ φυτοῖς τὴν αὔξησιν ἔχοντα, σημεῖα δ' αὐτὰ ποιοῦνται χώρας οἱ γεωργοῦντες οὐ πονηρᾶς ἀλλὰ γενναίας καὶ πίονος· οὕτω δὲ καὶ πάθη ψυχῆς ἐστιν οὐ χρηστά, χρηστῆς δὲ φύσεως οἷον ἐξανθήματα, καὶ λόγῳ παρασχεῖν ἐργάσιμον ἑαυτοῖς ἐπιεικῶς δυναμένης.* (*Πλουτάρχ.*).

*Τῇ τοῦ ἀνθρώπου φύσει ἀναγκαίως παρακολουθεῖ τὰ παθήματα. Τὰ πάθη, εἰ μόνον μὴ εἰς ὑπερβολὰς ἀποκλίνῃ, ἀναγκαῖά ἐστιν ἀνθρώπῳ, καὶ καθ' ἑαυτόν, καὶ πρὸς ἄλλους κοινωνίαν ἔχοντι* (*Εὐγ. Βουλγάρεως*).

*Τοῖς μὲν θηρίοις, ὡς λόγου στερουμένοις ὀρθοῦ, οἷδ' ὅτι τὰ πάθη εἰσὶν ἀχαλίνωτα φύσει διὸ καὶ ἀνεύθυνα. Τοῖς δ' ἀνθρώποις, οἷς λόγος δέδοται, οἷον χαλινῷ ἀναχαιτίζειν ἐκεῖνα, οὐκ ἂν ὦσιν ἐλεύθερα· διὸ βραβεῖά τε καὶ ποιναὶ τοῖς τὸ φύσει τῷ ἤθει ὑποτάσσοντάς τε καὶ μὴ ὑποτάσσοντας, ἀναμένουσι* (*Νεοφ. Δούκ.*)

*Ἡ δύναμις τῶν παθῶν εἶναι μεγάλη καὶ ἰσχυρὰ ἐν τῷ ἀνθρώπῳ, ὥστε κατεξουσιάζει τοῦ ἠθικοῦ αὐτοῦ αἰσθήματος, καὶ μόνη ἡ καλὴ ἀιατροφὴ καὶ αὐστηρότης τοῦ νόμου, δύνανται νὰ καταστειλωσιν αὐτήν.* (. . . .)

*Πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνεται μαθήματα* (*Αἰσώπ. μῦθοι 164*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Σωφρονισμοὶ τοῖς ἀνθρώποις γίνονται τὰ τῶν πέλας δυστυχήματα (Αἰσ. μῦθοι 109).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΘ'.

### Περὶ σκωμμάτων.

— *Τοὺς σκώπτειν δυναμένους εὐφυεῖς καλοῦσι· προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας. Μηδ' ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετάς, ὧν καὶ τοῖς φαύλοις μέτεστιν, ἀλλ' ἐκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσει (Ἰσοκρ).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΙ'.

### Περὶ σφαλμάτων.

— *Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.)*

— *Φύσει σύμπαντες ἄνθρωποι εἰώθασιν ἐλάσσουα μὲν κατορθοῦν πλείουα δὲ σφάλλεσθαι. (Σωπατ.)*

— *Τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐκγόνους θεοὶ τρέπουσι. (...*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΑ'.

### Περὶ ἐμφύτων ῥοπῶν, ἤτοι ἐλαττωμάτων καὶ προτερημάτων.

*Σωκράτης ἐτεκμαίρετο τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν καὶ μνημονεύειν ἃ μάθοιεν καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων δι' ὧν ἔστιν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ τοῖς ἀνθρωπίνοις τε πράγμασιν εὖ χρῆσθαι. (Ξενοφῶν.)*

*Οὐ γὰρ αἰσχρὸν τὸ μὴ πάντα δύνασθαι· τὸ δέ, μὴ δυναμένους, ἢ μὴ πεφυκότας, ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ παραβιάζεσθαι, πρὸς τῷ αἰσχρῷ καὶ λυπηρότατόν ἐστιν.— Οὐδὲν γὰρ αἱ μεγάλαι φύσεις μικρὸν ἐκφέρουσιν, οὐδ' ἀργεῖ δι' ὀξύτητα τὸ σφοδρὸν ἐν αὐταῖς καὶ δραστήριον, ἀλλ' ἐν σάλῳ διαφέρονται, πρὶν εἰς τὸ μόνιμον καὶ καθεστηκὸς ἦθος ἐλθεῖν· ὥσπερ οὖν ὁ γεωργίας ἄπειρος οὐκ ἂν ἀπεσπάσατο χώραν ἰδὼν λόχμης ἔμπλεων δασείας καὶ φυτῶν ἀγρίων, καὶ θηρία πολλὰ καὶ ῥεύματα καὶ πολὺν ἔχουσαν πηλόν· ἀλλὰ τῷ μεμαθηκότι διαισθάνεσθαι καὶ κρίνειν αὐτὰ ταῦτα τὴν ἰσχὺν καὶ πανθ' ὅσα ὑποδείκνυσι, καὶ τὴν μαλακότητα τῆς γῆς· οὕτως ἄτοπα πολλὰ καὶ φαῦλα προεξανθοῦσιν αἱ μεγάλαι φύ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεις, ὧν ἡμεῖς μὲν εὐθὺς τὸ τραχὺ καὶ νύττον οὐ φέροντες, ἀποκόπτειν οἰόμεθα δεῖν καὶ κολούειν· ὁ δὲ βελτίων κριτής, περιμένει λόγου καὶ ἀρετῆς συνεργὸν ἡλικίαν καὶ ὥραν, ᾗ τὸν οἰκεῖον ἡ φύσις καρπὸν ἀποδίδωσι. (*Πλουτάρχ.*)

Ὡς γὰρ ἀκροχορδόνες καὶ μελάσματα καὶ φακοὶ πατέρων ἐν παισὶν ἀφανισθέντες ἀνέκυψαν ὕστερον ἐν υἱωνοῖς καὶ θυγατριδοῖς .... Οὕτω πολλάκις ἤδη καὶ πάθη ψυχῆς αἱ πρῶται κρύπτουσι γενέσεις καὶ καταδύουσιν· ὕστερον δέ ποτε καὶ δι' ἑτέρων ἐξήνθησε καὶ ἀπέδωκε τὸ οἰκεῖον εἰς κακίαν καὶ ἀρετὴν ἡ φύσις. (*Τοῦ αὐτοῦ*)

Αἱ ἐπὶ τὸ ἀγαθὸν καὶ ἀληθὲς κλίσεις ἐν γένει ἔμφυτοί εἰσι τῷ ἀνθρώπῳ, καὶ δὴ καὶ τῆς ἀνθρωπίνης φύσεως μηχανικοὶ νόμοι, οἷς τισιν, ἐκείνη ἐπὶ τὰ προσήκοντα τέλη κινεῖται. (*Εὐγενίου Βουλγάρεως.*)

Ὁ γὰρ πέφυκεν ἕκαστος πράττειν, τοῦτο καλῶς ποιῶν, ἄριστος ἂν εἴη.

Οἱ ἄνθρωποι, φύσει σπεύδομεν πάντοτε πρὸς τὸ ἀθέμιτον καὶ ἐπιθυμοῦμεν τὸ ἀπηγορευμένον. (*Νεοφύτου Δούκα.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΒ'.

### Περὶ προσωπολημψίας.

Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. (*Γαλατ. γ'. 28*).

Εἰ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ἐκ τοῦ νόμου ὡς παραβάται. (*Ἰακώβου β'. 9*).

Οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι. (*Πράξ. τῶν Ἀποστόλων Ι'. 34.*)

Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ· ταπεινὸν καὶ πένητα δικαιώσατε. (*Ψαλ. πα'. 2*).

Θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν, οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει. (*Σολομῶντος.*)

Πῦρ κατακαύσει οἴκους προσωπολήπτων.

Ἄνθρωπον οὐ μὴ αἰσχυνθῶ· ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον· εἰ δὲ μή, κἀμὲ σῆτες ἔδονται. (*Ἰώβ.*)

Οὐ λήψει πρόσωπον πτωχοῦ, οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου. Δικαίωσις μία ἔσται τῷ προσηλύτῳ καὶ τῷ ἐγχωρίῳ. (Λευϊτικόν.)

Μὴ κρίνατε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε· λέγει Κύριος ὁ Θεός. (Σειράχ.)

Ὁ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ, ἀλλ' ἢ χρήμασι διεφθαρμένος, ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθραν ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρίμα κατευθύνειν οὐ δύναται. (Βασιλείου.)

Δεῖ τὸν κριτὴν εἰδέναι, ὅτι κρίσει Θεοῦ ὑπηρετεῖ, καὶ οὐ κύριός ἐστιν, ὡς βούλεται ἄγειν τὸ κρίμα, ὥστε καὶ χαριζεσθαι τοῖς κρινομένοις τὰ πράγματα. (Γρηγορίου τοῦ Θεολόγου.)

Το νέμειν ἴσα τοῖς ἀνίσοις, τῆς μεγίστης ἀδικίας ἐστίν. (Κυρίλ.)

Μὴ βλέπετε εἰς πρόσωπα ἀνθρώπων, ἀλλὰ δικάσατε ἐξ ἴσου μικροὺς καὶ μεγάλους· μὴ ἀποφασίζητέ ποτε, πρὶν σταθμίσητε καλῶς τοὺς λόγους ἀμφοτέρων τῶν ἀντιδίκων. Ἔχετε χρέος οὐχὶ ἵνα κόπτητε ὡς Γορδιαῖον δεσμὸν τὴν διαφορὰν ὅπως δήποτε τύχῃ, ἀλλ' ἵνα εὕρητε ὑπομονητικῶς τὴν ἀλήθειαν, ἐπειδὴ μέλλετε ἀποδοῦναι περὶ τούτου λόγον πρὸς τὸν αἰώνιον Κριτήν. Ἐνθυμεῖσθε ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι, καὶ ὡς ἀντιπρόσωποι αὐτοῦ, ἐπὶ τῆς γῆς, κρίνατε ἀμερολήπτως, ἄνευ μίσους ἢ ἀγάπης, μὴ χαριζόμενοι εἰς τοῦτον, ἢ βλάπτοντες ἐκεῖνον.

Δυστυχῶς ὀφείλομεν νὰ ὁμολογήσωμεν ὅτι ὀλίγοι εἰσὶν οἱ παντάπασιν ἀπηλλαγμένοι τοῦ ἐλαττώματος τῆς προσωποληψίας· ἀλλ' ἆρά γε ἡ ἀδυναμία καὶ ἡ ἀδικία, παύουσι νὰ ὦσι τοιαῦται, ἐπειδὴ οἱ πολλοὶ συμμερίζονται αὐτάς;

Ὑπὸ τῆς μεροληψίας τετυφλωμένοι καὶ παρασυρόμενοι, ἐναντιούμεθα πολλάκις, ἰσχυρογνωμόνως ὡς ὠφέλιμον ἐπιχείρησιν, ἐπειδὴ ἀπαρέσκει ἡμῖν ὁ πρωτουργὸς αὐτῆς. (Διαφόρων Λογίων.)

Ἐκ θεῶν μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς, καὶ σοφοὶ καὶ χερσὶ βιωταὶ περίγλωσσοί τ' ἔφυν (Πίνδαρ. Πύθ. 1, 41.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΓ'.

### Περὶ πατρίδος.

— Λουκιανὸς ἔφη, ὁ τῆς πατρίδος καπνὸς λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός. (Κλεόβουλος ὁ Λίνδιος.)

— Οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
Γίγνεται, εἰπερ καί τις ἀπόπροθι πίονα οἶκον
Ναίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων (Ὀδύσ. 9, 34.)

— Πατρὶς ἐστι πᾶσι, ἵν' ἂν πράττῃ τις εὖ, ἔπαινος πατρίδος. (Πλ. Κρ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μόχθων οὐκ ἄλλος ἢ γῆς πατρίας στέρεσθαι.* (*Εὐριπίδ. Μηδ. 650.*)

— *Μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστι πατρὶς καὶ σεμνότερον, καὶ ἁγιώτερον, καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ Θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ, καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα, καὶ ἢ πείθειν, ἢ ποιεῖν ἃ ἂν κελεύειν καὶ πάσχειν, ἐάν τε προστάττῃ παθεῖν ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον καὶ ἀποθανούμενον ποιητέα ταῦτα, καὶ τὸ δίκαιον ἔχει, καὶ οὐχὶ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ ἐν δικαστηρίῳ, καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς.* (*Πλάτ Κριτ.*)

— *Εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.* (*Ὁμήρ. Ἰλ. Μ. 243.*)

— *Ὡς ἐν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν,*
*ὅστις πατρῴας γῆς ἀτιμάζων ὄρους,*
*ἄλλην ἐπαινεῖ, καὶ τρόποισιν ἥδεται.* (*Εὐριπίδου*)

— *Τί γάρ πατρῴας ἀνδρὶ φίλτερον χθονός ;* (*Εὐριπίδου.*)

— *Ἅπασα χθὼν ἀνδρὶ γενναίῳ πατρίς.* (*Εὐριπίδου.*)

— *Μειζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας*
*φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.* (*Σοφοκλ. Ἀντιγ. 182.*)

— *Φιλῶ τέκν' ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ.* (*Πλουτάρχ.*)

— *Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.* (*Δημοκρίτου.*)

— *Κακῶς μὲν γὰρ φερόμενος ὁ ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασώζεται.* (*Θουκυδίδ. β'. 60.*)

— *Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθήσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.*

— *Τεθριάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα ἄνδρα ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.* (*Τυρταίου.*)

— *Αἱ γὰρ γενναῖαι καὶ μεγαλόφρονες ψυχαὶ ὀλιγωροῦσιν ἰδίου κέρδους κἂν ἄξιον εἴη λόγου ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ, καὶ τὸ μὲν χαμερπὲς καὶ σμικρολόγον μικρόν τι κρεουργῆσαν ἀποφράττει τὸ κοινῇ λυσιτελοῦν· ἡ δὲ μεγαλοψυχία, πολλῶν καταφρονεῖ, ἵνα μέγα τι καὶ ἐξαίσιον ἑαυτῇ περιποιήσηται. Ἀνδρὶ δὲ γενναίῳ νεανικῶς ἐγχειρητέον τοῖς ἅπαξ δόξασι. — Ὁ θεῖος γὰρ ἔρως μάλιστα τρέφει ἥρωας ἀγνούς, οἵ παντοδαπαῖς ἀρεταῖς καταυγάζονται καὶ ὑπερφυεῖ τινι ἀνδρείᾳ καθοπλίζονται.* (*Φιλοθέου Πάρεργα.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ ΡΜΔ΄.

## Περὶ δικαστῶν.

(Ἴδε τομ. Α΄. κεφ. ΡΜΒ΄.)

Ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, καὶ οὐκ ἀθωώσεις τὸν ἀσεβῆ. (Ἐξόδ. κγ΄. 7.)

— Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. (» κβ΄. 22.)

Οὐ προσθήσεις μετὰ πλήθους ἐκκλῖναι κρίσιν· δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια. (« κγ΄. 2.)

Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. Οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ. (» κγ΄. 3.)

Οὐ ποιήσετε ἄδικον ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδ' οὐ μὴ θαυμάσῃς πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου. (Λευϊτ. ιθ΄. 35.)

Δικαίωσις μία ἔσται τῷ προσηλύτῳ καὶ τῷ ἐγχωρίῳ. (» κδ΄. 22.)

Δικαίως τὸ ἄδικον διώξεις. (Δευτερον. ις΄. 20.)

Οὐ λήψεσθε λύτρα ἐπὶ τῆς ψυχῆς παρὰ τοῦ φονεύσαντος, τοῦ ἐνόχου ὄντως ἀναιρεθῆναι· θανάτῳ γὰρ θανατωθήσεται. (Ἀριθ. λι΄. 31.)

Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει· κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς· οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστιν. (Δευτερ α΄. 17.)

Οὐκ ἐκκλινεῖς κρίσιν προσηλύτου καὶ ὀρφανοῦ, καὶ χήρας, καὶ οὐκ ἐνεχυράσεις ἱμάτιον χήρας. (Αὐτόθι κδ΄. 17.)

— Ἀνεξέταστον μὴ κόλαζε μηδένα. (Μένανδρ.)

— Ἐπικατάρατος ὃς ἐὰν λάβῃ δῶρα, καὶ πατάξῃ ψυχὴν ἀθῴου, καὶ ἐρεῖ πᾶς ὁ λαός, γένοιτο. Ἐπικατάρατος πᾶς ὃς ἐὰν ἐκκλίνῃ κρίσιν προσηλύτου καὶ ὀρφανοῦ, καὶ χήρας καὶ ἐρεῖ πᾶς ὁ λαός, γένοιτο. (Αὐτόθ. κξ΄. 24.)

Καθίσατε, καὶ μὴ εἴη ἄδικον ἐν κρίσει, καὶ τῷ δικαίῳ συνέρχεσθε. (Ἰώβ. ς΄. 29.)

Καθαρὸς χερσὶν ἀναλάβοι θάρσος, ἀδίκων καὶ ἀνόμων καταγελάσει. (« ιζ΄. 9.)

Ἄνθρωπον οὐ μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ, οὐδὲ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον· εἰδὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται. (αὐτόθι λβ΄. 21.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄνοιγε σὸν στόμα, καὶ κρίνε πάντα δικαίως. (Παροιμ. λα', 9).

Ὁ μισῶν δῶρων λήψεις σώζεται. (» κε'. 27.)

Αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν (» ιη'. 5.)

Εἶπε Κύριος πρὸς Σολομῶντα, ἀνθ' ὧν ᾐτήσω παρ' ἐμοῦ τὸ ῥῆμα τοῦτο, καὶ ᾐτήσω σαυτῷ σύνεσιν τοῦ εἰσακούειν κρίμα, ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην καὶ σοφήν. Ὡς οὐ γέγονεν ἔμπροσθέν σου, καὶ μετὰ σὲ οὐκ ἔσται. (Γ. Βασιλ. γ'. 11.)

Εἶπε ταῖς γυναιξὶν ὁ Βασιλεὺς Σολομῶν. Σὺ λέγεις, ὅτι ὁ υἱός σου ὁ ζῶν, καὶ ταύτης ὁ υἱὸς ὁ τεθνηκώς· καὶ εἶπεν ὁ Βασιλεὺς λάβετέ μου μάχαιραν· καὶ προσήνεγκαν ἐνώπιον τοῦ Βασιλέως μάχαιραν, καὶ εἶπεν ὁ Βασιλεύς· διέλετε τὸ παιδίον τὸ ζῶν τὸ θηλάζον εἰς δύο, καὶ δότε τὸ ἥμισυ αὐτοῦ ταύτῃ, καὶ τὸ ἥμισυ αὐτοῦ ἐκείνῃ· καὶ ἀπεκρίθη ἡ γυνὴ ἧς ἦν ὁ υἱὸς ὁ ζῶν, καὶ εἶπε πρὸς τὸν Βασιλέα, ὅτι ἐταράχθη ἡ μήτρα αὐτῆς· μηδαμῶς Κύριε· δότε αὐτῇ τὸ παιδίον, καὶ θανάτῳ μὴ θανατώσητε αὐτῷ· καὶ αὕτη εἶπε, μήτε ἐμοὶ μήτε αὐτῇ ἔστω διέλετε αὐτό· καὶ ἀπεκρίθη ὁ Βασιλεύς· δότε τὸ παιδίον τῇ μητρὶ τῇ εἰποῦσῃ δότε αὐτῇ τοῦτο, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό· ὅτι αὕτη ἡ μήτηρ αὐτοῦ. (Γ. Βασιλ. γ'. 23 /

Κρίμα δίκαιον κρίνετε χήραν καὶ ὀρφανόν, καὶ προσήλυτον, καὶ πένητα μὴ καταδυναστεύητε. (Ζαχρ. ζ'. 9.)

(Ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον κρίνατε ὀρφανὸν καὶ προσήλυτον καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διαλλαχθῶμεν λέγει Κύριος. (Ἡσαΐ. α'. 17.)

Προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν, μὴ καταδυναστεύητε, καὶ μὴ ἀσεβῆτε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε. (Ἱερεμ. κβ'. Θ'./

Ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε, κρίμα καὶ δικαιοσύνην ποιήσατε, ἐξάρατε καταδυναστείαν ἐκ τοῦ λαοῦ μου, λέγει Κύριος. (Ἰεζεκ. με'. 9.)

Οὐκ ἔστι παρὰ τῇ ἀληθείᾳ προσωπολημψία. (Ἐσδρ. δ'. 39.)

Ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν. (Σοφ. Σολ. α'.1./

Μὴ λάβῃς πρόσωπον δυνάστου· ἕως θανάτου ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας· ὁ Κύριος ὁ Θεὸς πολεμήσει ὑπέρ σοῦ.(Σειρὰχ δ'. 27—28.)

— Οὔτ' ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως δικαίοις ᾖ παρηκολουθηκώς. (Δημάδ.)

— Δικαστοῦ μὲν ἀρετὴ τὸν μὲν τρόπον τῆς λέξεως εἶν, αὐτὸ δὲ τοῦτο σκοπεῖν, εἰ δίκαια λέγει (ὁ φεύγων ἢ διώκων) ἢ μή· — ῥήτορος δὲ τἀληθῆ λέγειν. (Πλάτ. Ἀπολογ. 1.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἐποίησε κρίμα καὶ δικαιοσύνην, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν· ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. (Ψαλμ.)

— Ἄνοιξον σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα ὑγιῶς· ἄνοιγε σὸν στόμα καὶ κρίνε πάντα δικαίως. (Σολομ.)

— Τάδε λέγει Κύριος· ποιήσατε κρίσιν καὶ δικαιοσύνην, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν· μὴ καταδυναστεύετε, καὶ μὴ ἀσεβεῖτε καὶ αἷμα ἀθῷον μὴ ἐκχέητε. (Ἱερεμ.)

— Τῇ τῶν δικαζόντων μακροθυμίᾳ, οἱ λίαν ἄδικοι, σκληρότεροι ἑαυτῶν γίνονται κατὰ τὸ ἀπειθεῖν· καὶ δεῖ τὸν κριτὴν εἰδέναι, ὅτι κρίσει θεοῦ ὑπηρετεῖ, καὶ οὐ κύριός ἐστιν, ὡς βούλεται ἄγειν τὸ κρῖμα, ὥστε χαρίζεσθαι τοῖς κρινομένοις τὰ πράγματα. (Γρηγ. Θεολόγ.)

— Οὐ πρὸς δικαίου ἀνδρός, σιωπῇ τὰς παρανομίας ἐπικαλύπτειν. (Γρηγ. Θεολόγ.)

— Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην. (Ἐπικτήτου)

— Ἄμεινον δικαίως κρίναντα, παρὰ τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι· ἢ ἀδίκως κρίναντα, παρὰ τῇ φύσει δικαίως ψέγεσθαι. (Μοσχίονος.)

— Ἄτοπον ἁμαρτήμασιν ἐνόχους εἶναι, τοὺς τοῖς ἄλλοις τὰ δίκαια βραβεύειν ἐξισοῦντας. (Φίλωνος.)

— Ἄριστος κριτὴς ὑπονοείσθω, ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων· θάτερον μὲν οὖν εὐνοίας, θάτερον δὲ ἀκριβείας. (Δημοκρίτου.)

— Μηδέποτε μηδένα δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς (Ἡσιόδ.)

— Ὅς ἂν τοῦ δικαίου διαιρεῖ τὸ συμφέρον, δοκεῖ μέν τι λέγειν, τὸ δ' ἀληθὲς ἐξαπατᾶται, ὡς ἐπιπολαίως τὸ πρᾶγμα κρίνων· ἐν γὰρ τῷ δικαίῳ, εἴ τις ὀρθῶς σκοποίη, εὑρήσει καὶ τὸ συμφέρον. (Νεοφύτου Δούκα.)

Ἐν ἀθῴοις μὴ δὸς μῶμον. (αὐτόθι. ιη'. 15.)

Μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου. (αὐτόθι δ'. 26.)

Ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλιγοψυχήσεις ἐν τῷ κρίνειν σε. (» δ'. 9.)

Πρὶν ἢ ἐξετάσῃς μὴ μέμψῃ· νόησον πρῶτον καὶ τότε ἐπιτίμα αὐτόθι. ια'. 4.)

Ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν. (« λγ'. 34.)

Ὁ ποιῶν τὴν δικαιοσύνην, δίκαιός ἐστι, καθὼς καὶ ὁ Θεὸς δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καιός ἐστι· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ. (α'. Ἰωάνν. γ'. 7.)

Εἰ δόξης ἐπιθυμεῖς, καὶ βούλει τῶν πολλῶν ὑπερφαίνεσθαι, καὶ εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γίγνεσθαι, ἐσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν· οὕτω γὰρ σεαυτὸν σώσεις, καὶ ἐπὶ μείζοσιν ἀγαθοῖς μείζονα ἕξεις τὴν περιφάνειαν. (Βασιλείου.)

Ἔλεγχος τῆς τοῦ δικαίου διαθέσεως, ἡ περὶ τὸ κρίνειν ὀρθότης. (τοῦ αὐτοῦ.)

Οὕτω δοκιμάζετε, τὸν ἀδελφόν, ὡς καὶ αὐτοὶ ἐν τοῖς αὐτοῖς μέτροις κρινόμενοι. (Ναζιανζ.)

Ποιήσατε δικαιοσύνης ὅπλον, μὴ θανάτου τὴν παίδευσιν. (τοῦ αὐτοῦ.)

Ἴσθι κρινόμενος ὁ κριτής, καὶ ἧττον ἁμαρτήσεις. (τοῦ αὐτοῦ.)

Ἔναντι πάντων εἰσένεγκε τὴν φιλανθρωπίαν, ᾗ χαίρει θεὸς μᾶλλον, ἢ πᾶσι τοῖς ἄλλοις· μίξον τῷ φόβῳ τὴν ἐπιείκειαν, κέρασον τῇ ἀπειλῇ τὴν ἐλπίδα· πολλὰ καὶ χρηστότητα κατορθοῦν οἶδα, δυσωποῦσαν καὶ ὀφειλομένην ἀνταπόδοσιν, ὅταν, βιάζεσθαι παρόν, συγχωρήσαντες δυσωπήσωμεν εὐνοίᾳ τὸν ἐλεούμενον. (τοῦ αὐτοῦ.)

Τὸ δραστικὸν δείκνυε, μὴ τὸ δρᾶν κακῶς.
Τῷ δ' εὖ τι ποιεῖν, καὶ θέλεις εἶναι θεὸς
Τόδ' ἐστὶν ἀνδρός, εἰδότος τὸ συγγενές·
Κτείνει δὲ ῥᾷστα καὶ τρυγὼν καὶ σκορπιός. (τοῦ αὐτοῦ Τετραστ. 58.)

Μὴ πλήξωμεν ἀθρόως, οὐ γὰρ ἀσφαλές, ἀλλὰ τῷ φόβῳ σωφρονήσαντες, τῇ φιλανθρωπίᾳ νικήσωμεν. (τοῦ αὐτοῦ.)

Ὁ κρίνων τοῦ κρινομένου ἐξ ἀνάγκης ἄρχει. (Χρυσοστ.

Δεῖ τὸν κριτὴν εἰδέναι ὅτι κρίσει θεοῦ ὑπηρετεῖ, καὶ οὐ κύριός ἐστιν, ὡς βούλεται ἀγαγεῖν τὸ κρίμα, ὥστε καὶ χαρίζεσθαι τοῖς κρινομένοις τὰ πράγματα. (Διδύμου.)

Διοικήσω τὴν ἀρχήν, ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος. Ἄρκεῖ μοι γὰρ ἡ τιμὴ τῆς προσηγορίας· τὴν δ' ἐν ἑκάστῳ τῶν πραγμάτων βουλὴν πᾶσι δώσω. (Ἰωσήπου.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΕ'.

### Περὶ νόμου.

Εἰ γὰρ τοῦ νόμου τέλος ὁ Χριστός, ὁ τὸν Χριστὸν οὐκ ἔχων, κἂν ἐκείνην δοκῇ ἔχειν (τὴν δικαιοσύνην) οὐκ ἔχει. Ὁ δὲ τὸν Χριστὸν ἔχων, κἂν μὴ ᾖ κατωρθωκὼς τοῦ νόμου, τὸ πᾶν εἴληφε·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ γὰρ τέλος Ἰατρικῆς, ὑγίεια· ὥσπερ οὖν ὁ δυνάμενος ὑγιῆ ποιεῖν, κἂν μὴ τὴν ἰατρικὴν ἔχῃ, τὸ πᾶν ἔχει, ὁ δὲ μὴ εἰδὼς θεραπεύειν, κἂν μετιέναι δοκῇ τὴν τέχνην, τοῦ παντὸς ἐξέπεσεν· οὕτω καὶ ἐπὶ τοῦ νόμου καὶ τῆς πίστεως· ὁ μὲν ταύτην ἔχων, καὶ τὸ ἐκείνου τέλος ἔχει, ὁ δὲ ταύτης ἔξω ὤν, ἀμφοτέρων ἐστὶν ἀλλότριος. (Χρυσοστ. Τομ. Θ. Σελ. 6222.)

Ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ· καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ. (Ἰωάν. η'. 16.)

Ὅσοι ἀνόμως ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον διὰ νόμου κριθήσονται. (Ρμ. β')

Τὸ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς. (Σολομ.)

Ὁ φυλάσσων νόμον Κυρίου κρατεῖ τοῦ ἐννοήματος αὐτοῦ. (Σειράχ.)

Οὐ δυνατὸν σωθῆναι τὸν μὴ ποιοῦντα τὰ κατ' ἐντολὴν τοῦ Θεοῦ ἔργα, οὐδὲ τὸ παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον· δεινὴ γὰρ ἡ ἔπαρσις κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τοὺς μὲν ἐγκρίνειν τῶν νόμων τοὺς δὲ παραπέμπεσθαι· εἰ γὰρ τέλειον εἶναι τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς καταρτισθῆναι, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ἐπεὶ κατὰ τὸν θεῖον νόμον, κἂν καθαρὸν ᾖ τὸ τελούμενον, ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ. (Βασιλείου.)

Νόμον φυλάττων τοὺς φόβους ἔξω βάλλεις· φόβων δὲ ἔξω πᾶς ὁ τοῦ νόμου φύλαξ. (Θεολόγου.)

Δύο μὲν γὰρ τὰ διάγοντα ἡμᾶς ἐστι, φύσις καὶ νόμος· κρατεῖ δὲ τοῦ νόμου ἡ φύσις. (»)

Ἴσασι καὶ οἱ νόμοι τὰ ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήματα. (Χρυσοστ.)

Εἴδη τῶν νόμων τρία, νόμος ὁ τῆς φύσεως, νόμος ὁ τοῦ γράμματος, ὁ τῷ Μωϋσεῖ δοθείς· νόμος ὁ τῆς χάριτος. (»)

Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης, τοὺς νόμους τοῖς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι· καὶ γὰρ εἰς ἐκεῖνα ἐὰν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλισσα, διαρρήξασα ἀφίσταται. Ἐν τοῖς νόμοις ἐὰν ἐμπέσῃ πένης συνέχεται, ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν διαρρήξας ἀποτρέχει.

— Πᾶς ἐστι νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν (Δημοσθ. κατ' Ἀριστοφ. β'. 774).

— Ἐγὼ μὲν θεοὺς οἶμαι τοὺς νόμους τούτους (ἀγράφους) τοῖς ἀνθρώποις θεῖναι. (Ξενοφ. Ἀπομν. δ΄. 4, 19. πρβλ. δ΄. 3, 16).

— Δικαιοσύνην θεοῦ νόμον ὑπελάμβανεν.—Νόμων διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτιῦ γεγραμμένος, ὁ δὲ ἄγραφος.—Ὁ κατὰ ἔθη γενόμενος ἄγραφος καλεῖται (Διογ. Λαερτ. 3, 45. 48. 51).

— Ἄγραφον καὶ ἀνομοθέτητον φύσεως δίκαιον (Διον. Ἁλικαρ.)

— Νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστιν (Πλουτ. Δημητ. 42).

— Ὁ νόμος ὁ κοινός ἐστιν ὁ ὀρθὸς λόγος διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ἐν τῷ Διὶ καθηγεμόνι τούτῳ τῆς τῶν ὄντων διοικήσεως ὄντι· εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ὅλου διοικητοῦ βούλησιν. (Διογ. Λαερτ. ζ΄, 1, 88).

— Νόμος ἐν πᾶσιν ἀνθρώποις ἀΐδιός ἐστιν, ὅταν πολεμούντων πόλις ἁλῷ τῶν ἐχόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα. (Ξενοφ. Κύρ. Παιδ. 7,5.73).

— Οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν ἐς τὸ πρόσθεν ἄξομεν. (Σοφοκλ. Αἴας 1246).

— Τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύναμαι, τοὺς δὲ τῆς φύσεως οὐ δύναμαι. (Πλουτάρχ. ἀποφθέγμ. βασ. Διονυσ 6).

— Τὸ πάντων ἀνιαρότατον εἴη, ἐπὶ μισθῷ τῶν ἀπὸ τοῦ νόμου τυγχάνειν. (Πρίσκ. Ἱστορ. Βυζαντιν. 8).

— Πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον. (Ἡροδότ. 3,82).

— Χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρεισσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις. (Θουκυδ. 3,37).

— Δοκεῖ μοι καὶ πολίτου χρηστοῦ καὶ δικαστοῦ δικαίου ἔργον εἶναι ταὐτῇ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ καὶ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν τῇ πόλει. (Λυσίου. Ἀλκιβ. 1,4)

— Οἱ νόμοι τὸ δίκαιον καὶ τὸ καλὸν καὶ τὸ συμφέρον βούλονται καὶ τοῦτο ζητοῦσι, καὶ ἐπειδὰν εὑρεθῇ, κοινὸν τοῦτο πρόσταγμα ἀπεδείχθη, πᾶσιν ἴσον καὶ ὅμοιον. (Δημοσθ. α΄. κατὰ Ἀριστογείτονος 744).

— Λυθέντων τῶν νόμων, καὶ ἑκάστῳ δοθείσης ἐξουσίας ὅ,τι βούλεται ποιεῖν, οὐ μόνον ἡ πολιτεία οἴχεται, ἀλλ' ὁ βίος ἡμῶν τοῦ τῶν θηρίων οὐδὲν ἂν διενέγκαι. (Δημοσθ. αὐτόθι).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οὐκοῦν κάλλιστον ἡ δικαιοσύνη τε καὶ ὁ νόμος· αἴσχιστον δὲ ἡ ἀδικία τε καὶ ἡ ἀνομία· καὶ τὸ μὲν σώζει τὰς πόλεις καὶ τἆλλα πάντα, τὸ δὲ ἀπόλλυσι καὶ ἀνατρέπει.* (*Πλάτ. Μίνως*).

— *Νόμους ἀνθρώποις ἀναγκαῖον τίθεσθαι, καὶ ζῆν κατὰ νόμους ἢ μηδὲν διαφέρειν τῶν πάντῃ ἀγριωτάτων θηρίων.* (*Πλάτ. Νόμ. Θ'.*)

— *Οἱ γὰρ νόμοι διὰ τὴν συντομίαν οὐ διδάσκουσιν, ἀλλ' ἐπιτάττουσιν, ἃ δεῖ ποιεῖν.* (*Λουκ.*).

— *Εἰ τὰ ἄλογα ἐπινοητικὰ καὶ φυλακτικὰ τῆς αὑτῶν σωτηρίας εἰσί· καί, εἰ ἰχθὺς οἶδε τὸ αἱρετὸν αὐτοῦ, καὶ τὸ φευκτόν, τί ἐροῦμεν ἡμεῖς οἱ λόγοις τετιμημένοι, καὶ νόμοις πεπαιδευμένοι, ἐπαγγελίαις προτραπέντες, πνεύματι σοφισθέντες, εἶτα τῶν ἀλόγων ζώων καὶ ἰχθύων ἀλογωτέρως τὰ καθ' ἑαυτοὺς διατιθέμενοι, μὴ πειθόμενοι τῷ νόμῳ ὑπείκειν ; . . . . . δεινὴ γὰρ ἡ ἔπαρσις, κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τοὺς μὲν ἐγκρίνειν τῶν νόμων, τοὺς δὲ παραπέμπεσθαι.* (*Βασιλείου*).

— *Νόμοις ὑπόκεισο, καὶ κανόσι Δεσποτικοῖς, καθ' οὓς σε προσήκει ζῆν.* (*Γρηγ. Θεολόγ.*)

— *Οὔτε πλέοντας παρὰ τόπον ὁρμεῖν ἀσφαλές, οὔτε ζῶντας βιοῦν ἄνευ νόμου.* (*Χρυσοστόμ.*)

— *Τὰ παρὰ νόμον γινόμενα, ἀντὶ μὴ γινομένων εἰσί.* (*Ἐπικτήτου*).

— *Δημοσθένης ὁ ῥήτωρ ἔφη, ψυχὴν πόλεως εἶναι τοὺς νόμους· ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει· οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται.—Χρὴ ὅταν τίθῆσθε τοὺς νόμους, ὁποῖοί τινές εἰσι σκοπεῖν* (*Δημοσθένους*).

— *Κῦρος ἐρωτηθείς, τίνας ἀδίκους νομίζεις εἶναι ; τοὺς μὴ χρωμένους, εἶπε, τῷ νόμῳ.* (*Κύρου*).

— *Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται· οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους, ἀλλ' οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται.* (*Θεοφράστ.*)

—*Ὥσπερ ὅπου φάρμακα πολλά, καὶ ἰατροὶ πολλοί, ἐνταῦθα νόσοι πολλαί, οὕτω δὴ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καὶ ἀδικίαν μεγίστην.* (*Ἀρκεσιλάου*).

— *Μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων, ὑπολαμβάνοντες, ὡς οὐ παρὰ ταῦτ' ἐστὶν ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἔξον τὸ σύμπαν, οὕτω σπουδάζειε περὶ αὐτῶν —Τῶν προσταγμάτων . . . κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα· καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα.* (*Ἰσοκράτους*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἀγησίλαος, χάριν ζητοῦντος παρ' αὐτοῦ τοῦ πατρός, ἀπεποιήθη αὐτῷ εἰπών: Παρὰ σοῦ ἐδιδάχθην, πάτερ, ἵνα πείθωμαι νόμοις· καὶ κατ' αὐτὴν ἄρα τὴν περίστασιν πειθόμενος αὐτοῖς οὐδὲν παράνομον δύναμαι ἵν' ἀποφασίσω.

— Ὁ Θεμιστοκλῆς παρακαλούμενος ὑπὲρ παρανόμου πράγματος παρὰ τοῦ ποιητοῦ Σιμωνίδου, «Οὔτε σύ, εἶπεν, εἶης ἀγαθὸς παρὰ μέλος ᾄδων, οὔτε ἂν ἐγὼ χρηστὸς ἄρχων παρὰ νόμον κρίνων».

— Ἀντίγονος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν, Ἂν τι γράψῃ παρὰ τοὺς νόμους κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι.

— Τρόπος ἐστὶ χρηστός, ἀσφαλέστερος νόμου·

Τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
Ῥήτορα δύναιτο· τὸν δ' ἄνω καὶ κάτω,
Λόγοις ταράσσων πολλάκις λυμαίνεται (Πινδάρου)·

— Καθάπερ παῖδες ἰατρῶν τιμῶσι καὶ γεραίρουσι τοὺς τῶν ἀρχαίων ὅρους, καὶ δι' αὐτῶν οἱονεὶ διά τινος λεωφόρου βαδίζειν προσήκει τοὺς εὐδοκιμῆσαι βουλομένους, μάλιστα δ' ὁπόσα παρατηρήσας γραφῇ παρέδωκεν ὁ Θεσπέσιος ἐκεῖνος Κῷος γηραιός, ὁ εἰπών, «Δοτέον γάρ τι καὶ τῷ ἔθει, καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίᾳ, πρός τε τὰς σωμάτων κράσεις σταθμίζειν καὶ ἐφαρμόττειν χρεὼν τὰ φάρμακα», αὐτὸ δὲ τοῦτ' ἰσχύειν καὶ ἐν τοῖς νενομισμένοις· διὸ θείου τε καὶ ἀνθρωπίνων οὐκ ἀποκλείεταί πως τὸ ἐπιεικὲς καὶ φιλάνθρωπον.— Τοὺς γὰρ τελείους, φασίν, οὐχ ὑποκεῖσθαι νόμῳ (Φιλοθέου πάρεργα).

— Ἐλευθέρου ἔθνους γνώρισμα πρῶτον καὶ μάλιστα νόμοι, ἐλευθέρως μὲν παρὰ πάντων κοινῇ τεθειμένοι, διὰ δὲ φιλοσοφίας ἀεὶ κύριοι γιγνόμενοι. – Οὔτε πολιτεία ἄνευ νόμων, οὔτε νόμοι ἄνευ ἠθικῆς ἔσονται (Νεοφ. Δούκα).

— Οἱ νόμοι χάριν τῶν σοφῶν κεῖνται οὐχ ἵνα μὴ ἀδικῶσιν ἀλλ' ἵνα μὴ ἀδικῶνται.

— Νόμος ὁ πάντων βασιλεὺς
θνητῶν τε καὶ ἀθανάτων (Πινδάρου).

— Οὐ γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾶν (Εὐριπίδου).

— Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει
καλῶς τεθέντες· ὅ τε γὰρ ἀσθενέστερος
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων (Εὐριπίδου).

— Νόμος ἐστίν, ᾧ πάντες προσήκει πείθεσθαι. . . . Πᾶς νόμος ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων φρονίμων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἐπανόρθωμα δὲ τῶν ἑκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινή, καθ' ἣν πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει (Δημοσθένους κατὰ Ἀριστογείτονος).*

*— Τοῖς νόμοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται (Ξενοφ. Ἀπομν. δ΄.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜϚ΄.

### Περὶ εὐνομίας καὶ δυσνομίας.

*— Εὐνομία δ' εὔκοσμα, καὶ ἄρτια πάντ' ἀποφαίνει,*
*καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας·*
*Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,*
*Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα.*
*Εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα*
*Πραΰνει, παύει δ' ἔργα διχοστασίης*
*Παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς*
*Πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά. (Ἐλεγ. Σολων. παρ. Δημοσθ.)*

*— Ὡς κακὰ πολλὰ πόλει δυσνομία παρέχει. (Σόλωνος νομ. 32).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΖ΄.

### Περὶ ἀνόμων καὶ παρανόμων.

*Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται, καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται (Ρωμ. β΄. 12).*

*Κρείσσων εἷς ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, ἢ μυρίοι παράνομοι.*

*Βδέλυγμα ἀνόμῳ κατευθύνουσα ὁδὸς (Παρμ. κθ΄. 28).*

*Ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν· ὃς οὐκ ἐστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν (Ἰωάν. καθλ΄. ά. δ΄ 5).*

*Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. (Τίτ. α΄. 16).*

*Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάδελφοι, προδόται προπετεῖς, τετυφλωμένοι, φιλήδονοι μᾶλλον, ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι καὶ τούτους ἀποτρέπου... Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀλη-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεία, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν· ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλός ἐστι πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο (Β'. Τιμθ. γ'. 1-9).

Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι (» 13).

Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. (Ἡσαΐα κθ' 13.)

Ἐπικατάρατος γὰρ πᾶς ὁ ποιῶν τὸ ἔργον αὐτοῦ ἀμελῶς. (Ἱερεμίας μη' 10.)

Ὃν τρόπον, ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ λέοντος δύο σκέλη, ἢ λωβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ἰσραήλ. (Ἀμὼς γ' 12.)

Ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ· ὁ ἄνομος τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. (Ἱερεμ. ιε'. 19.)

— Τὸ παρανομεῖν εἰς κήρυκα, καὶ πρέσβεις, τοῖς πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ. (Δημοσθ. πρὸς φίλ. ἐπιστ. 160.)

— Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. (Παρ. ι'. 2)

— Ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερός, καὶ ὁ καπνὸς ὄμμασιν, οὕτω παρανομία τοῖς χρωμένοις αὐτῇ. (Παρ. ι'. 27.)

Σόλων ἐρωτηθεὶς ὑπό τινος, πῶς ἄριστα αἱ πόλεις οἰκοῦνται· εἶπεν, ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

Τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη. (Δημάδου).

Νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων, οὐ δύναται δὲ ὅταν αὐτοὶ βούλωνται πάσχειν· ἐν γὰρ τοῖς πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν. (Ἐπικτήτου).

Ὥσπερ τοῖς νοσοῦσιν ἰατροὶ σωτῆρες, οὕτω καὶ τοῖς ἀδικουμένοις οἱ νόμοι. (»)

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι. (»)

Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἰκειν κόσμιον· τὰ παρὰ νόμον γινόμενα ἀντὶ μὴ γινομένων εἰσίν. (»)

Μακάριος ἄνθρωπος ὃς οὐ παρέβη ἐντολήν· οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὁ γὰρ τοιοῦτος ἐν τῷ νόμῳ Κυρίου μελετήσει ἡμέρας καὶ νυκτός· καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς ἐξόδους τῶν ὑδάτων καὶ καρποφορήσει ἐν καιρῷ αὐτοῦ. Μακάριος οὖν ὅστις τηρήσει ἐντολήν, ὅτι θάνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*τον οὐ γεύσεται, ἀλλὰ μεταβήσεται ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (Συμεὼν τοῦ Μεταφρ.)*

*Πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν ; (Σωκράτους.)*

*Οὐ γὰρ νομοθετήσοντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων θεῶν, καὶ τοῖς εἱμαρμένοις καὶ προνοίας θεσμοῖς (Πλουτάρχου).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΗ'.

### Περὶ ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἢ περὶ παραβάσεως νόμου.

*Ἐὰν πατάξῃ τις τινά, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω· ὁ δὲ οὐχ ἑκών, ἀλλ' ὁ θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον, οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας. (Ἐξὸ. κα'. 12).*

*Χάριν ἔχω τῷ ἐνδυναμοῦντί με Θεῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς τὴν διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ· ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου μετὰ πίστεως, καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. (Α'. Τιμοθ. α'. 12).*

*Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους (Ἑβρ. ι'. 26).*

*Τῶν ἁμαρτημάτων τὰ μὲν ἑκούσιά ἐστι, τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς γίνεται. Ὑποτιθέμεθα γὰρ πορνείαν εἶναι τὸ κρινόμενον, καὶ πόρνας δύο· ἀλλ' ἡ μὲν πορνοβοσκῷ πραθεῖσα, πρὸς ἀνάγκην ἐστὶν ἐν τῷ κακῷ τὴν ἐκ τοῦ σώματος ἐργασίαν τῷ πονηρῷ δεσπότῃ παρεχομένη, ἡ δὲ διὰ τὴν ἡδονὴν ἑκουσίως ἑαυτὴν ἐπιδοῦσα τῇ ἁμαρτίᾳ· ἄλλως οὖν τὰ ἀκούσια τυγχάνει συγγνώμης καὶ ἄλλως τὰ ἐκ μοχθηρᾶς προαιρέσεως κρίνεται (Βασιλείου).*

*Τὸ ἀκούσιον οὐ κρίνεται· διττὸν δὲ τοῦτο, τὸ μὲν γινόμενον μετ' ἀγνοίας, τὸ δὲ δι' ἀνάγκην. (Κλήμ.)*

*Εἰ πρῶτον ἀγνοίᾳ σφάλλεταί τις οὐ κολαστέος· ἐκείνου κολαστέου, τοῦ καθ ἕξιν ἁμαρτάνοντος. (Διδύμου.)*

*Τὰ μὲν ἀκούσια ἁμαρτήματα καὶ νόμος συγχωρεῖ καὶ Θεὸς παρορᾷ, φιλάνθρωπος ὤν· καὶ οὐκ ἀπηνής, καὶ τῶν ἑκουσίως. (ν)*

*Ὡς τὸ ἑκουσίως ἁμαρτάνειν ἐστὶ τὶ ἄδικον, οὕτω τὸ ἀκουσίως καὶ κατ' ἄγνοιαν, οὐκ εὐθὺς δίκαιον, ἀλλὰ ταχύ που μεθόριοι*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἀμφοῖν, δικαίου καὶ ἀδίκου, τὸ ὑπό τινων καλούμενον ἀδιάφορον· ἁμάρτημα γὰρ οὐδέν, ἔργον δικαιοσύνης. (Φίλωνος.)*

*Τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι, συγγνώμη δίδοται, ὁ δὲ ἐξ ἐπισιτήμης ἀδικῶν, ἀπολογίαν οὐκ ἔχει, πρυεαλωκὼς ἐν τῷ τοῦ συνειδότος δικαστηριῳ. (Ἰωάν. Δαμ. Τόμ. Β'. Σελ. 519.)*

*Ἐκεῖνος ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιήσας δαρήσεται πολλὰς· ὁ δὲ μὴ γνοὺς δαρήσεται ὀλίγας. (Λουκᾶ ιβ'.)*

*— Τῶν ἑκουσίων κακῶν τὰ ἀκούσιά εἰσιν ἔκγονα. (Συνεσίου.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΜΘ'.

### Περὶ ἑκουσίων καὶ ἀκουσίων ἀγαθοεργιῶν.

*Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας δαρήσεται πολλάς, ὁ δὲ μὴ γνοὺς δαρήσεται ὀλίγας. (Λουκ. ιβ')*

*Ἐπαινοῦμεν τοὺς κατὰ προαίρεσιν ἀγαθούς, οὐ τοὺς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας· ὅπου γὰρ προαίρεσις ἑτοίμη τὸ κωλύον οὐδέν· βία γὰρ ἢ φόβος ἀρετῆς οὐκ ἄν ποτε γένοιτο δημιουργός, ἐθελούσια γὰρ καὶ οὐκ ἀνάγκης τὰ καλά.*

*Τὸ ἑκούσιον λυπηρὸν τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον. Τὸ μὲν γὰρ ἑκούσιον μονιμώτερόν τε καὶ ἀσφαλέστερον· φιλεῖ τὸ βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον. (Θεολόγου.)*

*Οὐ τοὺς ἀνάγκῃ κακίας ἀπεχομένους, ἀλλὰ τοὺς προαιρέσει στεφανοῖ ὁ θεός. (Χρυσοστ.)*

*Οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσάγεται ἡμᾶς ὁ θεός. (ν)*

*Οὐδεὶς καρπὸς ἀνάγκης, ἀλλὰ πᾶς μισθὸς προαιρέσεως· οὐ γὰρ λογίζεται ὁ θεὸς τὰ ἐξ ἀνάγκης ἀλλὰ τὰ ἐκ προαιρέσεως κατορθούμενα. (ν)*

*Τὸ ἐκ φύσεως ἀγαθὸν ἀδόκιμον, τὸ δὲ ἐκ προαιρέσεως ἐπαινετόν. (Χωρικίου.)*

*Οὐαὶ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι· εἰ γὰρ ἑκὼν τοῦτο πράσσω μισθὸν ἔχω, εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. (κ'. Κορινθ. Θ'.)*

*Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν· ἕξεις δ' ἀγαθούς, εἰ τοὺς μὲν ἑκόντας παιδεύεις τοὺς δὲ ἀκόντας, ἔπειτα καὶ χειρωμένους ἀπολύεις· συμφεύξεται γὰρ τοῖς φεύγουσιν ἡ μοχθηρία ἅμα καὶ ἡ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*δουλεία, συνυπολειφθήσεται τοῖς συμβαίνουσί σοι, ἡ χρηστότης καὶ ἡ ἐλευθερία.* (*Ἐπικτήτου*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΝ'.

### Περὶ ἠθικῆς ἐλευθερίας.

*Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον τὴν εὐλογίαν καὶ τὴν κατάραν· τὴν εὐλογίαν, ἐὰν ἀκούσητε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν καὶ τὴν κατάραν ἐὰν μὴ ἀκούσητε.* (*Δευτερονομ.*)

*Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.* (*Δαυΐδ*)

*Κύριος ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ· παρέθηκεν αὐτῷ πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃ ἐκτενεῖ τὴν χεῖρα· ἔναντι ἀνθρώπου ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ.* (*Σειράχ*)

*Δεῖ καὶ τὸ ἐφ' ἡμῖν εἶναι καὶ ἐκ Θεοῦ τὸ σώζεσθαι.* (*Θεολόγ.*)

*Ἀνάγκῃ καὶ βίᾳ οὐδένα προσάγεται ποτε ὁ Θεός, καθὼς Παῦλός φησιν, ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.*

*Πῶς οὖν οὐχ ἅπαντες σώζεσθε, εἰ θέλει πάντας σωθῆναι; ἐπειδὴ οὐχ ἁπάντων τὸ θέλημα τῷ θελήματι Αὐτοῦ ἕπεται. Αὐτὸς δὲ οὐδένα βιάζεται. Ἐμερίσατο πρὸς ἡμᾶς τὴν ἀρετὴν ὁ Θεός, καὶ οὔτε ἐφ' ἡμῖν ἀφῆκεν εἶναι τὸ πᾶν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐπαιρώμεθα, οὔτε Αὐτὸς τὸ πᾶν ἔλαβεν, ἵνα μὴ εἰς ῥᾳθυμίαν ἀποκλίνωμεν· ἀλλ' ὀλίγον ἀφεὶς ἐπὶ τοῖς ἡμετέροις πόνοις, τὸ πλέον αὐτὸς κατορθοῖ. Πᾶν ὅπερ βιαζόμενος καὶ μετὰ τοῦ μὴ βούλεσθαι καταδέχεταί τις, κἂν σφόδρα κοῦφον ᾖ, πάντων ἀφορητότερον γίνεται, καὶ ἀγχόνης χαλεπώτερον τὴν ἡμετέραν ἀποπνίγει ψυχήν.* (*Χρυσ.*)

*Πρὸς ὅτι ἂν τῇ προθυμίᾳ ῥίψωμεν, ἐν ἐκείνῳ ἐσόμεθα.* (*Γρηγορίου Νύσ.*)

*Φόβος Θεοῦ, σέβας πρὸς τὸν Θεόν· εἶτα πρὸς τοὺς γονεῖς, πρὸς τοὺς πρεσβυτέρους καὶ διδασκάλους καὶ πρὸς τοὺς καθεστῶτας νόμους τῆς Πολιτείας. Προηγεῖται τοίνυν πάντων τούτων τὸ βούλεσθαι· διάκονοι πεφύκασι· θέλε, φησί, καὶ δυνήσῃ.* (*Κλήμεντος.*)

*Ἄγου δέ με, ὦ Ζεῦ, καὶ σύ· ἡ πεπρωμένη, ὅποι ποθ' ἡμῖν εἰμὶ διατεταγμένος.*

*Ὡς ἕψομαί γε ἄοκνος· εἰ δέ γε μὴ θέλω, κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.* (*Κλεάνθους.*)

*Ὡς ἂν ἄριστα ἡγεμόνεσιν ἕποιτο,*
*Μήτε λίαν ἀνεθείς, μήτε πιεζόμενος.* (*Σόλωνος.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Πέρους

*Οἱ θεοὶ τοῖσιν ἀνθρώποισιν διδοῦσι τ' ἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν· πλὴν ὁπόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ' οὔτε πάλαι, οὔτε νῦν, θεοὶ ἀνθρώποισιν δωρέονται· ἀλλ' αὐτοὶ τοῖσδεσιν ἐμπελάζουσι διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην. (Δημοκρίτ.)*

*Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. (Ἰσοκράτους.)*

*Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν. — Τοῖς μὴ θέλουσιν ἑαυτοῖς προστάττειν ἑκπονεῖν τ' ἀγαθά, ἄλλους αὐτοῖς ὁ θεὸς ἐπιτακτῆρας δίδωσι. (Ξενοφ.)*

*Θεὸς δέ σοι πῆμ' οὐδέν· ἀλλ' αὐτὸς αὑτῷ, σὺ σοὶ καὶ ἡ διὰ τὴν ἀπαιδευσίαν ἄνοια καὶ παραφροσύνη. (Πλουτάρχου.)*

*Αἱ ἀρχαὶ τῶν ἐγχειρημάτων, ὡς τὰ πολλὰ τῆς ἡμετέρας ἥρτηνται προαιρέσεως· εἰ μὴ γ' ἡ φύσις, ἢ νόμος ἢ τύχη, ἢ βία, καὶ ἄκουσιν ἐνίοτε ἐπιτάττοιεν ἐκεῖνα διαπράττεσθαι, ὧν τὸ τέλος ἀμφίκρημον. (Φιλοθέου Πάρεργα.)*

*Ἔνεστι δὲ πᾶσιν ἀνθρώποις (ὡς φύσει πάντες ἑαυτοῖς συνειδότες εἰσὶν) ἐλευθερία τοιαύτη, καθ' ἣν κατὰ λόγον τοῦ ἀντιληφθέντος ἀγαθοῦ ἢ κακοῦ, σὺν ἡδονῇ ἑκόντες καὶ οὐχὶ ἄκοντες καὶ καταναγκαζόμενοι ἐνεργεῖν πεφύκασι. (Εὐγενίου Βουλγάρεως.)*

*Σκάπτειν μὲν καὶ ξύλα τέμνειν, καὶ ὁτιοῦν τῶν μοχθηρῶν ἔργων διὰ τοῦ σώματος πέφυκε γίνεσθαι, δυναίμεθ' ἂν ἐκβιάζεσθαι καὶ τοὺς παῖδας ἐν τούτοις ἐργάζεσθαι, τὴν μάστιγα ἐπισείοντες· θέλησιν δὲ κεκτῆσθαι, καὶ τὸν νοῦν προσχεῖν, οἷς ἂν διδάσκωνται, οὐκέτι· ταῦτα γὰρ ὑπόκειται τῇ θελήσει, ἥτις δύναμίς ἐστι τῆς ψυχῆς, ἣν ὁ θεὸς ἐλευθέραν πάνυ, καὶ πάσης βίας ἐποίησε κρείττονα.*

*Ἡ θέλησις εἶναι τὸ πολυτιμότατον κτῆμα τοῦ ἀνθρώπου· εἶναι ἀκατάβλητος δύναμις, ἱκανὴ νὰ ῥίψῃ εἰς τὴν φλόγα ὁλόκληρον κόσμον· ἀλλ' ἀφ' ἑτέρου καὶ πόσον ἀσθενὴς εἶναι αὕτη!*

*Ἐλάχιστος πειρασμὸς δύναται ἐν ὥρᾳ ἀδυναμίας νὰ καταβάλῃ αὐτήν. Πόσον κατάλληλος γίνεται ἡ ἀσθένεια αὐτῆς ἀπέναντι τῆς καρδίας. Καθίσταται δούλη τῶν κλίσεων, τῶν ἕξεων, τῶν ἐπιθυμιῶν, τῶν ἀδυναμιῶν τῆς φύσεως! Ὁ ὕψιστος καὶ κάλλιστος λόγος, ὃν ὁ ἄνθρωπος δύναται νὰ προφέρῃ, εἶναι τὸ «θέλω». Ἀλλὰ πόσον σπάνιον πρᾶγμα εἶναι τὸ νὰ θέλῃ πραγματικῶς! Ἔχει μὲν τὴν ἐπιθυμίαν τοῦ θέλειν, δυσκόλως ὅμως φθάνει εἰς τὴν πραγματικὴν θέλησιν. Ὁ ἄνθρωπος διὰ τῆς θελήσεως αὐτοῦ, εἶναι μικρὸς θεὸς καὶ ὅμως εἶναι δοῦλος ὅλων τῶν πραγμάτων καὶ τῆς ἰδίας αὐτοῦ φύσεως. (Νεοφύτου Δούκα.)*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Τὸ ἀκούσιον οὐ κρίνεται· διττὸν δὲ τοῦτο, τὸ μὲν γινόμενον δι' ἀγνοίας, τὸ δὲ δι' ἀνάγκην. (Κλήμεντος.)*

*Εἰ θέλεις (ὁ Θεὸς) δύνασαί με σῶσαι· ἐγὼ εἰ θελήσω, οὐκ ἂν δυναίμην· τοσοῦτον τὸ τῆς ἐμῆς ἀθλιότητος μέγεθος· τὸ γὰρ θέλειν παράκειταί μοι. τὸ τελειῶσαι δὲ οὐχ εὑρίσκω, ἀλλὰ καὶ θέλειν τὸ ἀγαθὸν οὐ δύναμαι, εἰ μὴ θέλεις Αὐτός ; ἀλλὰ καὶ ὃ θέλω οὐ δύναμαι, εἰ μὴ ἡ σή με δύναμις ἐνισχύσει· ἀλλὰ καὶ ὃ δύναμαι ἑτέρως οὐ βούλομαι, εἰ μὴ τὸ σὸν γένοιτο θέλημα, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· ἀλλὰ καὶ ὃ θέλω καὶ δύναμαι ἀγνοῶ, εἰ μή με σοφία φωτίσῃ· καὶ εἰ γνοίην ἀτελὴς καὶ κενὴ παρέρχεται ἡ σοφία μου, ποτὲ μὲν βουλομένου, ποτὲ δὲ μὴ βουλομένου, εἰ μὴ παρὰ τῆς σῆς σοφίας βοηθηθείην· τῇ δὲ σῇ βουλήσει πάντα ὑπόκειται καὶ οὐκ ἔστιν ὁ ἀνθιστάμενος ταύτῃ (Αὐγουστίνου.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΑ'.

### Περὶ αὐτεξουσιότητος.

*— Ὁ γὰρ τοῦ παντὸς τὴν ἐξουσίαν ἔχων, δι' ὑπερβολὴν τῆς εἰς τὸν ἄνθρωπον τιμῆς, ἀφῆκέ τι καὶ ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν εἶναι οὐ μόνος ἕκαστός ἐστι Κύριος. Τοῦτο δὲ ἐστὶν ἡ προαίρεσις ἀδούλωτόν τι χρῆμα καὶ αὐτεξούσιον ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον .... (Γρ. Νύσσ. κεφ. λ'.)*

*— Ἔδει, φησί, καὶ ἀναγκαστικῶς ἐφελκύσασθαι τοὺς μὴ βουληθέντας τῇ πίστει προσελθεῖν πρὸς τὴν παραδοχὴν τοῦ κηρύγματος .... ἀλλὰ τότε ποῦ ἡ ἀρετή ; ποῦ τὸ αὐτεξούσιον ; ποῦ τῶν κατορθούντων ὁ ἔπαινος ; μόνου γὰρ τῶν ἀλόγων καὶ τῶν ἀψύχων ἐστὶ τὸ ἀλλοτρίῳ βουλήματι πρὸς τὸ δοκοῦν περιάγεσθαι· ἡ δὲ λογικὴ τε καὶ νοερὰ φύσις ἐὰν τὸ κατ' ἐξουσίαν ἀπόθηται καὶ τὴν χάριν τοῦ νοεροῦ συναπόλεσεν. (Γρηγ. Νύσσης κεφ. λα'.)*

*— Πολλοὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυνται· οὐ γὰρ δὴ πάντα αὐτὸς κατασκευάζει, ἀλλὰ πολλὰ καὶ ἀπὸ μόνης γίνεται τῆς νωθείας τῆς ἡμετέρας· εἰ δὲ που κἀκεῖνος αἴτιος ἀλλ' ἡμῶν τὴν ἀρχὴν παρεχόντων· εἰπέ μοι γάρ τί ὁ διάβολος ἴσχυσεν ἐπὶ τοῦ Ἰούδα ; ὅτι, φησίν, εἰσῆλθεν ὁ Σατανᾶς εἰς τὴν καρδίαν αὐτοῦ· ἀλλ' ἄκουσον καὶ τὴν αἰτίαν ὅτι κλέπτης ἦν καὶ τὰ βαλάντια ἐβάσταζε ὡς φιλάργυρος· αὐτὸς ἔδωκεν εὐρυχωρίαν τῆς εἰσόδου ὥστε οὐχ ὁ διάβολος τὴν ἀρχὴν ἐνέθηκεν, ἀλλ' ἡμεῖς αὐτὸν δεχόμεθα καὶ καλοῦμεν (Χρυσοστόμ.)*

*— Οὐκ ἔστι καθ' εἱμαρμένην πράττειν τοὺς ἀνθρώπους ἢ πάσχειν τὰ γινόμενα, ἀλλὰ κατὰ τὴν προαίρεσιν ἕκαστον κατορθοῦν ἢ ἁμαρτάνειν. (Ἰουστίν. ς'. 456.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἐλεύθερον καὶ αὐτεξούσιον ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. (Θεοφιλ. Ἀντιοχ. 1096.)

— Ὁ Θεὸς τὸν ἄνθρωπον αὐτεξούσιον ἔπλασε λόγῳ καὶ σοφίᾳ τιμηθέντα πρὸ ὀφθαλμῶν αὐτοῦ θεὶς τὴν ζωὴν καὶ τὸν θάνατον, Ἵνα, εἰ μὲν θελήσει τῇ αὐτεξουσιότητι τῆς ζωῆς παραθέσθαι, ζήσῃ εἰς τὸν αἰῶνα· εἰ δὲ ἀπὸ κακῆς προαιρέσεως παραθήσει τὴν ὁδὸν τοῦ θανάτου, αἰωνίως κολάζηται. Τὰ γὰρ τῆς φύσεως ἀμετάβλητα, οὔτε τιμωριῶν οὔτε τιμῆς ἄξ α. Οὐδεὶς γὰρ ἐνεκλήθη ποτὲ τὸ εἶναι λευκός, ἢ μέλας. (Ἀθανασ. κη'. 1401.)

— Ὁ πλάσας ἀπ' ἀρχῆς τὸν ἄνθρωπον, ἐλεύθερον ἀφῆκε καὶ αὐτεξούσιον, νόμῳ τῷ τῆς ἐντολῆς μόνῳ κρατούμενον, καὶ πλούσιον ἐν Παραδείσῳ τρυφῆς. (Γρηγ. Ναζιανζ. λε'. 892).

— Ἔθετο ὁ Θεὸς τὸν ἄνθρωπον ἐν τῷ παραδείσῳ, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα. (Γρηγ. Ναζιανζ λς'. 324.)

Κύριος ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. Παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου. Ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, καί, ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ. (Σειράχ. ιε'. 14).

Διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα ἐπὶ προσώπου ὑμῶν, καὶ τὴν εὐλογίαν καὶ τὴν κατάραν. (Δευτερ. λ'. 19).

Θέλουσιν ὑμῖν εὖ πράττειν, θεὸς ἕτοιμος εἰς τὸ παρέχειν (Ἰγνατίου).

Οὔτε οἴδατε, ὅτι, ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε; (Ῥωμ. ς'. 16).

Ἰδοὺ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν. (Λουκ. ιζ'. 21).

Εἶπον τῇ ψυχῇ μου σωτηρία σού εἰμι ἐγώ, (ψαλμ. λδ'. 3).

Τέθεικά φησι, πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν, δύο ἀντικειμένας φύσεις· ἀντιστάθμισον αὐτὰς ἐπὶ τοῦ σαυτοῦ κριτηρίου, ζυγοστάτησον ἀκριβῶς, τί σοι λυσιτελέστερον; τὴν πρόσκαιρον ἑλέσθαι ἡδονήν, καὶ δι' αὐτῆς τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου τρυφῆς; (Βασιλ. ἐν ψαλ. ξά.)

Τὰ ἐν ᾅδου κακὰ οὐχὶ θεὸν ἔχει τὸν αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς· ἀρχὴ γὰρ καὶ ῥίζα πάσης ἁμαρτίας τὸ ἐφ' ἡμῖν καὶ τὸ αὐτεξούσιον. (Ὁ αὐτός).

Ἡ ψυχὴ τὸ βασιλικόν τε καὶ ἐπηρμένον αὐτόθεν δείκνυσι, πόρρω τῆς ἰδιωτικῆς ταπεινότητος κεχωρισμένου, ἐκ τοῦ ἀδέσποτον

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

εἶναι αὐτὴν καὶ αὐτεξούσιον, ἰδίοις θελήμασιν αὐτοκρατορικῶς διοικουμένην· τίνος γὰρ τοῦτο, ἢ οὐχὶ βασιλέως ἐστίν; ἀγαπήσωμεν τὴν εὐλογίαν καὶ φύγωμεν τὴν κατάραν· ἐφ' ἡμῖν γάρ ἐστιν ἑλέσθαι κατ' ἐξουσίαν ἑκάτερον, πρὸς ὅπερ ἐν τῇ προθυμίᾳ ῥέψωμεν. (Γρηγορ. Νύσ.)

Εἰδότες, ὅτι καὶ τὸ θέλειν καὶ τὸ τρέχειν ἐν ἡμῖν ἐστι, καὶ διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν τὸν θεὸν ἐπισπασόμεθα πρὸς τὴν ἡμετέραν βοήθειαν. Ἐπισπασάμενοι δὲ αὐτὸν πρὸς τὸ τέλος ἥξομεν τῶν πραγμάτων. Διαπιστῶμεν οὖν, ἀδελφοί, καὶ πᾶσαν σπουδὴν ἐπιδειξώμεθα ἐν τῇ τῆς ψυχῆς σωτηρίᾳ τῆς ἡμετέρας, ἵνα μικρὸν ἐνταῦθα πονήσαντες χρόνον, κατὰ τὸν ἀγήρω καὶ ἀθάνατον αἰῶνα τῶν ἀθανάτων ἀπολαύσωμεν ἀγαθῶν (»).

Πλάσας ὁ Θεὸς κατ' ἀρχὰς τὸν ἄνθρωπον, τῆς γνώμης αὐτοῦ τὰ τῆς φύσεως ἀπηώρησεν, ἐντολὴν μίαν ποιησάμενος τὴν διὰ πεῖραν· φυλάξαντα μὲν γὰρ ταύτην τῆς ἀθανάτου λήξεως πεποίηκεν ἔσεσθαι, παραβάντα δὲ τῆς ἐναντίας. (Ἰουστῖνος ὁ φιλόσ. καὶ μάρτ.)

Βουλομέναις μὲν ὁ θεὸς ταῖς ψυχαῖς συνεπιπνεῖ, εἰ δὲ ἀποσταίεν τῆς προθυμίας, καὶ τὸ δοθὲν ἐκ τοῦ θεοῦ πνεῦμα συνεστάλη (Κλιμτ, Ἀλξδ.)

Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον ἐλεύθερον καὶ αὐτεξούσιον, ἵνα ὃ ἑαυτὸ ἐποίησε δι' ἀμελείας καὶ παρακοῆς, τοῦτο αὐτῷ γοῦν δωρεῖται διὰ φιλανθρωπίας καὶ ἐλεημοσύνης, ὑπακούοντος αὐτῷ τοῦ ἀνθρώπου. Καθάπερ γὰρ παρακούσας ὁ ἄνθρωπος, θάνατον ἑαυτῷ ἐπεσπάσατο, οὕτως ὑπακούων τῷ βουλεύματι τοῦ θεοῦ, δύναται περιποιεῖσθαι αὐτῷ τὴν αἰώνιον ζωήν. Δέδωκε γὰρ ἡμῖν ὁ θεὸς ἐντολὰς ἁγίας, ἃς πᾶς ὁ ποιῶν, δύναται σωθῆναι, καὶ ἀναστάσεως τυχών, κληρονομήσει τὴν ἀφθαρσίαν. (Ὁ αὐτός).

Λέγουσί τινες περὶ τοῦ ἀνθρώπου, ὅσα δεῖ αὐτὸν ποιῆσαι ἀγαθὰ καὶ πονηρά· πολλοὶ οὖν ἐμπίπτοντες διὰ τοῦ πονηροῦ εἰς κακὰ λέγουσιν, οὐαὶ τῷ ἄστρῳ αὐτοῦ· καὶ πάλιν, ὅτι κατὰ τὸ δοτὸν ἀποθνήσκουσιν οἱ ἄνθρωποι, ἢ ἐν ποταμῷ, ἢ ἐν κρημνῷ, ἢ οἱῳδήποτε τρόπῳ, καὶ τοῦτο ματαιολογοῦντες ἁμαρτάνουσιν. Ὁ γὰρ θεὸς αὐτεξούσιον ἔδωκε τὴν προαίρεσιν τῷ ἀνθρώπῳ, καὶ ὑπέδειξεν αὐτῷ τὴν ὁδὸν τοῦ φωτὸς καὶ τοῦ σκότους, τὸ κέρδος καὶ τὴν ζημίαν· λέγει γὰρ διὰ τοῦ προφήτου Ἡσαΐου· «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, ἐγὼ οὐκ ἀναγκάζω· τὸ γὰρ ἐξ ἀνάγκης γινόμενον κέρδος οὐκ ἔχει. Ἐγὼ ὅρους οὐκ ἐπέθηκα, οὐκ ἔταξα ἐπὶ σὲ καλὰ ἢ κακά. Ἐπεὶ ἢ ἐνετείλατό μοι φόνου, ἢ πορνείαν δηλονότι ποιῆσαι αὐτὰ εἶχον· τῷ γὰρ προστάγματι αὐτοῦ ἀντειπεῖν οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

δυνατόν· ἢ τίς κρίνει με τὰς ἐντολὰς αὐτοῦ τηροῦντα; Οὐδέποτε ὁ θεὸς θελητής ἐστι κακοῦ ἀνθρώπων· τὰ γὰρ πειρατήρια τὰ ἐπερχόμενα τῶν ἀνθρώπων ἐκ τοῦ πονηροῦ εἰσι, τοῦ Ἀποστόλου λέγοντος· μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ θεοῦ πειράζομαι, ὁ γὰρ θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα· ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας. Ἐὰν δὲ ποιῇς ἀγαθόν, τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ ἐπίγραψον, ἐὰν δὲ πονηρὸν τῇ τοῦ διαβόλου πονηρίᾳ ἐπίγραψον. (Εὐσεβίου).

Ποιμὴν ἀμέλγει εἰ θέλοι καὶ τοὺς τράγους, ἀλλ' ἀντὶ γάλακτος αἵματων πηγὰς οἴσει. (Θεολόγου).

Ἀκούσιος ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος· ἄμελγε γάλα καὶ ἔσται βούτυρον, ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται αἷμα. (Παροιμ. γ'.)

Φιλεῖ τὸ βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον. (Θεολόγου).

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΒ'.

### Περὶ λογικοῦ καὶ λογισμοῦ.

Ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. (Ματθ. ιβ'.)

Ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, ἀπὸ τῶν διανοημάτων αὐτοῦ πλησθήσεται ἀνὴρ ἀγαθῶν. (Σολομ.)

Λογισμοὶ δικαίων κρίματα. (Παροιμ. ιβ'.)

Ἐν σείσματι κοσκίνου διαμένει κοπρία, οὕτω σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ. (Σειράχ. κζ'.)

Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ θεοῦ κρατήσει εἰς τὸν αἰῶνα (»)

Κρεῖσσον λογισμὸς πράξεων, ἢ χρημάτων· τὰ μὲν γὰρ τῆς φθορᾶς ἐστιν, ὁ δὲ ἵσταται. (Θεολόγ.)

Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· καὶ διὰ τοῦτο λογισμὸς τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσιν ἁμαρτήματα. (Χρυσοστόμου.)

Οὐ παύεται λογισμοὺς ἡ διάνοια τίκτουσα· σὺ δὲ τοὺς μὲν φαύλους ἔκτιλλε τοὺς δὲ ἀγαθοὺς γεώργει. (τοῦ αὐτοῦ.)

Ἐκ λογικοῦ γὰρ καὶ ἀλόγου (κατὰ τὸ Ἑλληνικὸν πρὸς φυσιολογίαν πλᾶσμα) ὥσπερ τινα κένταυρον, συνθεὶς ὁ δημιουργὸς ὅλον τὸν ἄνθρωπον, τῷ ἀνθρωπομόρφῳ ἀπὸ κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει, τὸ ἀπὸ ὀμφαλοῦ ἕως ὀσφύος καθάπερ ἵππου φύσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*(πρὸς δὲ τὰς γαστρὸς ἡδονὰς κτηνώδες ὑπάρχον καὶ πρὸς τὰς μίξεις ἀλόγως κινούμενον,) κάτωθεν φέρων προσήρμοσεν, οὐχ ὑπὸ τοῦ ἀλόγου μέρους τοῦ λογικοῦ ἐξαρπάζεσθαι βουληθείς, ἀλλὰ τῷ λογικῷ ὑποβεβλημένον ἔχοντι τὸ ἄλογον μέρος, ἡνιοχεῖσθαι πρὸς τὰς τῆς φύσεως ἀνάγκας, πανσόφως εἰθείς.* (*Βασιλείου.*)

*Οὐχ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ τὸν πιστὸν ἀλλ' ἡ τῶν ἐννοιῶν ἀγνεία καὶ εἰλικρίνεια.* (*Κλήμεντος.*)

*Ἐπισκοτεῖ τῷ μὲν Ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.* (*Πλουτάρχ.*)

*Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.* (») )

*Ὁ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν, τὸ κακὸν ἀφαιρεῖ, τ' ἀγαθὸν δὲ λαμβάνει* (*Φιλήμονος.*)

*Ἃ ἄν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει· ἃ μὴ δεῖ ποιεῖν μηδὲ ὑπονοοῦ ποιεῖν.* (*Ἰσοκράτους.*)

*Δεῖ ὥσπερ ἐξ εὐνομουμένης πόλεως, φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα λογισμόν.* (») )

— *Λόγος ὀρθός, δῶρον τοῦθ' ὑπὸ τοῦ Δημιουργοῦ τῇ τοῦ ἀνθρώπου φύσει, ἄνωθεν ἐνσπαρείς, φυλαττόμενος μὲν ἀκήρατος, εὐδαίμονα καὶ θεῖον ἀπεργάζεται· ἀμαυρούμενος δὲ τοῖς πάθεσι, καὶ ἀγρίων καὶ κακοήθων τινῶν διαθέσεων ἐπιπροσθούμενος νέφεσι, τότε δὴ ἐκπίπτων ἑαυτοῦ καὶ τὴν τῶν πραγμάτων ἀφαιρούμενος κρίσιν, παρασύρει τὸν ἄνθρωπον εἰς τοὔσχατον τῶν ἀτοπημάτων.* (*Νεοφ. Δούκα.*)

— *Ὁ λόγος, ἀπὸ αὐτῆς τῆς ψυχῆς μετὰ κρίσεως προϊών, διϊθύνει πρὸς τὰ συνοίσοντα, διαφεύγειν πείθων ἐν ἅπαντι τὸν μετάμελον!* (*Νεοφ. Δούκα.*)

— *Ὅπερ ἐστὶν ὁ ἰὸς τῷ σιδήρῳ, τοῦτ' ἂν εἴη πρόληψις ψυχῇ νοσούσῃ, καὶ μὴ χρωμένῃ λογισμῷ.* (*Νεοφ. Δούκα.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΓ'.

### Περὶ διεφθαρμένων καὶ ἀπίστων.

*Τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄσπονδοι, ἄστοργοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι,*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τούτους ἀποτρέπου. Ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτεύοντες τὰ γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. (Β'. Τιμθ. γ'.1-7)

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΔ'.

### Περὶ εἰδωλολατρῶν.

Ἢ οὐχ ὁρᾶς, τί αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς τοῦ ποιῆσαι Καυῶνας (1) τῇ στρατιᾷ τοῦ οὐρανοῦ (2) καὶ σπεῖσαι σπονδὰς θεοῖς ἀλλοτρίοις ἵνα παροργίσωσί με (Ἱερ.ξ'.17).

Ἠσχύνθημεν, ὅτι ἠκούσαμεν ὀνειδισμὸν ἡμῶν· κατεκάλυψεν ἀτιμία τὰ πρόσωπα ἡμῶν, εἰσῆλθον ἀλλογενεῖς εἰς τὰ ἅγια ἡμῶν, εἰς οἶκον Κυρίου (αὐτόθι να'.)

Διὰ τοῦτο ἡμέραι ἔρχονται λέγει Κύριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς (τῆς Βαβυλῶνος) καὶ ἐν πάσῃ τῇ γῇ αὐτῆς πεσοῦνται τραυματίαι (αὐτόθι νβ'.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΕ'.

### Περὶ τοῦ, ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν.

Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει· τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται (Σειράχ. ιγ'. 2).

Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. (Πρξ. θ'. 5).

Καλὸν ἀεὶ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι (Βασιλείου).

Οὐδεὶς οὕτω μέμηνεν, ὡς, δοῦλος ὤν, ἐναντιοῦσθαι δεσπότῃ (τοῦ αὐτοῦ).

Μὴ κρίνετε τοὺς κριτάς, ὁ χρήζων τῆς ἰατρείας ἄλλος μὲν ἄλλου κρείττων, ἢ ταπεινότερος, σοῦ δὲ πᾶς ὑψηλότερος (Ἰωάν. Δαμασκ. Τόμ. Β'. 567).

Ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες δούλοις χρῆσθαι. (Ξενοφ. Ἀπομν. 2,1,12).

---

(1) Ἐν ἄλλοις γράφεται χαυνῶνας, ὅπερ ὁ Θεοδώρητος ἑρμηνεύει οὕτως· ὅτι ἔνδον τοῦ σταιτὸς (ἀλεύρου) εἶχον σταφίδας καὶ φοίνικας, καὶ ἕτερά τινα τοιαῦτα δὲ τοῖς εἰδώλοις προσέφερον. Περὶ τῶν τοιούτων προσφορῶν καὶ ὁ προφήτης Ὡσηὲ ἐν Κεφαλ. γ'. λέγει. «Αὐτοὶ ἐπιβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων.

(2.) Τοῖς ἄστροις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ ΡΝϛ΄.

## Περὶ δανείου καὶ τόκου.

*Δάνειον δανειεῖς τῷ πλησίον σου, ὅσον ἂν ἐπιδέηταί σου, καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου διδόντος σου αὐτῷ· ὅτι διὰ τὸ ῥῆμα τοῦτο εὐλογήσει σε Κύριος ὁ θεός σου, ἐν πᾶσι τοῖς ἔργοις σου. (Δευτερ. ιε΄. 10).*

*Ζήσεται ὁ ἀδελφός σου, μετὰ σοῦ· τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐπὶ τόκῳ οὐδὲ τὰ βρώματά σου. (Δευτ. κε΄. 37).*

*Ἐὰν ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ σου, οὐκ ἔσῃ αὐτὸν κατεπείγων· οὐκ ἐπιθήσεις αὐτῷ τόκον. (Ἐξοδ. κβ΄. 25).*

*Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, οὗ ἂν ἐκδανείσῃς. (Δευτερ. κγ΄. 19).*

*Ἐὰν ὀφείλημα ᾖ ἐν τῷ πλησίον σου, ὁτιοῦν, οὐκ εἰσελεύσῃ εἰς τὴν οἰκίαν αὐτοῦ, ἐνεχυράσαι τὸ ἐνέχυρον αὐτοῦ. Ἔξω στήσῃ, καὶ ὁ ἄνθρωπος οὗτος, οὗ τὸ δάνειόν σού ἐστιν ἐν αὐτῷ, ἐξοίσει σοι τὸ ἐνέχυρον ἔξω· ἐὰν δὲ ὁ ἄνθρωπος πένηται, οὐ κοιμηθήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ· ἀποδώσεις αὐτῷ τὸ ἱμάτιον αὐτοῦ περὶ δυσμὰς ἡλίου, καὶ κοιμηθήσεται ἐν τῷ ἱματίῳ αὐτοῦ, καὶ εὐλογήσει σε, καὶ σοὶ ἔσται ἐλεημοσύνη ἐναντίον Κυρίου τοῦ θεοῦ σου. (Αὐτόθι κδ΄. 10).*

*Ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκου καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐτόν. (Παρμ. κη΄. 8).*

*Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ἀμφοτέρων ποιεῖ ὁ Κύριος. (Αὐτόθι κθ΄. 13).*

*Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη. (Σειράχ. δ΄. 13).*

*Μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου, καὶ ἂν δανείσῃς ὡς ἀπολωλεκὼς γενοῦ. (Αὐτόθι ηἰ. 12).*

*Δάνεισον τῷ πλησίον σου ἐν καιρῷ χρείας αὐτοῦ· πολλοὶ ὡς εὕρημα ἐνόμισαν δάνος, καὶ παρέσχον κόπον τοῖς βοηθήσασιν αὐτοῖς· βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ. (Αὐτόθι κθ΄. 2, 4, 28).*

*Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς. (Ματθ. ε΄. 42).*

*Τόκος ἐπὶ τόκῳ, πονηρῶν γονέων πονηρὸν ἔγγονον, ταῦτα δὲ λεγέσθω γεννήματα ἐχιδνῶν, τὰ τόκων ἀποκυήματα. Τὰς ἐχίδνας λέγουσι τὴν γαστέρα τῆς μητρὸς διεσθιούσας τίκτεσθαι, καὶ οἱ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόκοι τοὺς οἴκους τῶν ὀφειλόντων ἐκφαγόντες ἀπογεννῶνται. (Βασιλείου ἐν ψαλμῷ ιδ'.)

Ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολαύωσι τὰ ἴσα. (Λουκ. ς'. 34).

Διάρρηξον ἄνθρωπε γραμμάτιον ἄδικον, ἵνα οὕτως ἡ ἁμαρτία διαλυθῇ. Ἐξάλειψον βαρυτάτων τόκων ὁμολογίαν, ἵνα τέκῃ τὰ συνήθη ἡ γῆ. Χαλκοῦ γὰρ καὶ χρυσίου καὶ τῶν ὁμοίων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γῆ στεῖρα, καὶ πρὸς τιμωρίαν τῶν ἐνοικούντων κατεδικάσθη τὴν ἀκαρπίαν. (Βασιλείου ἐν ψαλ. ιδ'.)

Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν. (Μενάνδρ.)

— Ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου. (Λουκ.)

— Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσι.— Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. (Ψαλμ.)

— Ἐὰν δὲ γένηταί σοι ἐνδεὴς ἐκ τῶν ἀδελφῶν σου ἐν τῇ γῇ, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι, οὐκ ἀποστρέψεις τὴν καρδίαν σου, οὐδ' οὐ μὴ συσφίγξῃς τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ ἐπιδεομένου ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου αὐτῷ καὶ δάνειον δανειεῖς αὐτῷ ὅσον ἐπιδέεται. (Δευτερονομ.)

— Ὁρῶμεν οὐχὶ τοὺς τῶν ἀναγκαίων ἐνδεεῖς ἐρχομένους ἐπὶ τὸ δάνειον· οὐδὲ γὰρ ἔχουσι τοὺς πιστεύοντας· ἀλλὰ δανείζονται ἄνθρωποι δαπάναις ἀνειμέναις, καὶ πολυτελείαις ἀκάρποις ἑαυτοὺς ἐπιδιδόντες. (Βασιλείου).

— Ἀποδώσωμεν τοίνυν σὺν τόκῳ τὸ χρέος, ἂν ἄρα τοσοῦτον εὐποροῦντες φανῶμεν.— Ἐὰν χρεωφειλέτην λάβῃς προσπίπτοντα, πᾶσαν συγγραφὴν ἄδικον διάσπασον· μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι ὁ Χριστὸς ἐδωρήσατο, καὶ μὴ γένῃ πράκτωρ πικρὸς τοῦ ἐλάσσονος χρέους. (Γρηγ. Θεολόγ.)

— Οὐδὲν γὰρ οὐδὲν τῶν ἐνταῦθα τόκων αἰσχρότερον, οὐδὲν ὠμότερον. Τὰς γὰρ ἀλλοτρίας ὁ τοιοῦτος πραγματεύεται συμφορὰς, καὶ πρόσοδον τὴν ἑτέραν δυσημερίαν ποιεῖται, καὶ μισθὸν ἀπαιτεῖ φιλανθρωπίας, καθάπερ δεδοικὼς μὴ ἐλεήμων φανῇ, καὶ προσχήματι φιλανθρωπίας βαθύτερον ὀρύσσει τὸ βάραθρον, ἐν τῷ βοηθεῖν ἐπιτρίβων τὴν πενίαν, καὶ ἐν τῷ χεῖρα ὀρέγειν ὠθῶν, καὶ δεχόμενος μὲν εἰς λιμένα, ναυαγίῳ δὲ περιβάλλων ὡς ἐν σκοπέλῳ, καὶ ὑφάλῳ καὶ σπιλάδι τοῦτον. (Χρυσοστόμ.)

— Ἀργὸς καὶ πλεονέκτης ὁ βίος τοῦ τοκίζοντος· οὐκ οἶδε πό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νου γεωργίας, οὐκ ἐπίνοιαν ἐμπορίας . . . . . Ἄσπαρτα αὐτῷ βού
λεται τὰ πάντα καὶ ἀνήροτα φύεσθαι. Ἄροτρον ἔχει τὸν κάλαμον
χώραν τὸν χάρτην, σπέρμα τὸ μέλλον, ὑετὸν τὸν χρόνον αὐξάνον
τα αὐτῷ λανθανόντως τὴν τῶν χρημάτων ἐπικαρπίαν. Ἀρέπανόν
ἐστιν αὐτῷ ἡ ἀπαίτησις, ἀλὼν ἡ οἰκία, ἐφ' ἧς λεπτύνει τὰς τῶν
θλιβομένων οὐσίας. Μισεῖ τοὺς ἑαυτοῖς ἀρκοῦντας, καὶ τοὺς μη
δὲν δανειζομένους ἐχθροὺς ἡγεῖται· ἐφεδρεύει τοῖς δικαστηρίοις
ἵνα εὕρῃ τὸν στενούμενον. Τοῖς ἀπαιτηταῖς καὶ πράκτορσιν ἀκο
λουθεῖ ὡς ταῖς παρατάξεσι καὶ τοῖς πολέμοις οἱ γῦπες· περιφέρε
τὸ βαλάντιον, καὶ δεικνύει τοῖς πενομένοις τὸ τῆς θήρας δέλεαρ
ἵν' ἐκείνῳ διὰ τὴν χρείαν περιχήναντες συγκαταπίωσι τοῦ τόκου
τὸ ἄγκιστρον κτλ. (Γρηγ. Νύσσης).

— Οὐ δεδάνεισται πώποτε ἀργύριον ἄνθρωπον, ἵνα ἄλφιτα
πρίηται, ἢ τυρόν, ἢ ἄρτον, ἢ ἐλαίας· ἀλλὰ τὸν μέν, οἰκία πολυτε
λὴς χρεωφειλέτην πεποίηκε· τὸν δὲ ὁμοροῦν ἐλαιόφυτον, τὸν δὲ
σιτῶνες, ἀμπελῶνες, ἄλλον ἡμίονοι Γαλατικαί, ἄλλον ἵπποι ζυγο
φόροι ἐνσεσείκασιν εἰς βάραθρα συμβολαίων καὶ τόκων καὶ ὑπο
θηκῶν. (Πλουτάρχου).

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΖ'.

### Περὶ τῆς διαγνώσεως τοῦ καλοῦ καὶ πονηροῦ ἀνθρώπου.

Στολισμὸς ἀνδρός, καὶ βῆμα ποδός, καὶ γέλως ὀδόντων ἀναγ
γέλλει τὰ περὶ αὐτοῦ. (Σειρὰχ ΙΘ'. 30).

Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑ
μᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπ
τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. (Ματθ. Ζ'. 15).

Ἕκαστον δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐ
ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν·
ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτο
προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηρο
θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν· ἐκ τοῦ περισ
σεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ. (Λουκ. ς'. 43—45).

Ἐνδέχεται μέν, ὦ παιδίον! λέγειν μὲν εὖ, φαῦλον δὲ ὑπάρχει
πράσσοντα δὲ εὖ φαῦλον εἶναι ἀδύνατον.

Ἀγαπητοί· μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τ
πνεύματα. (Α'. Ἰωάννου δ'. 1).

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΗ'.

### Περὶ γέλωτος καὶ γελοιαστῶν.

*Γέλωτος θυμὸς ἔμφρων προτιμότερος· αὐστηρᾷ γὰρ διαθέσει προσώπου κατορθοῦται ψυχή* (*Θεολόγου.*)

*Αἱ μὲν τοίνυν τῶν σοφῶν ψυχαὶ σκυθρωπάζουσι καὶ συστέλλονται· αἱ δὲ τῶν ἀφρόνων, ἐπαιρόμεναι διαχέονται.* (»)

*Μὴ παρὰ γέλοια σπούδαζε, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαῖρε· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.* (*Ἰσοκράτης.*)

*Γελᾶν ὁ θέλων μετὰ μειρακίων, αἰσχρὰς ὕβρεις κερδήσει καὶ μέμψιν.* (*Μοσχίονος.*)

*Οἱ σπουδάζοντες ἐν τοῖς γελοίοις, ἐν τοῖς σπουδαίοις γίνονται καταγέλαστοι.* (*Κάτωνος.*)

*Γέλως γέλωτος εὖ φρονοῦσιν ἄξιος*
*Μάλιστα μὲν πᾶς, τὸ πλέον δὲ ὁ πορνικός.*
*Γέλως ἄτακτος συλλέγει καὶ δάκρυον.*
*Κρεῖσσον κατηφὲς ἦθος ἢ τεθρυμμένον.* (*Γρ. Νζ. Τετραστ. 20*)

*Ἄνθρωπε πένθους ὁ παρὼν καιρὸς καὶ θλίψεως, καὶ ὑποπιασμοῦ, καὶ δουλαγωγίας καὶ ἀγώνων καὶ ἱδρώτων, σὺ δὲ γελᾷς;* (*Χρυσοστμ.*)

*Ἐν γέλωτι ἄφρων πράττει κακά* (*Παρμ. ι'. 2*)

*Ὥσπερ φωνὴ ἀκανθῶν ὑπὸ λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων.* (*Ἐκκλ. ζ'. 7.*)

*Τῷ γέλωτι ἀκρατεῖ καὶ ἀσχήμονι κατέχεσθαι, ἀκρατείας σημεῖον· ἄχρι μὲν μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑποφαίνειν οὐκ ἀπρεπές, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον. Καρδίας εὐφραινομένης πρόσωπον θάλλει· ἐκκαγχάζειν δὲ τῇ φωνῇ, καὶ ἀναβράζεσθαι τὸ σῶμα, οὐ τοῦ κατεσταλμένου τὴν ψυχήν, οὐδὲ τοῦ δοκίμου, οὐδὲ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ· βεβαιοῖ γὰρ τοῦ λόγου ὁ σοφὸς Σολομών, ὅτι ὁ μωρὸς ἐν γέλωτι ἀνυψώσει φωνὴν αὐτοῦ, ἀνὴρ δὲ σοφὸς μόλις ἡσυχῇ μειδιάσει* (*Βασιλείου.*)

*Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ἐλάλει ὁ Δαυῒδ ὁ μακάριος. Ἔχρῆν οὖν στυγνάζειν σε μᾶλλον ἢ κατηφεῖν ἐπὶ τοῖς ἐνθυμήμασι τῆς ἀτοπίας, ἅτινα γεννήματα ἐχιδνῶν τυγχάνουσι ψυχῆς τῆς κατημελημένης· καὶ δέον δάκρυσιν ἐκτήκειν τοὺς ἔξωθεν ὀφθαλμοὺς καὶ τοὺς ἔσω· αὐτὸς νῦν τοὐναντίον ποιεῖ γελοιάζων καὶ ἀναβρασσόμενος, καὶ πᾶσαν, ὡς εἰπεῖν ὥραν χαίρων τοῖς σκιρτήμασι τῆς ἀλογίας καὶ τῆς ἀπαιδευσίας. Θαρρῶν δὲ πεποιθώς, καὶ ἀναπαυόμενος τῇ πρὸς ὀλίγον χρόνον ἀποχῇ τῶν βρωμάτων, καὶ τὸ δοκεῖν ἀφεστάναι γυναικός· ἀλλ' οὐδὲ τοῦτο μόνον, καὶ γὰρ*

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

δαίμονες πλέον τι τούτῳ σου ἔχουσι, μηδ' ὅλως πώποτε ἐσθίοντες, μηδὲ καθεύδοντες. (Χρυσοστόμου.)

Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι κλαύσετε. (Λουκᾶ ς'. 25.)

Ὁ περίφημος Ξενοφῶν ἀπὸ ὑπερβολικοῦ γέλωτος στενοχωρηθεὶς ἐρράγη.

Μωρὸς ἐν γέλωτι ἀνυψοῖ τὴν φωνὴν αὐτοῦ, ἀνὴρ δὲ φρόνιμος μόλις ἡσυχῇ μειδιάσει.

Ἰωάννης ὁ Θεολόγος καταφρονῶν τὸν γέλωτα ὡς αἴτιον λύπης λέγει ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐδέποτε ἐγέλασεν ἀλλὰ καὶ τοὺς Ἀποστόλους ἐνεπόδισεν εἰπών· «Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν ὅτι πενθήσετε καὶ κλαύσετε καὶ αὐτὸς τετράκις ἔκλαυσεν «ὅς ἐν ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ δεήσεις καὶ ἱκεσίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας (κεφ. 11 στιχ. 35.) α'. ἔκλαυσε τὸν Λάζαρον, β'. ἐρχόμενος εἰς Ἱερουσαλήμ, γ'. εἰς τὸν μυστικὸν δεῖπνον ἔκλαυσε τὴν ἀπώλειαν τοῦ Ἰούδα, καὶ δ'. εἰς τὸ πάθος.

— Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν. (Μενάνδρ.)

— Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος. (Ἐπικτήτ.)

— Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. (Ἰσοκράτ.)

— Τῷ γελοίῳ, καθάπερ ἁλί, πεφεισμένως δεῖ χρῆσθαι. (Σωκρ.)

— Οὐ δεῖ φιλογέλωτα εἶναι· ὅταν σχεδόν τις ἐφηδυνθῇ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖν τὸν τοιοῦτον. (Χρυσοστόμ.)

— Κάτων, τοὺς σπουδάζοντας ἐν τοῖς γελοίοις, ἔλεγεν, ἐν τοῖς σπουδαίοις γίνεσθαι καταγελάστους.

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.

Γελᾷ δ' ὁ μωρὸς κἂν τι μὴ γελοῖον ᾖ (Κάτωνος.)

Τῷ δυστυχοῦντι μὴ ἐπιγέλα. — Μὴ ἐπιγελᾷν τῷ σκώπτοντι. — Εἰς τὰς εὐγενεῖς καὶ καλῶς ἀνατεθραμμένας καρδίας, τὰ παθήματα τῶν ἄλλων συμπάθειαν καὶ οὐχὶ γέλωτα πρέπει νὰ προξενῶσιν. (Διαφόρων.)

— Σὺ δὲ ἔστηκας γελῶν κατὰ τὰς βιωτικὰς γυναῖκας, γελωτοποιῶν κατὰ τὰς ἐν τῇ σκηνῇ; Τοῦτο πάντα ἀνέτρεψε, τοῦτο κατέβαλε· γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστειότης· οὐδὲν εὐσταθές, οὐδὲν σοβαρόν. Οὐ πρὸς τοὺς βιωτικοὺς ἄνδρας λέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Σύρου

γω ταῦτα μόνον, ἀλλ' οἶδα οὓς αἰνίττομαι (τοὺς κληρικούς)· γέλωτος ἐμπέπλησται ἡ ἐκκλησία. Ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐθέως ἐν τοῖς καθημένοις γίνεται· καὶ τὸ θαυμαστόν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς, οὐ παύονται πολλοὶ τοῦ γελᾶν. (Χρυσ. ΞΓ. 121 — 124.)

— Τὸ μὲν παρὰ τῶν σεμνῶν καὶ σωφρόνων γελᾶσθαι δεινόν. Τῆς ὀρθῆς τῶν πραγμάτων διαμαρτάνοντες κρίσεως, γελῶσι τὰ θαύματος κρείττονα. (Ἰσίδ. Πηλ. ΟΗ'. 1616.)

— Μιμηλοὺς δὲ ἀνθρώπους γελοίων, μᾶλλον δὲ καταγελάστων παθῶν, τῆς ἡμετέρας ἐξελαστέον πολιτείας. (Κλημ. Ἀλεξ. Η'. 445—452.)

— Εἰ τύπος ἱερεὺς τοῦ ποιμνίου καὶ φῶς τῆς Ἐκκλησίας ὠνομάσθη καὶ ὑπάρχει, ἀνάγκη φεύγειν τὸν γέλωτα καὶ τὴν εὐτραπελίαν. (Ἰσίδ. Πηλ 268.)

— Τῷ γέλωτι ἀκρατεῖ κεχρῆσθαι καὶ ἀσχέτῳ ἀκρασίας σημεῖον. (Βασιλ. περὶ Ἀναστ. Σιν. πη'. 820.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΝΘ'.

### Περὶ φιλησονίας.

— Πῶς δέ ἐστι δυνατόν, ἡττηθέντα τῶν τοῦ σώματος ἡδονῶν, ἐξομοιοῦσθαι τῷ Κυρίῳ, ἢ γνῶσιν ἔχειν Θεοῦ; Πάσης γὰρ ἡδονῆς ἐπιθυμία κατάρχει· ἐπιθυμία δὲ λύπη τις καὶ φροντίς, δι' ἔνδειαν ὀρεγομένη τινός. Ὥστ' οὐκ ἄλλο τι δοκοῦσιν οἱ τοῦτον ἐπανηρημένοι τὸν τρόπον, ἀλλ' ἢ τὸ λεγόμενον δὴ τοῦτο.

.... Πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχειν·

ἐπίπαστον (ἑκούσιον) ἑαυτὸν κακὸν αἱρούμενοι, νῦν καὶ ἐς ὕστερον, (Κλήμ. Ἀλεξ. η'. 1145.)

— Ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία ἄντικρυς ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος. (Βασιλ. λα'. 449.)

— Ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν· καὶ ταῦτα πεινώντων ἄλλων. (Γρηγ. Ναζ. λς'. 316.)

— Τί ἐστιν ἀκρασία; Κόσμησις τοῦ σώματος, περισπασμός, ὀκνηρία, γελωτοποιοὶ λόγοι, τὸ προσέχειν ἀναιδεῖ, ἀπιστία τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, τὸ φιλοπλατύνεσθαι. (Κλίμ. Ἰωάν. πη' 908.)

— Ψευδέσιν ἡδοναῖς ταπολλὰ οἱ πολλοὶ χαίρουσιν, οἱ δ' ἀγα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θοὶ τῶν ἀνθρώπων ἀληθέσιν .... εἰσὶ δὲ ψευδεῖς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἡδοναὶ μεμισημέναι τὰς ἀληθεῖς ἐπὶ τὰ γελοιότερα. (Πλ. Φιληβ. 40.)

— Ἐὰν ἡδονῆς τινος φαντασίαν λάβῃς, φύλασσε σεαυτόν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς. (Ἐπικτ. ἐγχ. 34.)

— Ἐπιθυμίας ἀλόγως ἑλκούσης ἐπὶ ἡδονὰς καὶ ἀρξάσης ἐν ἡμῖν τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη. (Πλάτ. Φαῖδρ. 29, 301.)

## Περὶ ἡδονῶν.

Μὴ τὰ πάντα τῇ ἡδονῇ ἀλλὰ καὶ τῇ ψυχῇ· δύο σοι νόμισον εἶναι θυγατέρας τὴν εὐπάθειαν τὴν ἐνθάδε καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς.

Εἰ μὴ θελήσῃς τὰ πάντα δοῦναι τῇ κρείττονι, μέρισον γοῦν ἐξ ἴσου τε τῇ ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι.

Μὴ τὴν ἐνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς, γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακίοις ἠμφιεσμένην. (Βασιλείου.)

Καλὸν τοῖς ὅροις τῆς χρείας ἐμμένειν, καὶ φιλονεικεῖν πάσῃ δυνάμει τούτοις μὴ ὑπερβαίνειν.

Ἐὰν γὰρ ὀλίγον παρενεχθῇ τις ὑπὸ τῆς ἡδονῆς ἐπὶ τὰ ἡδέα τοῦ βίου, οὐδεὶς λοιπὸν ἵστησι τὴν πρὸς τὰ πρόσω φοράν. (Νείλου.)

Ἡδονὴ ἀθέμιτος βεβαίαν τίκτει λύπην
Ἡδονὴν φεῦγε, ἥτις λύπην τίκτει (Σόλωνος.)

Δοκεῖ μὲν λεία τις εἶναι κίνησις ἡ ἡδονή· τὸ δὲ ἀληθές, τραχεῖα εὑρίσκεται καὶ ἐστίν.

Φεῦγε πᾶν τὸ ἡδύ, ὅτι βιαίως παρακαλεῖ. (Φίλων.)

Οὐδεὶς ἐπαινον ἡδοναῖς ἐκτήσατο. (Καρκίνου.)

Ἡδονὴν δὲ πᾶσαν, ἀλλὰ τὴν ἀπὸ τοῦ καλοῦ αἱρεῖσθαι δεῖ. (Ἐπικτήτου.)

Εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι, αἳ προϊόντος τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξαπηγηθεῖσι καταφανεῖς γίγνονται, ὅτι λῦπαι ἄρα ἦσαν ἡδοναῖς περιπεπασμέναι, αἳ διακωλύουσιν αὐτοὺς τῶν ὠφελίμων ἔργων κρατοῦσαι. (Ξενοφῶντος Οἰκον.)

Ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν.

Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον. (Ἰσοκράτους.)

Τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμάς, καὶ πρὸς πόνον ὑποψίας, οὐ θυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ραίας οὐδ' ὑπὸ λόγων ἐπεισάκτους ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγάς, ἂν ἐᾷ τις ἀφέτους, ἢ πεφύκασι, χωρῶν, καὶ μὴ λόγοις χρησταῖς ἀφαιρῶν ἢ παρατρέπων, καταρτίσῃ τὴν φύσιν, οὐκ ἔστιν ὃ τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανείη.—

Θηρίον ἐστὶ δουλαγωγὸν ἡδονὴ ἀλλ' οὐκ ἄγριον· εἰθε γὰρ ἦν· φανερῶς ἂν πολεμοῦσα ταχέως ἐάλω· νῦν δὲ καὶ ταύτῃ μισητότερον, ὅτι κλέπτει τὴν ἔχθραν ὑποδυομένη σχῆμα εὐνοίας ὥστε διχῇ ἀποτρόπαιον καὶ ὧν βλάπτει, καὶ ὧν ψεύδεται.

Μή τις προδότην ἐπαινεῖ; τοιοῦτόν ἐστιν ἡδονή· προδίδωσι γὰρ τὰ τῆς ἀρετῆς· μή τις βασανιστάς; Τοιοῦτόν ἐστι τὸ ἥδεσθαι· βασανίζει τὰ τῆς σωφροσύνης· μήτις φιλαργυρίαν; ἀπλήρωτόν ἐστιν ἑκάτερον. Τί τηλικούτῳ χαίρομεν θηρίῳ ὃ κολακεῦον ἡμᾶς ἀναλίσκει; (*Πλουτάρχου.*)

Τῶν τιμίων ἡδονῶν ἡ μετρία χρῆσις γίνεται ἄνεσις τῶν κόπων, καὶ διεγείρει εἰς νέους πάλιν ἄλλους κόπους, ἡ κατάχρησις φεύγει τοὺς ἀναγκαίους κόπους, μαλακύνει τὸ σῶμα, ἐκνευρίζει κατὰ μικρὸν τὰς δυνάμεις τῆς ψυχῆς καὶ τυφλώνει εἰς τὸ ὕστερον τοῦ νοὸς τοὺς ὀφθαλμούς. (*Κοραῆ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΞ'.

### Περὶ οἴνου.

— *Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.* (*Ψαλμ. 103.*)

— *Ὁ οἶνος ἄρδων τὰς ψυχάς, τὰς μὲν λύπας, ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους, κοιμίζει, τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει.* (*Ξενοφ. Συμπόσ. 2, 24.*)

— *Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος ὅταν δὴ*
*πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.* (*Θεόγν. 497.*)

— *Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον.*
*Ἔστι γὰρ ἡ λύπης αἰτιος ἡ μανίης.* (*Ἐυηνος.*)

— *Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.* (*Παῦλ. ἐπιστολ. πρὸς Τιμόθ.*)

— *Οἱ δυνάσται, εἰ θυμώδεις εἰσίν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται σοφίας* (*Παροιμ.*)

— *Οινος τὸ παρὰ Θεοῦ δῶρον, εἰς παραμυθίαν μὲν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν, ὅπλον δὲ νῦν γενόμενον ἀκολασίας τοῖς ἀσελγαίνουσιν.* (*Βασιλ.*)

— *Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρί, οὕτως ἀμετρία οἴνου, λογισμὸν καταβέννυσι σώφρονα.* (*Βασιλείου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Μέτρου ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος. (Γρ. Θεολ.)*

— *Ἀμαθίαν καὶ ἄλλως κρύπτειν ἔργον· ἐν οἴνῳ δὲ χαλεπώτερον. (Ἡρακλείτ.)*

— *Οἶνος πινόμενος πολὺς κακόν. (Θεόγνιδος)*

— *Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων. (Μενάνδρ.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΑ'.

### Περὶ μέθης.

*Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς ἐξανίστατο πρὸ τῆς μέθης· ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνα γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνούντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς διανοίας· πολλάκις γὰρ ὧν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. (Ἰσοκρ.)*

*Κλεόστρατος πρὸς τὸν εἰπόντα αὐτῷ οὐκ αἰσχύνῃ μεθύων; ἔφη· σὺ δὲ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶν;*

*Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ καὶ τὰ σίκερα διώκοντες! οἱ μένοντες τὸ ὀψέ! ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει· μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, καὶ τὰ ἔργα τοῦ Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτῶν οὐ κατανοοῦσι. (Ἡσαΐας)*

— *Νηστεία τὴν μέθην θεραπευσάτω. (Βασίλειος).*

— *Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους ἢ εἰς οἶκον πότου. (Σολομ. Ἐκκλησιαστ.)*

— *Πῶς ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ; (Ἀριστοφ.)*

— *Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐπὶ τῆς γλώσσης τοῦ μεθύοντος. (Διογενειαν. 8, 43).*

— *Ἀπὸ μὲν τῶν λειμώνων καὶ τῶν παραδείσων οὐδὲν οἰκαδε φέρομεν κακόν· ἀπὸ συμποσίων δὲ μέθην καὶ παραφροσύνην καὶ μυρία κακά. (Χρυσ. παρ' Ἰωάν. Δαμασκ. ἐν Παραλ. Στοιχ. τίτλ. Β'.)*

— *Τίνι οὐαί; τίνι θόρυβος, τίνι ἀηδία καὶ λέσχη; Τίνι συντρίμματα διηνεκῆ; Τίνι πελιδνοὶ οἱ ὀφθαλμοί; Οὐ τῶν χρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; (Παροιμ.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη· πᾶς δὲ ὁ συμπλεκόμενος τούτοις οὐκ ἔστι σοφός. (Παροιμ. κ'. 1).

— Ὥσπερ ἐργάτης μέθυσος οὐ πλουτισθήσεται, οὕτω καὶ ψυχὴ ἀγαπῶσα μέθην οὐ πληθύνει ἀρετάς, ἀλλὰ καὶ ἣν ἔχει ἀπολέσει. (Συμεὼν τοῦ Μεταφραστοῦ).

— Μέθυσος ἀνὴρ σβέννυσιν ἁγνείαν καὶ ἐξάπτει ἀκολασίαν. Φεῦγε τοίνυν ἀπὸ μέθης ὡς ἀπὸ ὄφεως· μεγάλα γὰρ κακὰ εἰργάσατο, καὶ πολλοὺς ἀπέκτεινεν. (Συμεὼν Μεταφραστοῦ).

— Μεθύων κυβερνήτης, καὶ πᾶς παντὸς ἄρχων, ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅ,τι ποτὲ ᾖ τὸ κυβερνώμενον ὑπ' αὐτοῦ.— Ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίγνεται. (Πλάτων).

— Πυθαγόρας ἐρωτηθεὶς ὑπό τινος οἰνόφλυγος, πῶς ἂν τοῦ μεθύειν παύσαιτο; ἔφη· εἰ συνεχῶς θεωρεῖ τὰ ὑπ' αὐτοῦ πραττόμενα.

— Ὁ αὐτὸς ἐρωτηθεὶς πῶς ἄν τις μὴ εἴη φιλοπότης; εἶπεν· εἰ πρὸ ὀφθαλμῶν ἔχοι τὰς τῶν μεθυόντων ἀσχημίας.

— Οὐκ ἂν μεθύσκοιτό τις, εἰ ὁρᾴη τοὺς μεθύοντας οἷα ποιοῦσιν. (Ἀναχάρσιδ.)

— Ἔτι τοίνυν τὸ μεθύειν πᾶς ἄνθρωπος αἰδήμων καὶ κόσμιος φυλάξαιτ' ἄν· μανίᾳ γὰρ ὁμόστοιχος μὲν ἡ ὀργή, κατ' ἐνίους, ἡ δὲ μέθη σύνοικος.—Οἰνώσεως καὶ μέθης διαφορὰν εἰρήκασιν, οἰνώσεως μέν, ἄνεσιν· μέθης δὲ φλυαρίαν· τὸ γὰρ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐπὶ τῆς γλώσσης ἐστὶ τοῦ μεθύοντος. (Πλουτάρχου).

Πικρία ψυχῆς οἶνος πολύς, πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα, ἐλαττῶν ἰσχύν, καὶ ποιῶν τραῦμα (Σειρὰχ λά').

Προσέχετε ἑαυτοῖς, μή ποτε βαρυνθῶσι ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ὑμῖν ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς (Λουκ. κά. 34).

Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μὴ ἐν κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας (Ρμ. ιγ'. 13—14).

Ἐργάτης μέθυσος οὐ πλουτισθήσεται (Σειράχ. έ. 11).

Φύγωμεν μέθην, τὴν πάνδημον πόρνην, τὴν ἀναισχυντίας μητέρα, τὴν φιλόγελων, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἀσχημοσύνην ἰδίαν εὔκολον· οὐ γὰρ ἐγγίνεταί τι τῶν ἀγαθῶν τῇ ὑπὸ μέθης σκοτισθείσῃ ψυχῇ (Βασιλ. ὁμ. β'. περὶ μέθης).

Μέθη λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορά, γῆρας ἄωρον, ὀλι-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γοχρόνιος θάνατος· τί γὰρ ἄλλο εἰσὶν οἱ μεθύοντες, ἢ τὰ εἴδωλα τῶν ἐθνῶν; ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν, ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι, χεῖρες παραλέλυνται, πόδες ἀπενεκρώθησαν· τίς ὁ ταῦτα ἐπιβουλεύσας; τίς ὁ τούτων τῶν κακῶν αἴτιος; τίς ὁ τῆς μανίας ὑμῖν τὸ φάρμακον ἐγκεράσας; ἄνθρωπε, παράταξιν ἐποίησας τὸ συμπόσιον· ἐκβάλλεις τοὺς νεανίσκους χειραγωγουμένους ὡς τραυματίας ἀπὸ πολέμου· ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος ἀπὸ τοῦ οἴνου· καὶ καλεῖς μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβάλλεις δὲ νεκρόν, οἴνῳ τὴν ζωὴν αὐτοῦ κατασβέσας· ὅταν νομισθῶσι διακορεῖς εἶναι τοῦ οἴνου, τότε τοῦ πίνειν ἔρχονται, καὶ πίνουσι τῷ τῶν κτηνῶν τρόπῳ (τοῦ αὐτοῦ αὐτόθι).

Μέθη Κύριον οὐχ ὑποδέχεται, πνεῦμα ἅγιον ἀποδιώκει· καπνὸς μὲν γὰρ φυγαδεύει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη (τοῦ αὐτοῦ ὁμ. ά.)

Μέθη ἀθεότητός ἐστιν ἀρχή, σκότωσις οὖσα τοῦ ἡγεμονικοῦ, δι' οὗ μάλιστα Θεὸς ἐπιγινώσκεσθαι πέφυκε (αὐτόθι).

Τοῖς ἐν μέθῃ καὶ ἀκολασίᾳ βιοῦσιν, ἡ ἡμέρα πρὸς τὸ τῆς νυκτὸς μεταστρέφεται σκότος, οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλὰ τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ (Χρυσοστ.).

Ἀγνοεῖς, ὅτι περ ὁ τοῖς δούλοις τοῦ Θεοῦ ἐμπαροινῶν, εἰς αὐτὸν τὸν Χριστὸν ἁμαρτάνει, καὶ τιμωρίας αἰωνίου ἔνοχον ἑαυτὸν καθίστησι; (τοῦ αὐτοῦ).

Μέθη γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἔκστασις τῶν ὀρθῶν λογισμῶν καὶ παραφροσύνη, καὶ τῆς κατὰ ψυχὴν ὑγιείας ἀναίρεσις.

Εὐτραπελία ἔλεγχός ἐστι τοῦ ἀκολάστου καὶ μεθύσου ἀνθρώπου, γελωτοποιΐα εἰς ῥᾳθυμίαν κατενεχθῆναι ποιεῖ· γελωτοποιΐα καταφρονήσεως πρόφασις· διὰ τοῦτο ὁ μακάριος Ἀπόστολος ἀπαγορεύει, λέγων· μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλα μᾶλλον εὐχαριστία· τοῦτο λέγων, ὅτι τὴν εὐθυμίαν μὴ πρόφασιν κτήσασθε ῥᾳθυμίας· ἀλλ' εὐχαριστίας ὑπόθεσιν πρὸς τὸν δεδωκότα· διὰ τοῦτο μαρτυρεῖ μὲν Ἰὼβ ὑπὲρ ἑαυτοῦ λέγων, Εἰ δὲ καὶ ἥμην πεπορευμένος μετὰ γελοιαστῶν· ἐπιπλήττει δὲ τῷ φιλογέλωτι τρόπῳ Σολομών, ἀγαθόν, φησι, θυμὸς ὑπὲρ γέλωτα, ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία· καρδία σοφῶν ἐν οἴκῳ πένθους, καρδία δὲ ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης· ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφῶν, ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων (αὐτόθι σελ. 808).

Μὴ ἴσθι οἰνοπότης· πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει (Παροιμ. κγ'. 20).

*Ὃς ἐστιν ἡδὺς ἐν οἴναν διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμιαν (αὐτόθι ιβ΄. 11).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΒ΄.

### Περὶ θεάτρων.

*— Ποῖον κέρδος νηστεύοντες ἔξομεν; εἰς τὰ θέατρα παρανομίας ἀναβαίνειν, εἰς τὸ κοινὸν τῆς ἀσελγείας διδασκαλεῖον εἰσιέναι, εἰς τὸ δημόσιον τῆς ἀκολασίας γυμνάσιον; ἐπὶ τὴν καθέδραν τῶν λοιμῶν . . . . . τὸ πονηρότατον ἐκεῖνο χωρίον καὶ νοσημάτων γέμον παντοδαπῶν· τὴν Βαβυλωνίαν κάμινον· καθάπερ γὰρ εἰς κάμινόν τινα, τὸ θέατρον, τὴν πόλιν, ἐμβαλὼν ὁ διάβολος, οὕτω κάτωθεν ὑποκαίει.*

### Περὶ χορῶν, καὶ μουσικῶν ὀργάνων.

*— Κινεῖς πόδας καὶ ἐξάλλῃ ἐμμανῶς; καὶ χορεύεις ἀχόρευτα; δέον τὰ γόνατα κάμπτειν ἐπὶ τὴν προσκύνησιν; τίνας ὀδύρωμαι; τὰς κόρας τὰς ἀπειρογάμους ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; αἱ μὲν γὰρ ἐπανῆλθον τὴν παρθενίαν οὐκ ἔχουσαι, αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον. (Βασιλ. ὁμιλία κατὰ μεθυόντων).*

*— Σχολεῖον τοῦ διαβόλου ὁ οἶκος ὅπου γίνονται οἱ ἄσεμνοι χοροί. Διδάσκαλος ὁ διάβολος, ὑποδιδάσκαλοι οἱ λοιποὶ δαίμονες, πρωτόσχολοι ἑρμηνευταὶ καὶ ὑπαγορευταὶ οἱ τραγῳδισταί, οἱ χορευταί, καὶ οἱ κρούοντες τὰ ὄργανα, μαθηταὶ οἱ δυστυχεῖς χριστιανοί, μαθήματα πορνεῖαι, μοιχεῖαι, ἀσέλγειαι, μέθαι, κῶμοι, γέλωτες, ἀρσενοκοιτεῖαι, αἰσχρολογίαι, μωρολογίαι, ἀσωτεῖαι, καὶ κάθε μάθημα ἀκολασίας ἢ στάδιον ἀγῶνος Σατανικοῦ ἡ δυστυχὴς ἐκείνη οἰκία, ἀγωνοθέτης δὲ καὶ στεφανοδότης ὁ Σατανᾶς, θεαταὶ τοῦ ἀγῶνος εἶναι ὅλοι οἱ δαίμονες οἱ ὁποῖοι βλέπουν καὶ χαίρονται· παλαισταὶ καὶ ἀγωνισταὶ οἱ χορευταὶ καὶ τραγῳδισταὶ καὶ ὀργανισταί· στεφανωθεὶς δὲ καὶ ἄξιος τοῦ βραβείου ὁ χορεύσας ἢ τραγωδήσας ἀσεμνότερα καὶ εὐχαριστήσας τοὺς πάντας καὶ νικήσας τοὺς ἀξίους· στέφανος δὲ ἡ ἁμαρτία, ἆθλον καὶ βραβεῖον ἡ αἰώνιος κόλασις. (Νικόδημος Ἁγιορείτης.)*

*— Νηστεία τὴν μέθην θεραπευσάτω· ψαλμὸς τὴν αἰσχρὰν μελῳδίαν· δάκρυον γενέσθω τοῦ γέλωτος ἴαμα, ἀντὶ τῆς ὀρχήσεως τὸ γόνυ κλινέσθω, ἀντὶ τοῦ κρότου τῶν χειρῶν τὸ στῆθος τυπτέσθω, ἀντὶ τοῦ κόσμου τῆς ἐσθῆτος ἡ ταπείνωσις· καὶ ἐπὶ πᾶσιν ἡ ἐλεημοσύνη ἐξαγοραζέτω σε ἀπὸ τῆς ἁμαρτίας. (Βασίλειος.)*

*— Οὐαὶ οἱ κροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων! ὡς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα. Οὐαὶ οἱ πίνοντες τ*
*διϋλισμένον οἶνον καὶ τὰ πρῶτα μῦρα χριόμενοι· οὐαὶ οἱ μετὰ*
*θάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνο*
*τες.* (Ἡσαΐας.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΓ'.

### Περὶ ἀσώτων.

— *Ἀναλωτὴς ὡς ἐν κηρίῳ κηφὴν ἐγγίνεται, σμήνους νόσημ*
*οὕτω καὶ ὁ τοιοῦτος ἐν οἰκίᾳ κηφὴν ἐγγίνεται νόσημα πόλε*
*Τοὺς μὲν πτηνοὺς κηφῆνας πάντας ἀκέντρους ὁ Θεὸς πεποίη*
*τοὺς δὲ πεζοὺς τούτους, ἐνίους μὲν αὐτῶν ἀκέντρους, ἐνίους*
*δεινὰ κέντρα ἔχοντας· καὶ ἐκ μὲν τῶν ἀκέντρων πτωχοὶ πρὸς*
*γῆρας τελευτῶσιν· ἐκ δὲ τῶν κεκεντρωμένων πάντες ὅσοι κέκλη*
*ται κακοῦργοι.* (Πλάτων Πολιτ. Η'.)

— *Ὁ ἄσωτος οὐ μοχθηρὸς τὸ ἦθος, ἀλλ' ἠλίθιος.* (Ἀριστο

— *Μὴ δαπανᾶν παρὰ καιρόν, μηδ' ἀνελεύθερος ἴσθι· μέτρ*
*δ' ἐπὶ πᾶσιν ἄριστον.* (Πυθαγόρ.)

— *Μηδέποτε εἰς μάτην χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ*
*οὐδεμία προσγίνεται εὔκλεια.* (Δίωνος Χρυσοστόμ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΔ'.

### Περὶ ὕπνου καὶ ἐνυπνίων.

(Ἴδε τομ. Α' κεφ. ΣΙΔ'.)

— *Ἐνδύεται διερρηγμένα καὶ ρακώδη πᾶς ὑπνώδης.* (Σολο

— *Ὡς ὁ δρασσόμενος σκιᾶς, καὶ διώκων ἀνέμους, οὕτως ὁ π*
*σέχων ὀνείροις.* (Σειράχ.)

— *Βιωτικῶν πραγμάτων μέριμνα ἀφιστᾷ ὕπνου.* — *Πεφύκ*
*γάρ πως αἱ καθ' ὕπνον φαντασίαι ὡς τὰ πολλὰ ἀπηχήματα εἶ*
*τῶν μεθημερινῶν φροντίδων· ὁποία γὰρ ἂν ᾖ τὰ κατὰ τὸν β*
*ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια.* —
*κατ' ὄναρ ἰδεῖν τὰ ποθούμενα, φέρει τοῖς ἀγαπῶσι παραμυθ*
(Βασιλείου.)

— *Μὴ σφόδρα ἔπεσθαι παιγνίοις ἐνυπνίων,*
*Μὴ εὐπτόητον εἰς ἅπαντ' ἔχειν φρένα.*
*Μηδὲ πτεροῦ μοι δεξιοῖς φαντάσμασι·*
*Λόχος τάδ' ἐστι πολλάκις τοῦ δυσμενοῦς.*
*Πλουτοῦσι μωροὶ τοῖς ὀνείρασι πλέον,*
*Ἢ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.* (Γρηγ. τοῦ Θεολόγ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ τοῖς ὀνείρασι πιστεύων εἰς ἅπαν ἀδόκιμος. — Ὕπνος οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος πρόσκαιρος καὶ ἐφήμερος τελευτή. (*Χρυσοστόμου.*)

— Ὁ τοῖς ὀνείροις προσέχων, ἔοικε τῷ τὴν σκιὰν αὐτοῦ καταδιώκοντι. (*Ν.*)

— Τὸ πέραν καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἢ τοῖς ζῶσιν ἁρμόδιον. (*Αἰσχίνου,*)

— Ὕπνος ἐστὶν ὥσπερ τελώνης, τὸν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον. — Ὥσπερ ἡ πολυποσία συνήθεια εἴρηται, οὕτω καὶ ἡ πολυϋπνία· χαλεπὸν οὖν συνήθειαν μακρὰν ἰάσασθαι. (*Φίλωνος.*)

— Οἱ δοῦλοι τῶν δεσποτῶν ἐπιλανθάνονται καθεύδοντες· τοῖς πεδήταις ἐπιλαφρύνει τὸν δεσμὸν ὁ ὕπνος· φλεγμοναὶ περὶ τραύματα καὶ νομαὶ σαρκὸς θηριώδεις καὶ περιωδυνίαι κοιμωμένων ἀφίστανται. — Μόνον ἐδωκαν ἡμῖν οἱ θεοὶ προῖκα τὸν ὕπνον. — Τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδωκαν ἡμῖν καὶ ἀνάπαυσιν. (*Πλουτάρχου.*)

— Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. (*Ὁμήρου.*)

— Μάθε, ἄνθρωπε, τίς εἶ· θνητὸς εἶ· ὕπνῳ δουλεύεις· διὰ τί τὰ ὑπὲρ σὲ φαντάζῃ ; ἡ γὰρ νὺξ κατανυγή ἐστιν· ἀμέλει κεῖται ὁ ἄνθρωπος ἐν νυκτὶ οὔτε νεκρός, οὔτε ζῶν· ἐρώτησον αἱρετικόν. — Τί ἐστί ; ζῶν, ἢ νεκρός ; καὶ ἐὰν μὲν εἴπῃ, ζῶν, εἰπέ, διὰ τί οὖν οὐκ αἰσθάνεται τῶν λαλούντων ἢ περιπατούντων ; ἐὰν δὲ εἴπῃ, ὅτι νεκρός· εἰπέ· πῶς οὖν ἀναπνεῖ ; τὸ γὰρ ἐμπνέον οὐκ ἔστι νεκρόν· τὸ μὴ αἰσθόμενον οὐκ ἔστι ζῶν· σαυτὸν οὐ βλέπεις, ἀλλὰ τὰ ὑπὲρ σὲ φαντάζῃ ; . . .

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΕ'.

### Περὶ χρημάτων.

— Οὔ τοι οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὡς ἀνιαρὸν τὸ ἀποβάλλειν (*Ξενοφ. Κύρ. Παιδ. 8, 3, 42.*

— Προτιμοτέρα ἡ σωτηρία τῶν χρημάτων (*Σωπάτ.*).

— Χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω.
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
Ἢ ὅγ' ἀπὸ γλώσσης λῃΐσσεται, οἷά τε πολλὰ
Γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
Ἀνθρώπων, αἰδὼ δέ τ' ἀναιδείη κατοπάζῃ·
Ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκοι
Ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
(*Ἡσιόδ. ἔργ. 320*).

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

— *Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,*
*Κύρν', ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται* (*Θεόγν. 149*).

— *Τιμωρήσασθε (τοὺς υἱεῖς) ἐὰν ὑμῖν δοκῶσι χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς καὶ ἐὰν δοκῶσί τι εἶναι μηδὲν ὄντες* (*Πλάτ. Ἀπολογία*).

— *Χρυσοῦ λαλοῦντος ἅπας ἄπρακτος λόγος.*

— *Οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος*
*κακὸν νόμισμ' ἔβλαπτε, τοῦτο καὶ πόλεις*
*πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησι δόμων·*
*τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας*
*χρηστὰς πρὸς αἰσχρὰ πράγματ' ἵστασθαι βροτῶν,*
*πανουργίας δ' ἐδίδαξεν ἀνθρώπους ἔχειν*
*καὶ παντὸς ἔργου δυσέβειαν εἰδέναι* (*Σοφοκλέους*).

— *Κτᾶσθαι μὲν τὰ χρήματα ὡς χρῷτο, χρῆσθαι δὲ ὡς τιμῷτο* (*Γοργία.*)

— *Ὃς ἂν τὰ πλεῖστα κτᾶσθαί τε δύναται σὺν τῷ δικαίῳ καὶ χρῆσθαι πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω κατὰ χρήματα.* (*Ξενοφῶντος.*)

— *Οὐδὲ τ' ἀργύριόν ἐστι χρῆμα, εἰ μή τις ἐπίσταται χρῆσθαι αὐτοῦ.* (*Ξενοφῶντος.*)

— *Οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίγνεται ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τ' ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα· καὶ ἰδίᾳ καὶ δημοσίᾳ.* (*Πλάτωνος.*)

— *Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσθαι.* (*Πυθαγόρ.*)

— *Τὸ ἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς. Ὅστις δὲ μὴ ἔχει τοῦτο, μηδ' ἐκτήσατο, οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.* (*Τιμοκλέους τοῦ Κωμικοῦ.*)

— *Οὐ γὰρ δὴ δέος γε μή, χρημάτων καταφρονῶν, καὶ τὴν σωφροσύνην ἀσκῶν, ἄτοπόν τι πράξῃ· πάντα γάρ, ἃ τολμῶσιν ἀδίκως ἄνθρωποι φιλοχρηματίας ἀναπειθούσης, ἢ γοητευούσης ἡδονῆς, πράττουσιν.* (*Γαληνοῦ.*)

— *Χρήματα δ' ἰμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι οὐκ ἐθέλω. Πάντως ἦλθε δίκη.* (*Σόλωνος.*)

— *Τὰ χρήματα οὐκ ἴδια κέκτηνται βροτοί,*
*τὰ τῶν θεῶν ἔχοντες ἐπιμελούμεθα.*
*Ὅταν δὲ χρήζωσ' αὐτὰ ἀφαιροῦνται πάλιν.* (*Εὐριπίδου.*)

— *Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκειν φίλους*
*Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.* (*Εὐριπίδου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Περὶ κέρδους, ζημίας καὶ αἰσχροκερδείας.

— *Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ.* (*Ματθαῖος.*)

— *Οὐδεὶς ποτε τοῦ κερδαίνειν κόρος, ἀλλὰ τὸ ἀεὶ λαμβανόμενον ὕλη καὶ ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται.* (*Γρηγορίου Νύσσης.*)

— *Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διὰ παντός.* (*Δημοκρίτου.*)

— *Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς καλὰς ἀναλίσκοντες λειτουργίας, ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσιν.* (*Πλουτάρχου.*)

— *Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. — Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων. Ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις. — Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νόμιζε, τὸ δὲ ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν, ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ μετ' ἀρετῆς γίγνεται, τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας. — Οἱ εἰωθότες τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων κτημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ἐκεῖνοι δὲ πλουτοῦσι, λίαν ἔδοξεν εἶναί μοι καταφανεῖς, οὐ δόσιν ἀλλ' ἐμπορίαν ποιούμενοι· καὶ πολὺ τεχνικώτερον αὐτοὶ πωλοῦντες, τῶν ὁμολογούντων καπηλεύειν.* (*Ἰσοκράτους.*)

— *Τὰ πονηρὰ κέρδη, τὰς μὲν ἡδονὰς ἔχει μικράς, τὰς δὲ λύπας μακράς* (*Διφίλου.*)

— *Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,*
*ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν. —*
*Πολλοῖσι γὰρ*
*κέρδη πονηρὰ ζημίαν ἠμείψατο.* (*Εὐριπίδ.*)

— *Ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς*
*τοῦ δυστυχεῖν νόμιζέ σ' ἀρραβῶν, ἔχειν.* (*Μενάνδρ.*)

— *Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.* (*Ἀντιφάνους.*)

— *Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης.* (*Δημοκρίτου.*)

— *Τὰ γὰρ δόλῳ τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.* (*Σοφοκλ.*)

— *Ἃ γὰρ μόλις ῥυπαροῖς κέρδεσι διὰ μακροῦ χρόνου κτᾶται τὸ ἀγοραῖον ἐκ τοῦ παραυτίκα παραγίνεται βουληθέντι μόνον τῷ ἰσχυρῶς φρονοῦντι.* (*Φιλοθέου Πάρεργα.*)

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

— *Καὶ πρᾶγμα πάσχομεν κενόν, καὶ μανίας ἐγγύς· ἔνθα μὲν γὰρ ἡ δαπάνη φέρει τὸ κέρδος ἀνάριθμον καὶ σωτηρίαν ἀθάνατον συνέχομεν σφοδρῶς τὸ ἀργύριον, ὡς μηδὲ ὀλίγους ὀβολοὺς τῆς χειρὸς ἐκπεσεῖν. Ὅπου δὲ τὸ ἀνάλωμα, ἁμαρτιῶν γίνεται αἴτιον, αὐτοκέλευστοι ῥέομεν.* (*Ἀστερίου Ἀμασείας.*)

— *Οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν*
*Ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας*
*Ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.* (*Σοφοκλ. Ἀντιγ. 311.*)

— *Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.* (*Μενάνδρ.*)

— *Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.* (*Ἡσιόδ. Ἔργ. 350.*)

— *Αἱρετώτερόν ἐστι τὸ παρὸν κέρδος κρατεῖν, κἂν μικρὸν ᾖ, ἢ τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ.* (*Αἰσωπ. μῦθ. 20.*)

— *Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός.* (*Χίλων παρὰ Διογ. Λαερτίῳ, 1,70.*)

— *Οὐαὶ τῷ οἰκοδομοῦντι τὴν οἰκίαν αὐτοῦ οὐ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῶα αὐτοῦ οὐκ ἐν κρίματι, παρὰ τῷ πλησίον ἐργᾶται δωρεάν, καὶ τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσῃ αὐτῷ.*

— *Τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς . . . ψυχὴν πεινῶσαν μὴ λυπήσῃς· μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ . . . οἰκέτην θλιβόμενον μὴ ἀπαναίνου . . . καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΞς΄.

### Περὶ κάλλους.

*Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· λέγω γὰρ ὑμῖν ὅτι οὐδ' ὁ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλλετο ὡς ἓν τούτων.* (*Ματθ. ς΄.*)

*Βούλομαι τὰς γυναῖκας ἐν καταστολῇ κοσμίᾳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ.* (*Τιμ. 6.*)

*Μὴ σὲ νικήσῃ κάλλους ἐπιθυμία, μηδ' ἀγριευθῇς σοῖς βλεφάροις.* (*Σολομών.*)

*Κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῳ.* (*Σειράχ. κς΄.*)

*Μὴ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ, μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ.* (» ια΄)

*Κάλλος ἐστὶν τὸ ἐν τῇ συνθέσει τῶν μελῶν εὐάρμοστον, ἐπανθοῦσαν αὐτῷ τὴν χάριν ἔχον.* (*Βασιλείου.*)

*Κάλλος νόμιζε τὴν φρενῶν εὐκοσμίαν.* (*Θεολόγου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

*Οὐκ ἀπὸ τῆς διαπλάσεως, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς κοσμιότητος τὸ κάλλος χαρακτηρίζεται.* (*Χρυσοστ.*)

*Εἰς κάτοπτρον κύψας θεώρει· καὶ εἰ μὲν καλὸς φαίνῃ, ἄξια τούτου πράττε, εἰ δὲ αἰσχρός, τὸ τῆς ὄψεως ἐλλιπὲς ὡράϊζε καλοκαγαθία.* (*Πλουτάρχου.*)

*Αἴσωπος ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη, μὴ μου τὸ εἶδος ἀλλ' εἰς τὸν νοῦν πρόσεχε.* (»)

*Ὅταν τὸ κάλλος, φησί, ἐπικοσμῇ τρόπος χρηστός, διπλασίως ὁ προσιὼν ἁλίσκεται.* (*Μενάνδρ.*)

*Τὰ τῶν καλῶν φιλήματα φυλάττεσθαι δεῖ, ὥσπερ τὰ τῶν ἰοβόλων δήγματα* (*Σωκράτης.*)

*Διογένης θεασάμενος μειράκιον εὔμορφον, καὶ διὰ τοῦτο φιλούμενον, ἔφη, σπούδασον μειράκιων τοὺς τοῦ σώματος ἐραστὰς εἰς τὴν ψυχὴν μεταγαγεῖν.*

*Ὁ αὐτὸς θεασάμενος νεανίσκον καλλωπιζόμενον, ἔφη, εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας ἀδικεῖς.*

*Ἀριστοτέλης θεασάμενος μειράκιον ὡραϊζόμενον, ἔφη, οὐκ αἰσχύνῃ, ὅτι τῆς φύσεως ἄνδρα σε ποιησάσης, ἑαυτὸν τεθήλυκας ;*

*Ὁ αὐτός, νέου τινὸς εὐειδοῦς μὲν τὴν ὄψιν, ἀσελγοῦς δὲ τὸν τρόπον, λοιδορουμένου αὐτοῦ καὶ λέγοντος, εἰ ἐπίσης αὐτῷ ἐμισεῖτο ὑπὸ τῶν πολιτῶν, ἀπήγξατο ἄν· ἔφη ἐγὼ δε ἀπηγξάμην ἄν, εἰ ἐπίσης σοι τῶν πολιτῶν ἐφιλούμην.*

*Ἰσοκράτης ἔλεγεν, ἐὰν καλὸν ἔχῃς σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχειν ναῦν, καὶ κακὸν κυβερνήτην.*

*Ὁ αὐτὸς ἔλεγεν, καλὴν γυναῖκα ἐὰν ἴδῃς, μὴ θαυμάσῃς· τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.*

*Σιμοκάτου τήν τε θέαν, οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεῖρες μιμήσαιντο· ἦν γὰρ ὁ νεανίας εὐσθενής, ὄρθιος, τὸ περιστέρνιον λάσιος, οἱ δὲ ὀφθαλμοὶ δορκάδες αὐτῷ, τὸ δὲ βλέμμα, οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον τῇ ὑγρότητι, ἀλλ' ἀνδρεῖον καὶ πρᾶον ὁμοῦ, ἡ δὲ χροιὰ ἡ τοῦ σώματος, οὔτε πρὸς τὸ μελανώτερον μετεσκεύαστο, οὔτε πρὸς τὸ λευκότερον, ἡ δὲ θρὶξ ἠρέμα πως ἐκύμαινεν, ἐν τῇ οὐλότητι κυανίζουσα, αἱ δὲ παρειαί, οὔτε κατέρυθροι· γυναικῶδες γάρ, οὔτε πάλιν ὠχρότητι τὴν εὐπρέπειαν ἐπιστυγνάζον.*

*Λευκίππης ἔλεγεν. Κάλλος γὰρ ὀξύτερον τιτρώσκει βέλους, καὶ διὰ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν καταρρεῖ.*

*Δαυὶδ ἦν πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει Κυρίου.* (*Α. Βασιλειῶν ις 12.*)

*Ὡς Ἀβεσσαλὼμ οὐκ ἦν ἀνὴρ καλὸς ἐν παντὶ Ἰσραήλ, αἰνετὸς*

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

σφόδρα· ἀπὸ ἴχνους ποδὸς αὐτοῦ καὶ ἕως κορυφῆς οὐκ ἦν ἐν αὐτῷ μῶμος. (Β Βασιλ. ιδ'. 25.)

Ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός, οὕτω γυναικὶ κακόφρονι κάλλος. (Παροιμ. ια'. 12.)

Λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας, κάλλος προσώπου ἐν ἡλικίᾳ στασίμῃ. (αὐτόθι. κς'. 17.)

Κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον αὐτῆς.

Ὁ σήμερον εὐθαλὴς τῷ σώματι, αὔριον κατασεσαθρωμένος ἀπὸ τρυφῆς, ὁ ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, σφριγῶν καὶ σύντονος σήμερον, αὔριον αὐτὸς οὗτος ἐλεεινός, ἢ τῷ χρόνῳ ἀναλωθείς, ἢ νόσῳ μαρανθείς. (Βασιλείου.)

Ἐὰν αἰσχρὸς τὸ φαινόμενον ᾖς, ἔσο εὐφανὴς τὸ κρυπτόμενον, ὥσπερ ἐν κάλυκι ῥόδον ἀνθηρόν. (Ναζιανζοῦ.)

Σεμνυνόμενος ἐπὶ τῷ κάλλει, οὐκ αἰσχύνῃ ἐπὶ τῇ ὥρᾳ μέγα φρονῶν, ἣν παρακαταθήκην τοῦ μικροῦ χρόνου ἔχεις; (Χρυσοστ.)

Ὑς ἐν βορβόρῳ, οὕτω καὶ ψυχὴ μοχθηρὰ ὡραϊζομένου ἐν κάκλει. (Σειράχ.)

— Ὅπου ἂν ξυμπίπτῃ ἔν τε τῇ ψυχῇ καλὰ ἤθη ἐνόντα, καὶ ἐν τῷ εἴδει ὁμολογοῦντα ἐκείνης, καὶ ξυμφωνοῦντα, τοῦ αὐτοῦ μετέχοντα τύπου, τοῦτ' ἂν εἴη κάλλιστον θέαμα τῷ δυναμένῳ θεᾶσθαι. (Πλάτ. Πολιτειῶν Γ.)

— Μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. Μικρὰ γὰρ ἐν πετεινεῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκυσμάτων ὁ καρπὸς αὐτῆς.

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΖ'.

### Περὶ καλλωπισμοῦ.

— Καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν .... καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτὸς καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσοῦ φαλάκρωμα ἔξεις διὰ τὰ ἔργα σου· καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον. (Ἡσαΐ.)

— Ἔσο φιλόκαλος ἀλλὰ μὴ καλλωπιστής. (Ἰσοκράτους).

— Οὐ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν. (Λευϊτ. ιθ'.

— Τί γὰρ βούλεται ὁ πολὺς χρυσός; τοῖς ἐπὶ σκηνῆς ταῦτα ἁρμόττει. Ταῦτα τὰ φορήματα πορνῶν ἐστι γυναικῶν πάντα πρὸς τὸ θεαθῆναι ποιουσῶν· καλλωπιζέσθω ἐκείνη ἐπὶ τῆς σκηνῆς (τοῦ Θεάτρου) ἢ ἐπὶ τῆς ὀρχήστρας· πάντας γὰρ βούλεται πρὸς ἑαυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν ἐπισπάσασθαι· ἡ δὲ ἐπαγγελλομένη θεοσέβειαν μὴ οὕτω καλλωπιζέσθω, ἀλλὰ ἑτέρως· ἔχει γὰρ καλλωπισμὸν πολὺ ἐκείνης μείζονα. (Ἰ. Χρυσ, λόγ. κη΄. εἰς τὴν πρ. Ἑβραί.)

— Τί σοι ὄφελος τοῦ χρυσίου, γύναι; ἵνα καλὴ φαίνῃ καὶ ὡραία; ἀλλ' οὐδέν σοι τοῦτο εἰς τὸ κάλλος τῆς ψυχῆς· γενοῦ τὴν ψυχὴν εὔμορφος, καὶ ἔσει καὶ τὸ σῶμα ποθεινή. (Ἰ. Χρυσοστ. λόγ. α΄. «Μὴ φοβοῦ ὅταν πλουτήσῃ.»

— Ποῦ αἱ νῦν γυναῖκες; παραβάλλωμεν αὐτὰς τῇ Σάρρᾳ· ἆρα τοιαῦτα τὰ ἐπιτάγματα δέχονται; τοιαῦτα ἔργα; ἔκβαλέ μοι τῆς φιλοκόσμου γυναικὸς τὴν χεῖρα καὶ ὁρᾷς αὐτὴν κεχρυσωμένην ἔξωθεν, ἐνδοθεν δὲ πολιορκίαν κεκτημένην . . . ἔκβαλέ μοι τὴν χεῖρα σου, ὦ φιλόκοσμε γύναι, δεῖξον αὐτὴν τί ἐνδέδυται; πλεονεξίαν, ἁπληστίαν, φιλοπλουτίαν, ἁρπαγήν, ἀδικίαν· ἐκβαλῶ τὴν χεῖρα τῆς Σάρρας, τί ἐνδέδυται; φιλοξενίαν, ἐλεημοσύνην, ἀγάπην, φιλοπτωχίαν, ὦ καλῆς δεξιᾶς . . . . συμπαράβαλλε καὶ τὰς νῦν γυναῖκας. (Χρυσοστόμ.)

— Τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς διανοίας κόσμος. (Αἰσώπ. μῦθ. Β)

— Κάλλος μὴ σωφρονοῦν τοῖς κεκτημένοις καθέστηκεν ὄνειδος. (Αἰσ. μῦθ. 212)

— Ἄχαρι τέρπει κάλλος, ἀλλ' οὐ κατέχει.
Δελήτιον καθώσπερ ἀγκίστρου δίχα. (Νικήτ. Εὐγενειαν. 8, 105)

— Κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλλει πτερόεντος ὀϊστοῦ·
Ὀφθαλμὸς δ' ὁδός ἐστιν ἀπ' ὀφθαλμοῖο βολάων
Ἕλκος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει. (Μουσαῖος.)

— Ἡγοῦ τὴν τοῦ σώματος εὐμορφίαν ψυχῆς εἶναι ἔργον σώματι χαριζομένης δόξαν εὐμορφίας . . . . Ἀλλὰ μὴν οὐδὲν τῶν ἄλλων κινδύνων γένεσίς ἐστιν, ἀλλα μόνου τοῦ σώματος· τὰ μὲν γὰρ τῆς ψυχῆς κάλλη, καὶ σωτηρίας ἐλπίδες εἰσὶ φρόνησις, εὐσέβεια, δικαιοπραγία καὶ τὸ παιδείας εὐπρόσωπον κάλλος, οἴκου καὶ πόλεως καὶ ἐθνῶν ἀθόρυβος εἰρήνη διατελεῖ γινομένη ἡ δὲ γυναικῶν εὐμορφία, ἀφορμὴ τοῖς πάθεσι καὶ ταῖς ἐπιθυμίαις. (Πλουτάρχου.)

— Διογένης τοὺς εὐειδεῖς καὶ ἀνοήτους ὁμοίους, ἔφη, εἶναι ἀλαβάστροις ἔχουσιν ὄξος.

— Τὰ καλὰ καὶ ἀγαθά, οὐ διὰ τὰς ὡραιότητας τῶν ὄψεων, ἀλλὰ διὰ τὰς ἐν τῷ βίῳ ἀρετὰς τοῖς ἀνθρώποις ἐπαύξεται.

— Αἴσωπος πρὸς τὸν κάλλει κακῶς κεχρημένον εἶπεν· ὁποίῳ ἱματίῳ ἡμφιεσμένος, κακῶς αὐτὸ ἀποδύῃ!

— Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος γέρων ἀλαζὼν καὶ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν εἰπόντος οὖν ἐκείνου ὑπὲρ ὧν ἀφικετο· ἀναστὰς ὁ Ἀρχίδαμος ἔφη. Τί ἂν οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει ; (Πλουτάρχου.)

— Μὴ ὄσφρησιν ἐκθηλύνωμεν, μὴ τιμήσωμεν μύρων πολυτελείας. (Γρηγ. Θεολόγ.)

— Καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι, ὡς τὸ ἑταιρεῖν, ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν.

— Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. (Παύλ. Ἐπιστολ.)

— Ὧν ἔστω, οὐ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος. (Πέτρου ἐπιστολ.)

— Οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσί. (Ματθ.)

— Εἰδές τινα μεγαλοφρονοῦντα ; ἐσθῆτα ἄνθινην περιβεβλημένον ; σηρικοῖς νήμασιν ἠμφιεσμένον ; οἰκέτας ἔχοντα ; καταφρόνησον. (Μ. Βασιλείου.)

— Βλέπεις, φησίν, ἄνθρωπον σηρικὰ φοροῦντα ἱμάτια ; κατάγελασον αὐτοῦ. (Ἰ Χρυσ.)

— Μὴ ἐσθῆτι μαλακισθῶμεν ἁπαλῇ τε καὶ περιρρεούσῃ, καὶ ἧς τὸ κάλλιστον ἀχρηστία. (Γρηγ. Θεολ.)

— Ὑψηλῷ τραχήλῳ πορευόμεναι καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, σκανδαλίζουσι τοὺς θεωροῦντας ἄνδρας καὶ εἰς ἔρωτας τούτους διερεθίζουσι· κατὰ τὸν ὅμοιον τρόπον καὶ οἱ ἐστολισμένοι ἄνδρες σκανδαλίζουσι τὰς γυναῖκας. (Ἡσαΐας.)

— Ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον· ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν καὶ ἐκ τούτου φιλία ὡς πὺρ ἀνακαίεται, ὅτι ἐκ τοῦ ὁρᾶν τίκτεται τὸ ἐρᾶν. (Σειράχ.)

— Οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας. (Εὐριπ. Ἀνδρομ. 206.)

— Νοῦν χρὴ θεᾶσθ'· οὐδέν τι τῆς εὐμορφίας
ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ. (Εὐριπιδ. Οἰδίπους.)

— Κάλλος ἀνθρώπων χαρακτηρίζεται οὐκ ἀπὸ τῆς διαπλάσεως ἀλλ' ἀπὸ τῶν τρόπων, καὶ τῆς κοσμιότητος. (Ἰωάν. Χρυσοστόμ.)

— Οὐδὲν ἐξαρκεῖ πλοῦτος ταῖς γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος, οὐδ' ἂν ἐκ ποταμῶν ἐπιρρέῃ. Ὅταν σπουδάζηται παρ'

αὐταῖς μὲν τὸ βαρβαρικὸν μύρον, ὡς τὸ ἐξ ἀγορᾶς ἔλαιον· τὰ δὲ ἐκ θαλάττης ἄνθη ἢ κόχλος, ἢ πίννα ὑπὲρ τὸ ἑκ τῶν προβάτων ἔριον· χρυσὸς δὲ περισφίγγων τοὺς βαρυτίμους τῶν λίθων, ὁ μέν τις αὐταῖς προμετωπίδιος γίνεται κόσμος, ὁ δὲ περιαυχένιος, καὶ ἄλλος ἐν ταῖς ζώναις καὶ ἄλλος τὰς χεῖρας δεσμεῖ καὶ τοὺς πόδας· χαίρουσι γὰρ αἱ φιλόχρυσοι δεδεμέναις ταῖς χειροπέδαις, μόνον ἐὰν ὁ χρυσὸς ὁ δεσμεύων αὐτὰς ᾖ· πότε οὖν ψυχῆς ἐπιμελήσεται ὁ γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος ; ὥσπερ γὰρ τὰ ὑπόσαθρα τῶν πλοίων καταιγίδες καὶ ζάλαι, οὕτως αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν. (*Βασίλειος.*)

— *Θέλεις εὐπρεπὴς φαίνεσθαι ; περιβαλοῦ ἐλεημοσύνην, περιβαλοῦ φιλανθρωπίαν, περιβαλοῦ σωφροσύνην, ἀτυφίαν· ταῦτα πάντα χρυσοῦ τιμιώτερα, ταῦτα καὶ τὴν ὡραίαν εὐπρεπεστάτην ποιεῖ καὶ τὴν ἄμορφον ὡραίαν, τὴν δὲ πονηρὰν καὶ κάλλος ἔχουσαν οὐ δύναταί τις εἰπεῖν.* (*Χρυσόστομος.*)

— *Μετὰ γὰρ τῆς ἀρετῆς τῆς ἐν τῇ ψυχῇ καὶ τὰ σώματα ταῖς παρθένοις τὸ παλαιὸν πολλῆς μετεῖχε τῆς εὐεξίας· ἤδη δὲ ταύτης διαφθαρείσης κακείνη συναπωλέσθη.*

— *Μή σε Θεὸς τοίοισιν ἀμείψηται χαλεπήνας·*
*Τίς, πόθεν ὁ πλάστης ; ἔρρε μοι ἀλλοτρίη·*
*Οὐ σ' ἔγραψα κύων, ἀλλὰ σ' ἔπλασα εἰκὼν ἐμοῖς.*
*Πῶς εἴδωλον ἔχω, εἶδος ἀντὶ φίλου ;* (*Γρηγ. Θεολόγ. κατὰ γυναικῶν.*)

— *Τὸ διεστραμμένον οὐ δυνήσεται κοσμηθῆναι· τίς δυνήσεται κοσμῆσαι, ὃν ἂν ὁ Θεὸς διαστρέψῃ ;* (*Ἐκκλησιαστ.*)

— *Βούλει ἀρέσαι τῷ ἀνδρί ; τοῦτο αὐτὸν μᾶλλον λυπεῖ· καὶ οὐκ αὐτόν μόνον ἀλλὰ καὶ τοὺς ἔξω κατηγόρους παρασκευάζεις γενέσθαι· βούλει νέα φαίνεσθαι ; τοῦτο σὲ ταχέως εἰς γῆρας ἄξει· βούλει καλλωπίζεσθαι ; τοῦτο σὲ αἰσχύνεσθαι ποιεῖ.* (*Ἰω. Χρυσοστ. ὁμιλ. εἰς Ματθ.*)

— *Τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον· οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστί.* (*Ξενοφῶντος.*)

— *Κάλλος μετὰ σωφροσύνης θαυμάζεται· ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψεν.* (

— *Ἐπὶ γυμνῷ κάλλει σαλεύων ἔρως ὀλιγοχρόνιος.* (*Φιλοθ. Πάρεργα.*)

— *Διογένης ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι· εἰ δὲ πρὸς τοὺς νεκρούς, μὴ βράδυνε.*

— *Μὴ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι.*

. . . . . .

*Μηδὲ Θεοῦ μορφὰς ἐπαλείφετε χρώμασιν αἰσχροῖς,*
*ὥστε προσωπεῖα κούχὶ πρόσωπα ἔχειν.* (*Γρηγ. Θεολ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΗ'.

### Περὶ εὐκαιρίας καὶ ἀκαιρίας.

*Ἡ οὖν Μαρία λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πο*
*μου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἀπέμαξε ταῖς θριξὶ*
*τῆς τοὺς πόδας αὐτοῦ . . . . . λέγει οὖν Ἰσκαριώτης . . . διατί*
*τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτω*
*Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν. . . τοὺς πτωχοὺς γὰρ πά*
*ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.* (*Ἰωάννης.*)

*Μικραὶ χάριτες ἐν καιρῷ μέγισταί εἰσιν τοῖς λαμβάνουσι*
*τας ἐν περιπτώσει.* (*Δημόκριτος.*)

— *Ὡς μέγα τὸ μικρὸν ἐν καιρῷ διδόμενον.*

*Ὁρᾷς γὰρ ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα ἐὰν μέν τις*
*φέρῃ πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται· κεκορεσμένοις δὲ καὶ βδ*
*μίαν παρέχει· ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φ*
*τερα ᾖ, πάνυ ἡδέα φαίνεται.* (*Πυθαγόρας.*)

*Οὐκοῦν γυνὴ ἄκαιρος, ἤν, παίζειν μὲν ὡρμημένου καὶ φιλ*
*νεῖσθαι τοῦ ἀνδρός, ἐσκυθρωπακυῖα ᾖ· σπουδάζοντος δέ, παί*
*καὶ γελῶσα : τὸ μὲν γὰρ ἀηδίας τὸ δὲ ἀειδίας.*

*Πᾶσαν ἔργου χάριν ἡ τῶν λόγων ἀκαιρία διαφθείρει καὶ*
*λυσιν.*

*Εὐδίᾳ γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφρο*
*λόγον ὀφρὺν ἀνασπῶντα καὶ συνιστῶντα τὸ πρόσωπον. Ἐ*
*καὶ κίνδυνον ἡ ἀκαιρία μέγαν.—Αὐτίκα γοῦν ὑγιαίνοντι μ*
*οὐ χαλεπός ἐστιν, οὐδ' ἄκαιρον παντάπασιν ἀνδρὶ φίλῳ φεύ*
*μὲν συνουσίας καὶ πότους αὐτοῦ, φεύγοντι δὲ ἀργίαν καὶ γ*
*σίαν καὶ λουτρὰ συνεχῆ καὶ πλησμονὰς ἀκαίρους· νοσοῦντι δ*
*ἀνεκτόν . . . Ὦ τῆς ἀκαιρίας ἄνθρωπε· διαθήκην γράφ*
*παρασκευάζεταί μοι καστόριον ἢ σκαμμώνιον ὑπὸ τῶν ἰατρῶ*
*δὲ νουθετεῖς καὶ φιλοσοφεῖς.* (*Πλούταρχος.*)

*Πάντα ἐν καιρῷ οὐ μόνον χάριν ἀλλὰ καὶ εὐστοχίαν ἔχει*
*γώμενα.* (*Ν. Δούκα.*)

*Μὴ περὶ τὰ γελοῖα σπούδαζε, μηδὲ περὶ τὰ σπουδαῖα τοῖ*
*λείοις χαῖρε. Τὸ γὰρ ἄκαιρον παντὶ χοῦ λυπηρόν.* (*Ἰσοκράτο*
*Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας. Ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν. Καὶ κεκλημένος εἰς γάμους τοῦ γυναικείου φύλου κατηγορεῖν, καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον· καὶ θέοντας καὶ ἀναλίσκοντας ἥκειν τόμον ἀπαιτήσων . . κτλ. (Θεοφρ.)

Ἡ γὰρ τελευταία χάρις κἂν ἐλάττων ᾖ, καιρὸν ἔχουσα δύναται μεῖζον ἔγκλημα λῦσαι. (Θουκυδ.)

— Τὸ ἄκαιρον παντὸς λυπηρόν. (Ἰσοκράτ.)

Δύο καιροὺς ποιοῦ τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. (Ἰσοκρ.)

— Προτρεπομένων αὐτὸν τῶν φίλων διαλεχθῆναι, ἔφη· ἐν οἷς μὲν ἐγὼ δεινὸς οὐχ ὁ νῦν καιρός, οἷς δὲ καιρὸς οὐκ ἐγὼ δεινός. (Ἰσοκρ.)

Ἐν συλλόγῳ μὴ πρῶτος λέγειν ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων εἴσει μᾶλλον τὰ συμφέροντα. (Κατων Ρωμαῖος.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΞΘ'.

### Περὶ τραπέζης λιτῆς καὶ εὐτελοῦς.

Ἡ μὲν γὰρ εὐτέλεια, καὶ ἡ λιτὴ τράπεζα, ὑγείας μήτηρ ἐστί· διὰ τοῦτο καὶ ἰατρῶν παῖδες οὕτως αὐτὴν ὠνόμασαν, τό γε μὴ κορένυσθαι ὑγείαν καλέσαντες· «ἀκορίη γὰρ τροφῆς ὑγιείη»· τό, τε ἐνδεῶς ἐστιᾶσθαι μητέρα ὑγείας εἰπόντες· εἰ δὲ ἡ ἔνδεια μήτηρ ὑγείας, εὔδηλον ὅτι ἡ πλησμονὴ μήτηρ νόσου καὶ ἀῤῥωστίας ἐστὶ καὶ τίκτει πάθη, καὶ αὐτῶν ὑπερβαίνοντα τῶν ἰατρῶν τὴν τέχνην· καὶ γὰρ ποδαλγίαι, καὶ καρηβαρίαι, καὶ ἀμβλυωπίαι, καὶ χειραλγίαι, καὶ τρόμοι, καὶ παρέσεις, καὶ ἴκτερος, καὶ πυρετοὶ μακροὶ καὶ φλογώδεις, καὶ ἕτερα τούτων πολλῷ πλείονα· οὐ γὰρ καιρὸς πάντα ἐπιέναι· οὐκ ὑπ' ἐνδείας καὶ φιλοσόφου διαίτης, ἀλλ' ἐξ ἀδηφαγίας καὶ πλησμονῆς τίκτεσθαι πέφυκεν· εἰ δὲ βούλει καὶ τῆς ψυχῆς τὰς νόσους ἰδεῖν τὰς ἐντεῦθεν φυομένας, ὄψει ὅτι πλεονεξίαι, βλακεῖαι, μελαγχολίαι, νωθεῖαι, ἀσέλγειαι, ἀμαθία πάντα ἐντεῦθεν ἔχει τὴν ἀρχήν· ὅνων γὰρ οὐδὲν ἄμεινον ἀπὸ τῶν τοιούτων τραπεζῶν αἱ τρυφῶσαι γίνονται ψυχαί, ὑπὸ τοιούτων διασπώμεναι θηρίων· εἶπω καὶ λύπας, ὅσας ἔχουσι καὶ ἀηδίας οἱ προσεδρεύοντες τῇ τρυφῇ; ἀλλὰ πάσας μὲν ἐπελθεῖν οὐ δυνατόν· ἑνὶ δὲ καὶ τούτῳ κεφαλαίῳ τὸ πᾶν ποιήσω φανερόν· τῆς γὰρ τραπέζης, ταύτης δὴ λέγω τῆς πολυτελοῦς, μεθ' ἡδονῆς οὐδέποτε ἀπαγορεύονται· ἡ μὲν γὰρ ἔνδεια, ὥσπερ ὑγείας, οὕτω καὶ ἡδονῆς μήτηρ ἐστίν· ἡ πλησμονὴ δέ, ὥσπερ νόσων, οὕτω καὶ ἀηδίας ἐστὶ πηγὴ καὶ

Δημόσιο Κεντρική Βιβλιοθήκη Ιστορίας

ρίζα· ἔνθα γὰρ ᾖ κόρος, ἐπιθυμίαν εἶναι οὐκ ἔστιν, ἐπιθυμίας δὲ οὐκ οὔσης, πῶς ἂν εἴη ποτὲ ἡδονή; διὰ τοῦτο οὐ μόνον συνετωτέρους καὶ ὑγιεινοτέρους τοὺς πενομένους τῶν πλουσίων εὕροιμεν ἄν, ἀλλὰ καὶ πλείονα καρπουμένους τὴν εὐφροσύνην ἅπερ πάντα ἐννοήσαντες, φύγωμεν μέθην τε καὶ τρυφήν, μὴ τὴν ἐν τραπέζαις μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν τὴν πράγμασι βιωτικοῖς· καὶ ἀντ' ἐκείνης ἀνταλλαξώμεθα τὴν ἀπὸ τῶν πνευματικῶν ἡδονήν, καὶ κατὰ τὸν προφήτην κατατρυφήσωμεν τοῦ Κυρίου· κατατρύφησον γὰρ τοῦ Κυρίου, φησί, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου· ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. (*Χρυσόστ. Τόμ. Η'. Σελ. 130.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΟ.

### Περὶ πόλεως ἀσεβείας πεπληρωμένης.

*Εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. (ψλ. νδ'. 10.)*

*Ἄνδρες ἀσεβεῖς ἐξέκαυσαν πόλιν. (Παροιμ. ιη'. 29.)*

*Οὐ μὴ ὑπάρξει ἐξηγητὴς ἔθνει παρανόμῳ. (αὐτόθι. κθ'. 18.)*

*Ὦ πόλις αἱμάτων, ὅλη ψευδής, πλήρης ἀδικίας. (Ναούμ. γ'. 1.)*

*Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς· ἐγώ εἰμι, καὶ οὐκ ἔσται μετ' ἐμὲ ἔτι· πῶς ἐγεννήθη εἰς ἀφανισμὸν νομὴ θηρίων; πᾶς ὁ πορευόμενος δι' αὐτῆς συριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. (Σοφον. β'. 15.)*

*Ὦ πόλις ἐργαζομένη μάταια. (Ὡσ. ς'. 8.)*

*Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ. (Ἡ ι'. 17.)*

*Ἀσεβῶν πόλις εἰς τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. (αὐτόθι. κε'. 2.)*

*Ἄκουσον ταῦτα ἡ τρυφερά, ἡ καθημένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς, ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα, οὐ καθιῶ χήρα, οὐδὲ γνώσομαι ὀρφανίαν. (αὐτόθι μζ'. 8.)*

*Ὦ πόλις ψευδής, ὅλη καταδυναστεία ἐν αὐτῇ· ὡς ψύχει λάκκος ὕδωρ αὐτοῦ, οὕτω ψύχει κακία αὐτῆς· ἀσέβεια καὶ ταλαιπωρεία αὐτῆς ἀκουσθήσεται ἐν αὐτῇ διαπαντός. (Ἱερ. ς'. 6.)*

*Πατέρα καὶ μητέρα ἐκακολόγουν ἐν σοί, καὶ πρὸς τὸν προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί· ὀρφανὸν καὶ χήραν κατεδυνάστευον ἐν σοί, καὶ τὰ ἅγιά μου ἐξουθένουν· ἄνδρες λῃσταὶ ἦσαν ἐν σοί· ἀνόσια ἐποίουν ἐν μέσῳ σου· ἕκαστος εἰς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἠνόμησε· δῶρα ἐλάμβανον ἐν σοί, ὅπως ἐκχέωσιν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἷμα· τόκον καὶ πλεονασμὸν ἐλάμβανον ἐν σοί· ἐμοῦ δὲ ἐπελάθοντο λέγει Κύριος. (Ἰεζεκ. κβ'. 7—12.)

Εἰσὶ πόλεις παντοδαποῖς θεάμασι θαυματοποιῶν ἀπὸ βαθέος ὄρθρου μέχρις ἑσπέρας αὐτῆς ἑστιῶσαι τὰς ὄψεις, καὶ μέντοι καὶ μελῶν τινων κεκλασμένων καὶ διεφθαρμένων παντάπασι, πολλὴν ἀκολασίαν ταῖς ψυχαῖς ἐντικτόντων, ὧν ἐπὶ πλεῖστον ἀκούοντες, οὐκ ἐμπίπλανται· καὶ τοὺς τοιούτους δήμους πολλοὶ μακαρίζουσιν, ὅτι τὰς κατ' ἀγορὰν ἐμπορείας, ἢ τὰς ἐκ τῶν τεχνῶν πρὸς τὸ ζῆν ἐπινοίας καταλιπόντες, διὰ ῥᾳθυμίας πάσης καὶ ἡδονῆς τὸν τεταγμένον αὐτοῖς τῆς ζωῆς χρόνον διαπερῶσιν· οὐκ εἰδότες, ὅτι ὀρχήστρα εὐθηνουμένη θεάμασιν ἀκολάστοις, κοινὸν καὶ δημόσιον διδασκαλεῖον ἀσελγείας τοῖς συγκαθημένοις ἐστίν, καὶ τὰ παναρμόνια τῶν αὐλῶν μέλη, καὶ ἄσματα πορνικά, ἐγκαθεζόμενα ταῖς τῶν ἀκουόντων ψυχαῖς, οὐδὲν ἕτερον, ἢ πάντας ἀσχημονεῖν ἀναπείθει, ἢ τὰ τῶν κιθαριστῶν αὐλητῶν κρούσματα μιμουμένους· ἤδη τινὲς τῶν ἱππομανούντων, κατ' ὄναρ περὶ τῶν ἵππων μάχονται, ἅρματα μεταζευγνύντες, καὶ ἡνιόχους μετατιθέντες, καὶ ὅλως τῆς μεθημερινῆς ἀφροσύνης οὐδὲν ἐν ταῖς καθ' ὕπνον φαντασίαις ἀφίσταται, (Βασιλείου.)

Οἱ φοβούμενοι τὸν Κύριον περιμένουσι τὴν Κυριακήν, ἵνα τὴν Κυριακὴν τὴν εὐχὴν τῷ Θεῷ ἀναπέμψωσι, καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἀπολαύσωσιν· οἱ δὲ ῥᾳθυμοι περιμένουσι τὴν Κυριακήν, ἵνα τοῦ ἔργου ἀπεχόμενοι τοῖς κακοῖς σχολάσωσι, καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ τὰ πράγματα· ἔξελθε ἐν τῇ μέσῃ εἰς ἄλλην ἡμέραν, καὶ οὐδένα εὑρίσκεις· ἔξελθε ἐν τῇ Κυριακῇ, καὶ εὑρήσεις, τοὺς μὲν κιθαρίζοντας, ἄλλους ἐπικροτοῦντας, ἑτέρους καθεζομένους, καὶ τοὺς πλησίον λοιδοροῦντας, ἄλλους παλαίοντας· καλεῖ ὁ κῆρυξ εἰς τὴν Ἐκκλησίαν, καὶ πάντες ὡς ὑπὸ ὄκνου προσβάλλονται· γέγονε κιθάρας ἦχος ἢ αὐλοῦ, καὶ πάντες ὡς ὑπόπτεροι τρέχουσι· τὰ θεάματα τῆς Ἐκκλησίας ὁρῶμεν, τὸν Δεσπότην Χριστὸν ὁρῶμεν ἀνακείμενον ἐπὶ τῆς τραπέζης, τὰ Σεραφεὶμ τὸν Τρισάγιον ὕμνον ᾄδοντα, εὐαγγελικὰς φωνάς, πνεύματος ἁγίου παρουσίαν, τοὺς προφήτας κελαδοῦντας, τὸν τῶν Ἀγγέλων ὕμνον, τὸ ἀλληλούϊα, ὅλα πνευματικά, ὅλα σωτηρίας ἄξια, ὅλα βασιλείας πρόξενα, ταῦτα ἀκούει ὁ ἐρχόμενος εἰς τὴν Ἐκκλησίαν· τί δὲ θεωρεῖ ὁ τρέχων εἰς τὰ θέατρα; ᾄσματα διαβολικά, γυναῖκας ὀρχουμένας· τί γὰρ ποιεῖ ἡ ὀρχουμένη; γυμνοῖ τὴν κεφαλὴν ἀναισχύντως, ἣν παρήγγειλεν ὁ Παῦλος ἀδιαλείπτως σκεπάζειν· ἐκτρέπει τὸν τράχηλον· τὰς τρίχας ὧδε κἀκεῖ ἐκπετάζει· ταῦτα ποιεῖ καὶ ἡ δαιμονιῶσα· ὁ δὲ κιθαρῳδός, ὥσπερ δαίμων τῷ



Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

ξύλῳ προσμάχεται, τοιοῦτον καὶ τὸ συμπόσιον τοῦ Ἡρῴδου, καὶ εἰσελθοῦσα ὠρχήσατο Ἡρωδιάς, καὶ τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ ἀπέτεμεν, καὶ τὰ καταχθόνια τοῦ ᾅδου ἐκληρονόμησεν· οἱ οὖν ἀγαπῶντες τὴν ὄρχησιν, μετ' αὐτῆς ἔχουσι τὴν μερίδα· οὐαὶ τοῖς ἐν Κυριακῇ κιθαρίζουσιν ἢ ἐργαζομένοις· εἰς ἀνάπαυσιν μισθίων καὶ δούλων ἐδόθη αὕτη γὰρ ἡ ἡμέρα, ἣν ἐποιησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· εἰσέρχεται μίσθιος εἰς τὴν οἰκίαν σου, καὶ ὑποτίθησι τὸν ὦμον ἐν τοῖς ἔργοις σου, συντρίβεται ἐν ἱδρῶτι καὶ καμάτῳ, καὶ οὐ συγχωρεῖς αὐτὸν ἀναπνεῦσαι. (Ναζιανζ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΒ'.

### Περὶ δούλων πονηρῶν.

Οὐδεὶς οὕτω μέμηνεν, ὡς δοῦλος ὢν, ἐναντιοῦσθαι δεσπότῃ. (Φίλωνος,)

Οἰκέτου πονηροῦ μὴ αἰσχυνθῇς πλευρὰν αἱμάξαι. (Σειράχ μξ'.5)

Χορτάσματα καὶ ῥάβδος ὄνῳ, ἄρτος δὲ καὶ παιδεία καὶ ἔργον οἰκέτῃ. Ἔργασαι ἐν παιδείᾳ καὶ εὑρήσεις ἀνάπαυσιν. Ἄνες χεῖρας αὐτῷ, καὶ ζητήσει ἐλευθερίαν· ζυγὸς καὶ ἱμὰς τράχηλον κάμψουσι, καὶ οἰκέτῃ κακούργῳ στρέβλοι καὶ βάσανοι· ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ· πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία. (αὐτόθι λγ' 25.)

Λόγοις οὐ παιδεύεται οἰκέτης σκληρός· ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ' οὐχ ὑπακούεται. (Παρερ. κθ'. 19.)

Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ δαρήσεται πολλά, ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. (Λουκ. ιβ'. 17.)

Φύσει ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις. (Σύριαι παρὰ Ἑρμογεν. 131.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΒ'.

### Περὶ δούλων χρηστῶν.

Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ. Οἰκέτην ἀγαθὸν ἀγαπησάτω ἡ ψυχή σου, μὴ στερήσῃς αὐτὸν ἐλευθερίας. (Σειράχ. ζ'. 20.)

Οἰκέτης νοήμων, κρατήσει δεσποτῶν ἀφρόνων. (Παρμ. ιζ'. 2)

Οἰκέτου σοφοῦ εὔοδοι ἔσονται πράξεις, καὶ κατευθυνθήσονται αἱ ὁδοὶ αὐτοῦ. (αὐτόθι ιδ'. 15.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Οἰκέτῃ συνετῷ ἐλεύθεροι ὑπουργήσουσι.* (*Σειράχ. ι'. 28.*)

*Οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς μετ' εὐνοίας. δουλεύοντες τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις· εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται παρὰ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος,* (*Ἐφεσι. ς'. 5.*)

*Οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν. Καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις· εἰδότες, ὅτι παρὰ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας.* (*Κολ. γ'. 22.*)

*Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται· οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.* (*Α. Τιμθ. ς'. 1.*)

*Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς· τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρῃ τις λύπας, πάσχων ἀδίκως.* (*Α. Πέτρου β'. 18.*)

*Οἱ οἰκέται, μὴ φευγέτωσαν εὐνοεῖν τοῖς δεσπόταις.*

*ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει.* (*Ναζιανζ. Τετρ. 25.*)

— *Τοὺς πρώτους δεσπότας τότε ποθοῦσιν οἱ οἰκέται, ὅταν πεῖραν λάβωσιν ἑτέρων.* (*Αἰσώπ. μῦθ. 132.*)

*Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει.* (*Λουκ. ιδ'. 13.*)

— *Δέσποιν' ὁποία, τοῖαι καὶ θεραπαινίδες.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΓ'.

### Περὶ δούλων καὶ οἰκετῶν.

*Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς Κύριον ἔχετε ἐν οὐρανῷ.* (*Παῦλος.*)

— *Εἰς πάντας τοὺς λόγους οὓς λαλήσουσι, μὴ θῇς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε.* (*Σολομ.*)

— *Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος.* (*Σολομ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

— Ἔμβαλε αὐτὸν τὸν σκληρὸν οἰκέτην εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ· πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. (Σειράχ.)

— Μὴ ἴσθι ὡς λέων ἐν τῇ οἰκίᾳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου, καὶ ταπεινῶν τοὺς ὑποχειρίους σου. (Σειράχ.)

— Εἰ ἔστι σοι οἰκέτης, ἔστω ὡς σύ, ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν· εἰ ἔστι σοι οἰκέτης, ἀγάπησον αὐτόν· καὶ εἰ ἔστι σοι χρήσιμος, ἀγάπα αὐτὸν ὡς ἀδελφόν, ὅτι ἡ ψυχή σου ἐπιδεήσει αὐτῷ. (Σειράχ.)

— Οἱ οἰκέται, καὶ μάλιστα οἱ Θεοῦ, μὴ φευγέτωσαν τὸ εὐνοεῖν τοῖς Δεσπόταις. (Γρηγ. Θεολόγου.)

— Τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν μὴ δῶ ὁ Κύριος· δεσπότου δὲ ἅπαντά ἐστιν, ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι. — Πονηροῦ μὲν δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι· χρηστοῦ μέν τοι πονηροὺς ἤδη εἶδον, οὐ μέν τοι ἀζημίους γε. (Χρυσοστόμ.)

— Τοιοῦτος ἴσθι πρὸς τοὺς οἰκέτας, οἷον εὔχῃ σοὶ τὸν Θεὸν γενέσθαι· ὡς γὰρ ἀκούομεν, ἀκουσθησόμεθα ὑπὸ τοῦ Θεοῦ. — Τοῖς ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος· τὰς γὰρ ἐπαναστάσεις αὐτοῦ δεδοικότες, ἄκοντες φόβῳ νουθετοῦνται. — Μέγιστον ἐγκώμιον οἰκέτου, μηδενὸς ὧν ἂν προστάξῃ ὁ οἰκοδεσπότης ὀλιγωρεῖν· ἀόκνως δὲ καὶ φιλοπόνως ὑπὲρ δύναμιν πάντα σπουδάζειν, αἰσίῳ γνώμῃ κατορθοῦν. (Φίλωνος.)

— Δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορά.

Δούλους γενέσθαι, δεσπότας τε δυστυχεῖς λαβεῖν. (. . . )

— Πολλοὶ παρὰ τῶν ὑγιαινόντων ἀπαιτοῦσι τὰς ὑπηρεσίας, καὶ ἀπαιτοῦσι δίχα συγγνώμης· νοσούντων δὲ οὐδεμίαν φροντίδα τιθέασιν, ἀλλὰ προσπεσούσης νόσου, κεῖται μὲν ἀνεπίσκεπτος ἡ παιδίσκη, χαμαὶ ἐρριμμένη, οὐ προσέχει δεσπότης, οὐκ ἐπισκέπτεται δέσποινα. Κἂν ποτε δέῃ τὴν δέσποιναν παραβαλεῖν πρὸς τὴν δούλην, οὐκ ἐπισκέπτεται ὡς ὁμογενής, ἀλλὰ βλοσυρῷ προσέχει τῷ βλέμματι, αὐστηρῷ προδιαλέγεται ῥήματι, δι' ὄγκον ὑπερηφανείας τὸ συγγενὲς ἀρνουμένης τῆς φύσεως . . . . Καὶ ὅτε μὲν ἄλογον ζῶον χωλεύει, ἐπιμελῇ διὰ χρείαν, ὅτε δὲ λογικὸν ζῶον, ὁ σὸς οἰκέτης, ἀρρωστεῖ, περιορᾷς, καὶ οὐ προνοεῖς ὅτι λογικόν ἐστι. (Χρυσόστομ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΔ'.

### Περὶ μισθωτῶν.

*Οὐ φιμώσεις βοῦν ἀλοῶντα, καὶ ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν (Ματθαῖος.)*

*Τῷ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ κατὰ ὄφλημα. (Παύλου.)*

*— Μὴ καταβοήσεται κατὰ σοῦ ὁ μίσθιος πρὸς Κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία. (Λευϊτικόν.)*

*Ὁ οἰκοδομῶν τὸν οἶκον αὐτοῦ οὐ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῶα αὐτοῦ ἐν κρίμασι, παρὰ τῶν πλησίον ἐργᾶται δωρεάν, καὶ τὸν μισθὸν οὐ μὴ ἀποδῶ αὐτοῖς ἐπικατάρατος. (Ἱερεμίου.)*

*Ἀδύνατοι ἀμπελῶνες ἀσεβῶν, ἀσιτὶ καὶ ἀμισθὶ εἰργάσαντο. Ὡς ἀφαιρούμενος συμβίωσιν καὶ αἷμα ἐκχέων, ὁ ἀποστερῶν μισθὸν μισθωτοῦ.*

*— Φονεύει τὸν πλησίον ὁ ἀφαιρούμενος συμβίωσιν, ἐκχέει αἷμα ὁ ἀποστερῶν μισθὸν μισθίου, οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθίου παρὰ σοὶ ἕως πρωΐ· οὐκ ἀπαδικήσει μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ ἐκ τῶν προσηλύτων τῶν ἐν ταῖς πόλεσί σου· αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ, οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ ὅτι πένης ἐστὶ καὶ ἐν αὐτῷ ἔχει τὴν ἐλπίδα μετὰ Θεόν· ὥσπερ μισθωτὸς ἀναμένει τὸν μισθὸν αὐτοῦ. Πᾶς μόχθος ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται καὶ καταβοήσεται κατὰ σοῦ πρὸς Κύριον καὶ ἔσται σοι ἐν ἁμαρτίᾳ . . . ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ἡμῶν ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα κυρίου Σαβαὼθ ἐξεληλύθασιν. (Λευϊτικόν.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΕ'.

### Περὶ τοῦ τί ἐστιν ἄριστον.

*Οὐκ ἀεὶ τὸ πλεῖστον ἄριστον.*

*Ἀναβλέψας δὲ ὁ Ἰησοῦς, εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ Γαζοφυλάκιον πλουσίους· εἶδε δὲ καί τινα χήραν πενιχράν, βάλλουσαν ἐκεῖ δύο λεπτά· καὶ εἶπεν ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη, πλείω πάντων ἔβαλεν· ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν. (Λουκᾶς)*

*— Ἐν Ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἢ μυρίοις λόγοις ἐν γλώσσῃ. (Παύλου.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Κρεῖσσον ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πολλῶν ἀγαθῶν μετὰ ἔχθρας.* (*Σολομῶντος.*)

— *Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.* (*Δαυΐδ.*)

— *Ἀπὸ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, ἀπὸ φυλῆς δὲ ἀνόμου ἐρημωθήσεται ἐν τάχει.* (*Βασιλείου.*)

— *Κρεῖσσον ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος· καὶ ὀλίγη μερὶς τιμία, ἀτίμου καὶ σφαλερᾶς· καὶ πολλοῦ σκότους, ὀλίγου φῶς.* (*Θεολόγου.*)

— *Μικρὸν ἐν πτηνοῖς ἡ φιλόπονος μέλισσα, ἀλλ' ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.* (*Διονυσίου Ἀρεοπαγίτου.*)

— *Τὸ μετὰ πόνων καὶ ἱδρώτων κτηθέν, κἂν μικρὸν τυγχάνῃ, ποθεινότερόν ἐστι· τὸ δ' αὐτομάτως προσπεσόν, εὐκαταφρόνητον, κἂν ὑπάρχῃ μέγα.* (*Ἰσιδώρου.*)

— *Ὁ χρήσιμα εἰδώς, οὐχ ὁ πολλὰ εἰδὼς σοφός ἐστιν.* — *Οὐκ ἐν τῷ πολλῷ τὸ εὖ, ἀλλ' ἐν τῷ εὖ τὸ πολύ.* (*Αἰσχύλου.*)

*Οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος· οὐδὲ γὰρ ὁ πλεῖστα κιθαρῳδήσας, ἢ ῥητορεύσας ἢ κυβερνήσας, ἀλλ' ὁ καλῶς ἐπαινεῖται. Τὸ γὰρ καλὸν οὐκ ἐν μήκει χρόνου θετέον, ἀλλ' ἐν ἀρετῇ καὶ τῇ καιρίῳ συμμετρίᾳ : τοῦτο γὰρ εὔδαιμον καὶ θεοφιλὲς νενόμισται.* — *Τῷ ἱερῷ τοῦ Πυθίου Ἀπόλλωνος οὐ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, οὐδὲ τοὺς Πινδαρικοὺς παιᾶνας, ἐπέγραψαν οἱ Ἀμφικτύονες· ἀλλὰ τὸ «Γνῶθι σαυτὸν» καὶ τὸ «Μηδὲν ἄγαν» καὶ τὸ «Ἐγγύα, πάρα δ' ἄτα·» θαυμάσαντες τῆς λέξεως τὸ εὔκοσμον καὶ τὸ λιτόν, ἐν βραχεῖ σφυρήλατον νοῦν περιέχοντας.* (*Πλούταρχος.*)

*Θεασάμενός ποτε ὁ Δημοσθένης τινὰ δημαγωγὸν ἀφυᾶ, μέγα βοῶντα ἔφη «Ἀλλ' οὐ τὸ μέγα εὖ ἐστι, τὸ δ' εὖ μέγα.»* — *Ὁ αὐτὸς πρὸς ἕτερόν τινα ἐν πολλοῖς περιπλεκόμενον πράγμασι καὶ ἐν οὐδενὶ τελεσφοροῦντα ἔφη· «οὐκ ἐν τῷ πολλῷ τὸ εὖ, ἀλλ' ἐν τῷ εὖ τὸ πολύ.»* (*Δημοσθέν.*)

*Κρεῖττον εἷς δίκαιος, παρὰ μύριοι παράνομοι· καὶ τὸ ἀποθανεῖν ἄτεκνον, ἢ ἀσεβῆ τέκνα ἔχειν.* (*Πλάτωνος.*)

— *Ὡς μεγα τὸ μικρὸν ἐν καιρῷ διδόμενον.* (*Πυθαγόρου.*)

— *Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίττων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει ; Οἱ γὰρ ἐπιεικέστεροι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσαντο αὐτὰ οὕτω πεπρᾶχθαι, ὅπως ἂν πραχθῇ.* (*Σωκράτους.*)

— *Οὐ τὰ πολλὰ λέγειν, ἐν μέσῳ ὄχλῳ, ποιεῖ ἐπιστήμην· τοῦτο γὰρ δοξοκοπίας ἂν εἴη ἔλεγχος ἄντικρυς· ἀλλ' ἐὰν ὁ λέγων ἐπισταμένως λέγει πρὸς οὓς ταῦτα λέγεται.* — *Τὸ γὰρ ἐναρμόνιον ἐν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῖς μετριότησι μᾶλλον, ἢ ταῖς ὑπερβολικαῖς διασώζεται. — Μὴ τὸ πολλὰ λέγειν νίκην νόμιζε ἀλλὰ τὸ ὀλίγα σὺν λογισμῷ. (Νεοφύτου Δούκα.)

— Κρεῖσσον εἶναι, οἶμαι, σμικρὸν εὖ ἢ πολὺ μὴ ἱκανῶς περᾶναι.

## ΚΕΦΑΛΑΙΟΝ ΡΟϛ'.

### Περὶ τοῦ ὅτι βέλτιον τὰς διαφορὰς φιλικῶς καὶ εἰρηνικῶς λύειν, ἢ ἐνδίκως.

— Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ· μήποτε σὲ παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς σὲ παραδῷ τῷ ὑπηρέτῃ καὶ εἰς φυλακὴν βληθήσῃ. (Ματθαῖος ε'. 25.)

— Ἐὰν ἔχῃ τι ὁ ἀδελφός σου κατὰ σοῦ διαλλάγηθι μετ' αὐτοῦ λόγοις εἰρηνικοῖς καὶ ἀδελφικοῖς πείθων ἢ πειθόμενος.

— Βέλτιον γὰρ προλαβεῖν φυλακαῖς διαλύσεσι τὸ τῆς δίκης ἄδηλον τέλος, ἢ ταῖς ἐλπίσι τῆς νίκης ἐπερειδόμενος ἀδήλῳ καταπιστεύσει πελάγει. Ἀναγινώσκει σου τὰ γραμματεῖα, θαρσὺς ταῖς ἐκβάσεσιν ὁ συνήγορος κοιλάνας τὴν χεῖρα τῷ λήμματι ἐγγυᾶται τὴν νίκην, ἵνα περισφίγγηται μισθαρνίᾳ· ἐνίοτε δὲ καὶ δικαστὴς προδιεφθαρμένος προεπαγγέλλεταί σοι τῆς δίκης τὸ τέλος, ἀβεβαίοις θαρσεῖς ἐλπίσιν· εἰ γὰρ λήμμασι θύραν ἀνοίξας, νόμιζε τὰ αὐτὰ καὶ τὸν διάδικον μελετᾶν· καὶ πολλάκις ἠρέμα σοι τὰ τῆς δίκης ἐν διαπλέοντι πείθουσι χαλᾶσαι περὶ τὸν πλοῦν τὸ ἱστίον. Οὐδέποτε εἶδες θάλασσαν πρὸς αἰγιαλὸν γαλήνην ἔχουσαν, καὶ ἐν τῷ βυθῷ κυμαινομένην; πόσοι μετ' εὐδίας καὶ γαλήνης ἀναπλεύσαντες, εἰς τὸ μέσον πελάγους αἰφνιδίοις χειμῶσι χρησάμενοι καὶ κύμασιν, ἐναυάγησαν; τοιαῦτα τῆς δίκης τὰ τέλη· ἐνίοτε τὰ προοίμια μετὰ τῶν ἐλπίδων, καὶ τὸ τέλος ἀντίστροφον τὴν ἔκβασιν τῆς ἐλπίδος ἐπενεγκάμενον. (Χρυσοστόμου.)

— Ἔστιν ἐν τῷ δικάζεσθαι καὶ τὰ ὄντα προσαναλῶσαι. (Σωπάτ.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΖ'.

### Περὶ δώρων.

— Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. (Σοφοκλ. Αἴας. 665.)

— Δῶς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὅς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅτε καὶ μέγα δῴῃ,
Χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν,
Ὅ δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

*Καί τε σμικρὸν ἐόν, τὸ δ' ἐπάχνωσεν φίλον ἦτορ.* (Ἡσιόδ. Ἔργ. 356.)

— *Κακοῦ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.* (Εὐριπ. Μήδεια 618.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΗ'.

### Περὶ τοῦ ὅτι πᾶν τὸ οἰκεῖον ὑποτιμῶμεν, ὑπερτιμῶντες τὰ ἀλλότρια.

— *Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν· καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥσιε ἐκπλήττεσθαι καὶ λέγειν, Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ ἔστι προφήτης ἄτιμος, εἰμὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.* (Ματθαίου.)

— *Εἰώθαμεν γὰρ οἱ ἄνθρωποι τῶν ἐν συνηθείᾳ ἀεὶ καταφρονεῖν, τὰ δὲ ξένα ἀσπάζεσθαι.* (Θεοφυλάκτου.)

— *Τῶν φρονιμωτάτων καὶ σοφωτάτων ὀλίγους ἂν εὕροις ἐν ταῖς ἑαυτῶν πατρίσι κεκηδευμένους.* (Πλουτάρχου.)

— *Πᾶσι τοῖς φιλοσόφοις ἔδοξε χαλεπὸς ἐν τῇ πατρίδι ὁ βίος.* (Ἀριστείδου.)

— *Εἰς τοὺς τεχνίτας τοῦ παρελθόντος ἐπιχέουσιν ἤδη πάντες ἄφθονον θαυμασμόν, καὶ μεγαλεῖον, διότι ἤκμασαν πρὸ πολλῶν ἑκατονταετηρίδων, τοῦ φθόνου καὶ τῶν μηχανορραφιῶν σιγώντων. Ἐὰν δ' ἐκεῖνοι ἔζων μεθ' ἡμῶν, δὲν ἤθελον εὕρει τόπον νὰ σταθῶσιν ἀπὸ τὰς ἐπικρίσεις καὶ τοὺς ἐξευτελισμούς.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΟΘ'.

### Περὶ γεωργίας.

— *Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ,*
*ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθαίης κέρας εἶναι.* (Φωκυλίδου.)

— *Ἆρ' ἐστιν ἀρετῆς καὶ βίου διδάσκαλος*
*ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός.* (Μενάνδρου.)

— *Τῆς γεωργίας οὐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. Ἔοικε γὰρ αὐτῆς ἡ ἐπιμέλεια εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις καὶ εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, τα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, σεπιφέρει· ἔπειτα δὲ ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμά- παρέχει ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· γὰρ ἡ προστατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστ' ἔχειν θεοῖς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι .... Ὠφε- μενοι δὲ καὶ οἱ ἵπποι καὶ οἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφε- σι τὸν χῶρον .... Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρ- ται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ εύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ καὶ κατὰ θάλατταν. (Ξεν. Ἀπομν.)

— Ἀμείβεται γὰρ ἡ γῆ κάλλιστα καὶ δικαιότατα τοὺς ἐπιμελο- ους αὐτῆς, πολλαπλάσια ὧν λαμβάνει διδοῦσα καὶ ἀφθονίαν ἔχουσα πάντων τῶν ἀναγκαίων πρὸς τὸν βίον τῷ βουλομένῳ εῖν .... Ἐμοὶ μὲν δὴ καὶ ἀρεστὸν τοῦτο πάντων τῶν ἐν γεωρ- ς ἔργων, ὅτι τῇ ψυχῇ παρέχει σχολὴν πλείονα διανοεῖσθαί τε ζητεῖν παιδείας ἐχόμενον .... Οὕτως ἄρα καλὸν καὶ εὐδαιμο- ν καὶ θεοφιλὲς τὸ ζῆν ἀπὸ γεωργίας ἐστί, σύν γε τῷ καλο- καγαθίας μὴ ὀλιγωρεῖν. (Μουσωνίου.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΠ'.

### Περὶ καιροῦ.

Καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν· καιρὸς τοῦ τε- , καὶ καιρὸς τοῦ ἀποθανεῖν· καιρὸς τοῦ φυτεῦσαι, καὶ καιρὸς ἐκτῖλαι τὸ πεφυτευμένον· καιρὸς τοῦ καθελεῖν, καὶ καιρὸς τοῦ δομῆσαι· καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελᾶσαι· καιρὸς ζητῆσαι, καὶ καιρὸς τοῦ ἐκβαλεῖν· καιρὸς τοῦ ῥῆξαι, καὶ καιρὸς τοῦ ῥάψαι· καιρὸς τοῦ λαλεῖν, καὶ καιρὸς τοῦ σιγᾶν· καιρὸς φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι· καιρὸς πολέμου, καὶ καιρὸς νης. (Ἐκκλ. γ'. 8. Ἰωάν. Δαμ. Τόμ. Β'. Σελ. 562.)

Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι, ἡνίκα δεῖ ἶν λόγον, (Σειράχ.)

Συντήρησον καιρόν, καὶ φύλαξαι ἀπὸ τοῦ πονηροῦ. (αὐτόθι. 20.)

Ἀκαίρως μὴ σοφίζου. (αὐτόθι.)

Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. (Αὐτόθι. κη'.)

Ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ· ἀπὸ στόματος μωροῦ δοκιμασθήσεται παραβολή· οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ ῆς. (αὐτόθι. κθ'.)

*Βλέπετε πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι· διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Θεοῦ.* (*Ἐφεσ. ε'. 15.*)

*Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι· ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.* (*Κολασ. δ'. 5.*)

*Σφοδρὸς ὁ πόθος ; λαβοῦ τοῦ ποθουμένου· ἕως θερμὸς ὁ σίδηρος, τῷ ψυχρῷ στομευθήτω, μήτι παρεμπέσῃ μέσον καὶ διακόψῃ τὸν πόθον.* (*Ναζιανζ.*)

*Τὸ μὲν ἁπλῶς παρρησιάσασθαι, καὶ τῶν τυχόντων πολλάκις ἐστίν· τὸ δὲ εἰς δέον καὶ ἐν καιρῷ τῷ προσήκοντι, καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς.* (*Χρυσοστ.*)

*Βέλτιον λίθον βαλεῖν εἰκῇ, ἢ λόγον.*

*Λάλει ἃ δεῖ, καὶ οὐκ ἀκούσεις, ἃ μὴ δεῖ.*

*Χρόνου φείδεσθαι καλόν.*

— *Πολλάκις συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίνεσθαι· ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ, πάλιν οἷός τε ἔσται σῶσαι.* (*Δημοσθ.*)

— *Μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται.* (*Δημοσθ.*)

— *Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.* (*Μένανδρ.*)

— *Πᾶν τὸ παρὰ καιρὸν δρώμενον, ἐπισφαλὲς τυγχάνει.* (*Αἰσώπ. μῦθ. 123.*)

— *Πᾶν πρᾶγμα σὺν καιρῷ θεωρούμενον ὑγιεῖς λαμβάνει καὶ τὰς συγκαταθέσεις καὶ τὰς ἐπιτιμήσεις· μεταπεσόντος δὲ τούτου πρὸς τὰς ἄλλας περιστάσεις, συγκρινόμενον οὐχ οἷον αἱρετόν, ἀλλ' οὐδ' ἀνεκτὸν ἂν φανείη τὰ κράτιστα καὶ ἀληθινώτατα πολλάκις ὑπὸ τῶν συγγραφέων εἰρημένον.* (*Πολύβ. 6, 57. β'.*)

— *Ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.* (*Ὀδυσ. 11,379.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΑ'.

### Περὶ χρόνου.

— *Ἄπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος*
*φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται* (*Σοφοκλ. Αἴας 646*).

— *Τὰ λεπτὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει* (*Αἰσ. μῦθ. 12*).

— *Ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην* (*Πλουτ. παιδ. ἀγωγ. 8'.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ὁ πολὺς χρόνος πολλὰς ποιεῖ καλὰς πράξεις (Πλουτ. Αἰνείας 1, 5, 10),*

— *Ἡ πολλά γ' ἐν μακρῷ χρόνῳ γίνεται μεταλλαγὴ*
*τῶν πραγμάτων· μένει δὲ χρῆμ' οὐδὲν ταὐτῷ ῥυθμῷ (Εὐπολ.)*

— *Οὐκ ἔστι πράττοντάς τι μοχθηρὸν λαθεῖν·*
*ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ (Εὐριπίδου).*

— *Ὁ χρόνος ἅπαντα πᾶσιν ὕστερον φράσει·*
*λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει (Εὐριπίδου).*

— *Χρόνος διέρπων πάντα ἀληθεύειν φιλεῖ (Εὐριπίδου).*

— *Ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον (Εὐριπίδου).*

— *Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει (Σοφοκλέους).*

— *Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος,*
*κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ (Σοφοκλέους).*

— *Λύπης δὲ πάσης ἰατρὸς χρόνος (Διφίλου).*

— *Χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει (Φιλήμονος).*

— *Ὅσαι τέχναι γεγόνασι, ταύτας ...,*
*πάσας ἐδίδαξεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος (Φιλήμονος).*

— *Καιρὸς γάρ, ὅσπερ ἀνδράσι*
*μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης (Σοφοκλ. Ἠλέκτρ. 75).*

— *Σύμβουλος οὐδεὶς ἐστι βελτίων χρόνου (Μενάνδρου).*

— *Χρόνος πενθέων φάρμακα μοῦνος ἔχει (Φιλεταίρου).*

— *Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅτι οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται (Μενάνδρου).*

— *Χρόνου φείδου (τῶν Ἑπτὰ σοφῶν).*

— *Ἀλλὰ ταῦτα μὲν χρόνος*
*δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής (Φιλήμονος).*

— *Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ τὰ πάντα (Θάλητος).*

— *Σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος, οὗτος γὰρ τὴν ἀλήθειαν ἐμφανίζει (Θάλητος).*

— *Καιρὸν γνῶθι· ὀξὺς γάρ (Θάλητος).*

— *Τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα ὁ χρόνος. (Πλουτ. Ἀντων. 28).*

— *Μόνον γὰρ αὐτὸς καὶ θεὸς στερίσκεται*
*ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.*
*(Ἀγάθων παρ' Ἀριστοτ. Ἠθικ. Νικομ. 6,2).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΒ'.

### Περὶ ὑγείας καὶ νόσου.

— *Αἱ μέγισται μεταβολαί, τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ ἕξιας συμβαινόντων, μάλιστα νοσοποιοῦσιν. — Οὐ γὰρ εὐθέως αἱ νοῦ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοι τοῖσιν ἀνθρώποισι προσγίγνονται, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενα (τὰ νοσογόνα αἴτια) ἀθρόως ἐκφαίνονται. — Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁποσοῦν τὸ σῶμα κινεῖν σφαλερόν· καὶ γὰρ πᾶν τὸ πολύ, τῇ φύσει πολέμιον. (Ἱπποκράτους.)

— Πολλάκις καὶ φύσις ἀέρων ἤρκεσε πρὸς τὴν τοῦ κάμνοντος ὑγείαν· ἔστι δ' ὅπου καὶ ὕπνος προσπεσὼν πρὸς καιρόν, παντὸς πόνου ἀπήλλαξε τὸν ἰατρόν. — Ἔνια δὲ νοσήματα καὶ ἀπὸ ῥᾳθυμίας γίνεται· καὶ γὰρ καὶ γαστριμαργία, καὶ μέθη, σώματα κάμνοντα μέν, ταῖς θεραπείαις ἀναφέρει καὶ ταῖς ἐνδείαις, ἀνενεγκόντα δέ, ταῖς κατὰ μικρὸν ἀμελείαις καὶ ταῖς πλησμοναῖς, πάλιν ἀπορρεῖ, καὶ πρὸς τὰς αὐτὰς ἀρρωστίας ἐπάνεισιν. (Χρυσοστόμ.)

— Κρεῖσσον θάνατος ὑπὲρ ζωὴν πικράν, ἢ ἀρρώστημα ἔμμονον. (Σειράχ.)

— Νομίζειν δεῖ οὐ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον σῶμα μακάριον εἶναι, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον καὶ σπουδαίως διακείμενον. (Ἀριστοτέλ.)

— Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς ῥώμην, ἀλλὰ ἀλλὰ τὰ πρὸς τὴν ὑγείαν συμφέροντα. Τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, πονεῖν ἔτι δυνάμενος. (Ἰσοκράτους.)

— Ὑγεία καὶ νοῦς ἀγαθὰ τῷ βίῳ δύο. (Μενάνδρου.)

— Ἡδονῆς παντοίας καὶ ἄλγους αἴτια φυσικὰ εἰσιν αἱ ἐμποιούμεναι κινήσεις, αἷς τισιν ἡ σώματος ἁρμονία ἢ σώζεται, ἢ ταράττεται, ἢ ταραχθεῖσα ἤδη καταστομώννυται. (Πλάτωνος.)

— Φιλόσοφός τις ἐρωτηθεὶς τί ἐστιν εὐτυχία; ἔφη. Πρῶτον τὸ ὑγιαίνειν· εἶτα τὸ ἠβᾶν μετὰ φίλων καὶ τὸ πλουτεῖν ἀδόλως.

— Φαιδροὶ γάρ ἐσμεν τὰς ψυχὰς καὶ εὐθύμως ἔχοντες, τῆς δυσφορίας μὴ κατ' ἔλλειψιν, οὐδ' ὑπερβολὴν ἐν ἡμῖν γενομένης· ἀλλ' ἀνιᾶσθαι ἡμῖν συμβαίνει, μυουμένης ἢ τ' οὖν αὐξανούσης.

— Νοῦσοι δ' ἀνθρώπων ἐφήμεροι, αἱ δ' ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι.
Σιγῇ . . . . . (Ἡσιόδου.)

— Ἀληθέστατον δ' ἄν τις εἴποι τὴν ὑγείαν ἥδυσμα θειότατον εἶναι καὶ προσηνέστατον· Ἔφθὰ μὲν γὰρ καὶ ὀπτὰ καὶ πεπτὰ βρώματα νοσοῦσιν οὐδεμίαν ἡδονὴν οὐδὲ χάριν ἀποδίδωσι· καθαρὰ δὲ καὶ ἀκραιφνὴς ὄρεξις ὑγιαίνοντι σώματι, πᾶν ἡδὺ ποιεῖ, καὶ ἁρπαλέον καὶ πρόσφορον. = Οὐ γὰρ ἀργίας ὤνιον ἡ ὑγεία καὶ ἀπραξίας, ἅγε δὴ μέγιστα κακῶν ταῖς νόσοις πρόσεστιν. — Ἥκιστα δὴ τὴν ἀργίαν ὑγιεινὸν ὑπολητέον, εἰς τὸ τῆς ὑγείας τέλος ἀπόλυσι· καὶ οὐδὲ ἀληθὲς ἐστι τὸ μᾶλλον ὑγιαίνειν τοὺς ἡσυχίαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἄγοντας. — *Οὐκ ἀγνοῶ δέ, ὅτι καὶ διὰ κόπους πυρέττουσιν ἄνθρωποι, καὶ δι' ἐγκαύσεως καὶ διὰ περιψύξεως.* (*Πλουτάρχου.*)

— *Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.* (*Σοφοκλ.*)

— *Ἔνιοι παρεικάζουσι τῇ ὑγείᾳ τὴν φρόνησιν, φάσκοντες,« Καὶ τοῦτο εἶναι τῇ ψυχῇ τὴν φρόνησιν, ὥσπερ ὑγεία σώματι.» Ἀλλ' ἔμοιγε δοκεῖ πολὺ διενηνοχέναι τὴν ὑγείαν τῆς φρονήσεως· ἡ μὲν γὰρ ὑγεία εὐθυμίαν παρασκευάζει τῷ σώματι, καὶ λήθην ἐμποιεῖ τῶν τε παρεληλυθότων, καὶ τῶν ἴσως ἐνσκηψόντων νοσημάτων ὀλιγωρίαν· ἡ δὲ φρόνησις λίαν ἐστὶ περιδεής, τῶν τε παρελθόντων μνήμην, καὶ περὶ τῶν ἐνδεχομένων συμβῆναι ὑπονοίας μεστή.* (*Φιλοθέου Πάρεργα.*)

— *Τῆς ὑγείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν.*

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΓ'.

### Περὶ τέχνης.

— *Πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη διεβράβευσεν.* (*Αἰσωπ. μῦθ. 35*).

— *Ὁ βίος βραχύς, ἡ δὲ τέχνη μακρά.* (*Ἱπποκρ. Ἀφορισμ. 1,1*).

— *Τῶν ἀνθρώπων ἕκαστος ἐν τῇ ἰδίᾳ τέχνῃ καθέστηκε δόκιμος.* (*Αἰσ μῦθ. 331*).

— *Ὅτι δὲ πάσας ἄνθρωπον ἕνα μετελθεῖν τέχνας τῶν ἀδυνάτων, οὐ δεῖ λόγων, μαρτυρούσης τῆς πείρας. Δύο γὰρ εἴ τις κατὰ ταὐτὸ μαθεῖν ἐθελήσειεν, ἀμφοτέρας ἀπόλλυσι, θατέρας τῇ ἑτέρᾳ λυμαινομένης· εἰς ἄμφω γὰρ ἡ διάνοια μεριζομένη, καὶ ἀμφοτέρων ἐπιλαβέσθαι μὴ δυναμένη, τινὰ μὲν ἐξ ἀμφοῖν ἐκμάττεται μόρια, ἀκριβῆ δὲ καὶ τελείαν οὐδεμιᾶς τὴν γνῶσιν εἰσδέχεται.* (*Θεοδωρ. Περὶ προνοίας λογ. δ'. σελ. 656*).

— *Βίου δ' ἔνεστι μι' ἀσφάλει' ἐν ταῖς τέχναις.* (*Μενάνδρ.*)

— *Οὔτε φύσις ἱκανὴ γίγνεται τέχνης ἄτερ*
*πρὸς οὐδὲν ἐπιτήδευμα παράπαν οὐδενί,*
*οὔτε πάλιν τέχνη μὴ φύσιν κεκτημένη·*
*τούτων ὁμοίως τοῖν δυοῖν συνηγμένων*
*εἰς ταὐτόν, ἔτι δεῖ προσλαβεῖν χορηγίαν,*
*ἔρωτα, μελέτην, καιρόν, εὐφυῆ χρόνον,*
*κριτὴν τὸ ῥηθὲν δυνάμενον συναρπάσαι·*
*ἐν ᾧ γὰρ ἂν τούτων τις ἀπολειφθεὶς τύχῃ,*
*οὐκ ἔρχετ' ἐπὶ τὸ τέρμα τοῦ προκειμένου·*
*φύσις, θέλησις, ἐπιμέλει' εὐταξία*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοφοὺς τίθησι κἀγαθούς· ἐτῶν δέ τοι
ἀριθμὸς οὐδὲν ἄλλο πλὴν γῆρας ποιεῖ. (Σιμύλου).

— Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης·
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὐτοῦ λέληθε παραπλέων τὰς συμφοράς. (Ἀμφιδος).

— Δύο δὲ ἐπιτηδεύματα, ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθα
σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρώπων. (Πλάτωνος).

— Ἀδύνατον ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας. (Πλάτωνος

— Θεὸς μὲν πάντα καὶ μετὰ Θεοῦ τύχη καὶ καιρὸς τἀνθρα
πινα διακυβερνῶσι ξύμπαντα· ἡμερώτερον μὴν τρίτον συγχωρῆσ
τούτοις ἕσεσθαι δεῖν, τέχνην. (Πλάτων. νόμ. δ΄).

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΔ΄.

### Περὶ τοῦ πολιτεύεσθαι.

— Κυάμων ἀπέχεσθαι (Πυθαγ.).

— Ἐν μὲν δημοκρατίᾳ δύνατάί τι καὶ πειθώ, καὶ εὐχή, καὶ θ
ραπεία, καὶ λιταί· ἐν δὲ τυραννίδι ἡ βία κρατεῖ, ὡς ἐν πολέμ
(Μάξ. Τύριος).

— Τρία ἐστὶ τὰ μέγιστα, ἃ διαφυλάττει καὶ διασώζει τὴν δημο
κρατίαν καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν· πρῶτον μὲν ἡ τῶν νο
μων τάξις, δεύτερον δ' ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δ' ἡ του
τοις τὰδικήματα παραδιδοῦσα κρίσις (Λυκοῦργ. κατὰ Λεωκρ. 3

— Ὁ δῆμός ἐστιν ὄχλος, ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντω
καὶ ἀσυνθετώτατον, ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον, ἃ
ἂν τύχοι κινούμενον· ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθε· μέλει δ' οὐδε
τῶν κοινῶν, ἀλλ' οὐδὲ μέμνηται (Δημοσθ.).

— Το εὐθὺς ἐπιχειρεῖν ἠθοποιεῖν καὶ μεθαρμόττειν τοῦ δη
μου τὴν φύσιν, οὐ ῥᾴδιον οὐδ' ἀσφαλές, ἀλλὰ καὶ χρόνου δεόμ
νον πολλοῦ καὶ μεγάλης δυνάμεως (Πλουτάρχ. Πολιτ.).

— Βέλτιον προκρίνειν τὰ δημόσια ἢ τὰ ἴδια ὠφελεῖν (Σωπάτ.).

— Εἰσὶν αἱ πόλεις ἐπὶ τὸ χεῖρον εὐεπίστρεπτοι, καὶ τὸ πρὸ
χάριν ἀεὶ παρὰ τοῖς πλήθεσιν ἐπικρατεῖ (Ἀππιαν. Ρωμ. Ἱστρ.8,50

— Οὐδέν ἐστιν ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδ
κοῦντας ἔχει (Δημοσθ.).

— Οὐ λίθοι τειχέων εὖ δεδοκιμασμένοι ἀλλ' ἄνδρες πόλι
πύργος ἀρήϊοι (Θουκυδ.).

— Ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
Μὴ τῶν ἀρίστων ἅπτηται βουλευμάτων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
Κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ (Σοφκλ. Ἀντγ. 180).

— Ἐν μὲν ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος ἀλλ' ὁ δυνατεύων δημηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ (Αἰσχ. Κτησ. 220).

— Ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται,
Ἢ τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ,
Οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
Ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν,
Καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία (Σοφοκλ. Ἀντγ. 663).

— Ἐν τῷδε κάμνουσιν αἱ πολλαὶ πόλεις,
Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
Μηδὲν φέρηται τῶν κακιόνων πλέον (Εὐριπίδ.).

— Ἠγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. Καλῶς γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται. κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασώζεται. Ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δ' ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ; (Θουκυδ. 2, 60).

— Οἷς ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς, ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἐστι πολιτεύεσθαι (Δημοσθ.).

— Ἔστιν οὐχ οὗτος ἄριστος πολιτης, ὅστις μικρὰ δοὺς πλείω βλάπτει τὰ κοινά, οὐδ' ὅστις εἰς τὸ παραχρῆμα ἐξ ἀδίκου πορίσας κατέλυσε τῆς πόλεως τὴν ἐκ δικαίου πρόσοδον, ἀλλ' ὅτῳ μέλει καὶ τῶν εἰς τὸν ἔπειτα χρόνου ὠφελίμων τῇ πόλει (Ὑπερίδ.).

— Ἐὰν μὴ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία. οὐκ ἔστι κακῶν παῦλα ταῖς πόλεσι (Πλάτ. πολ. 473. δ.).

— Τάξεως μὲν ἐπικρατούσης, κόσμος τὸ πᾶν, καὶ κάλλος ἀκίνητον. Ἀταξία δὲ καὶ ἀκοσμία ἐν μὲν ἀέρι τοὺς σκηπτούς, ἐν δὲ γῇ τοὺς σεισμούς, ἐν δὲ θαλάσσῃ τὰς ἐπικλύσεις, ἐν δὲ πόλεσι καὶ οἴκοις πολέμους, ἐν δὲ τοῖς σώμασι τὰς ἀρρωστίας, ἐν δὲ ταῖς ψυχαῖς τὰς ἁμαρτίας ἐκαινοτόμησε. Συνδεῖ μὲν γὰρ τάξις, λύει δὲ ἀταξία (Γρηγ Θεολογ. λογ λβ'.)

— Τί δὲ δὴ πόλις; τίνος παραγιγνομένου καὶ ἀπογιγνομένου βελτίων τε γίγνεται, ἄμεινον θεραπεύεται καὶ διοικεῖται; Ἐμοὶ μὲν δοκεῖ, ὅταν φιλία μὲν αὐτοῖς γίγνηται πρὸς ἀλλήλους, το δὲ μισεῖν καὶ στασιάζειν ἀπογίγνηται. Τὰ δίκαια οὖν πραττόντων ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ πόλει τῶν πολιτῶν, φιλία ἐγγίγνεται πρὸς ἀλλήλους. (*Πλάτ. Ἀλκιβιάδ. Α'.*)

— *Οὐ τειχῶν, οὐδὲ τριήρων, οὐδὲ νεωρίων δέονται αἱ πόλεις, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους, οὐδὲ μεγέθους ἄνευ ἀρετῆς. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς μοι μεταδοτέον τοῖς πολίταις. Δύναιτο δ' ἄν τις μεταδιδόναι, ὃ μὴ ἔχει; Αὐτὸ ἄρα σοι πρῶτον κτητέον ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὐτοῦ τε καὶ τῶν αὐτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως . . . Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις, θεοφιλῶς πράξετε, καὶ εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε. (Πλάτ. Ἀλκιβιάδ. Α'.)*

— *Ἓν μὲν δὴ τοῦτο τοσοῦτον ὀλιγαρχία ἂν ἔχοι ἁμάρτημα, τὸ μὴ μίαν, ἀλλὰ δύο ἀνάγκην εἶναι τὴν τοιαύτην πόλιν· τὴν μέν, πενήτων· τὴν δέ, πλουσίων, οἰκοῦντας ἐν τῷ αὐτῷ, ἀεὶ ἐπιβουλεύοντας ἀλλήλοις. (Πλάτ. Πολιτείας Η' )*

— *Τῷ ὄντι τὸ ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι, ἐν ὥραις τε καὶ ἐν φυτοῖς καὶ ἐν σώμασι, καὶ δὴ καὶ ἐν πολιτείαις οὐχ ἥκιστα· ἡ γὰρ ἄγαν ἐλευθερία ἔοικεν οὐκ ἄλλο τι, ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει. Εἰκότως τοίνυν οὐκ ἐξ ἄλλης πολιτείας τυραννὶς καθίσταται, ἢ ἐκ δημοκρατίας, ἐκ τῆς ἀκροτάτης ἐλευθερίας δουλεία πλείστη τε καὶ ἀγριωτάτη. (Πλάτ Πολιτείας Η'.)*

— *Ἥτις μὲν ἂν οὖν τῶν πολιτειῶν τὴν αὐτῆς φθέγγηται φωνὴν πρός τε Θεοὺς καὶ πρὸς ἀνθρώπους καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδιδῷ, θάλλει τε ἀεί, καὶ σώζεται· μιμουμένη δ' ἄλλην, διαφθείρεται. (Πλάτ. Ἐπιστολ.)*

— *Τοὺς μὴ κρατήσαντας αἰεὶ χρή, ὅσαπερ ἐπιθυμήσωσι σωτηρίας, αὐτοὺς ἐν αὐτοῖς ἄνδρας προκρῖναι τῶν ἄλλων, οὓς ἂν πυνθάνωνται ἀρίστους ὄντας. (Πλάτ. Ἐπιστολ.)*

— *Πολιτική, ἐπιστήμη καλῶν καὶ συμφερόντων· ἐπιστήμη ποιητικὴ δικαιοσύνης ἐν πόλει. (Πλάτ. Ὅροι.)*

— *Πολιτεία, κοινωνία πλήθους ἀνθρώπων, αὐτάρκης πρὸς εὐδαιμονίαν· κοινωνία πλήθους ἔννομος. (Πλ. Ὅροι.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΕ'.

### Περὶ γάμου.

— *Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,*
*μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς. (Εὐριπ. Ὀρ 692.) Μήδ 1279. Ἀνδρ. 463. 889. ὀρ. 554. 612. 692).

— Ἀντώνιος πρῶτον μὲν ὁμοῦ δύο γυναῖκας ἠγάγετο, πρᾶγμα μηδενὶ Ρωμαίῳ τετολμημένον. (Πλουταρ. σύγκρ. Δημ. καὶ Ἀντων.)

— Καθόλου μὲν ἢ γαμητέον, ἢ γάμου εἰς τὸ παντελὲς καθαρευτέον. Ἔχεται γὰρ συζητήσεως· καὶ τοῦτο ἐν τῷ περὶ ἐγκρατείας ἡμῖν δεδήλωται. (Κλήμ. Ἀλεξανδρ. Η'. 509.)

— Ἄμεινον γαμῆσαι ἢ πυροῦσθαι, μὴ εἰς πῦρ ἐμβάλῃς τὴν ψυχήν σου . . . Ὁ γῆμαι μὴ θέλων, νέος ἢ πένης, ἢ κατωφερής. (Κλ. Ἀλεξ. Η'. 1100—1104).

— Εἰ δὲ ἁμαρτία ὁ γάμος ὁ κατὰ νόμον, οὐκ οἶδα πῶς τις ἐρεῖ Θεὸν ἐγνωκέναι λέγων τὰ προστάγματα τοῦ Θεοῦ ἁμαρτίαν εἶναι. Ἁγίου ὄντος τοῦ νόμου, ἅγιος ὁ γάμος. (Κλήμ. Ἀλεξ. Η'.1188 — 1188.)

— Διὰ τί οὐκ ἐπιτρέπεται ἡμῖν δύο γυναῖκας ἔχειν, πολλῶν δικαίων ἐν τῇ Παλαιᾷ δύο καὶ τρεῖς ἐχόντων; Εἶπεν ὁ Θεός, ἔσονται οἱ δύο εἰς σάρκα μίαν.» Καὶ οὐκ εἶπεν, ἔσονται οἱ τρεῖς εἰς σάρκα μίαν. Ὁμοίως δὲ τῷ Ἀδὰμ μία δέδοται γυνή. (Ἀθανάσ. κη'. 557.)

— Γάμος οἱονεὶ δάμος παρὰ τὸ δεδμῆσθαι ἀλλήλους τοὺς συζύγους. (Δ. Εὐστ.)

— Γαμείτωσαν δὲ ἐν ὥρᾳ γάμου γενόμενοι παρθένους ἐλευθέρας γονέων ἀγαθῶν. Ὁ δὲ μὴ μέλλων ἄγεσθαι παρθένον μὴ ζευγνύσθω συνοικοῦσαν ἄλλῳ, μηδὲ λυπῶν τὸν πρότερον αὐτῆς ἄνδρα. (Κλήμ. Ρωμ. Α'. 161.)

— Νέων δὲ μὴ μόνον κατεπειγέτωσαν τοὺς γάμους, ἀλλὰ καὶ τῶν προβεβηκότων, μήπως ξέουσα ἡ ὄρεξις προφάσει πορνείας ἢ μοιχείας λοιμὸν προσενέγκῃ τῇ ἐκκλησίᾳ. (Κλήμ. Ρώμ. Β'.41,153.)

— Μονογαμία μὲν κατὰ νόμον γενομένη δικαία, ὡς ἂν κατὰ γνώμην Θεοῦ ὑπάρχουσα· διγαμία δὲ μετὰ ἐπαγγελίαν παράνομον, οὐ διὰ τὴν συνάφειαν, ἀλλὰ διὰ τὸ ψεῦδος. Τριγαμία δὲ ἀκρασίας σημεῖον. τὸ δὲ ὑπὲρ τὴν τριγαμίαν προφανὴς πορνεία, καὶ ἀσέλγεια ἀναμφίβολος. Ὁ γὰρ Θεὸς μίαν γυναῖκα ἑνὶ ἀνδρὶ δέδωκεν ἐν τῇ δημιουργίᾳ «Ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν. (Διαταγ. Ἀποστ. Α'. 764.)

— Τριγαμίας νόμος οὐκ ἔστι. Ὥστε νόμῳ γάμος τρίτος οὐκ ἄγεται. Τὰ μέντοι ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα. (Βασιλ. λβ' 732. Κανὼν 50)

— Γαμῆσαι συμφέρει, ἢ οὔ; Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαν-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος· συμφέρει δὲ τοῖς μετρίοις, ἢ τοῖς ἁπλήστοις, καὶ πλέον ἢ δεῖ τὴν σάρκα τιμᾶν βουλομένους. (Γρηγ. Ναζ. λς'. 293.)

— Σπουδάζετε, ὦ γονεῖς, ὥρᾳ γάμου ζευγνύναι καὶ συναλλάσσειν τὰ τέκνα, ἵνα μὴ τῆς ἡλικίας ἐν τῇ ἀκμῇ ζεούσης ἔθη πορνοκόπα ἀποβῇ. (Διαταγ. Ἀποστόλ. Α'. 824 — Κλήμ. Ρώμ. Β' 41,153.)

— Γάμου σκοπὸς ἐπὶ παίδων ἀνατροφῇ· ἢ παραιτούμενοι τὸ γήμασθαι, τέλεον ἐνεκρατευόμεθα. Ἡ ἀνέδην μίξις οὐκ ἔστιν ἡμῖν μυστήριον. (Ἰουστίν. ς'. 373.)

— Γάμος γενόμενος τέλειος, εἰκόνας ἔχει τοὺς Ἀποστόλους· καὶ τῷ ὄντι ἀνὴρ οὐκ ἐν τῷ μονήρει ἐπανελέσθαι δείκνυται βίου, ἀλλ' ἐκεῖνος ἄνδρας νικᾷ ὁ γάμῳ καὶ παιδοποιΐᾳ καὶ τῇ τοῦ οἴκου προνοίᾳ ἀνηδόνως τε καὶ ἀλύπως ἐγγυμνασάμενος μετὰ τῆς τοῦ οἴκου κηδεμονίας, ἀδιάσπαστος τῆς τοῦ Θεοῦ γενόμενος ἀγάπης καὶ πάσης κατεξανιστάμενος πείρας, τῆς διὰ τέκνων καὶ γυναικός, οἰκετῶν τε καὶ κτημάτων προσφερομένης. Τῷ δὴ ἀοίκῳ καὶ πολλὰ εἶναι συμβέβηκεν ἀπειράστῳ Μόνου γ' οὖν ἑαυτοῦ κηδόμενος, ἠττᾶται πρὸς τοῦ ἀπολειπομένου μὲν κατὰ τὴν ἑαυτοῦ σωτηρίαν, περιττεύοντος δὲ ἐν τῇ κατὰ τὸν βίον οἰκονομίᾳ εἰκόνα ἀτέχνως σώζοντος ὀλίγην τῇ τῆς ἀληθείας προνοίᾳ. (Κλήμ. Ἀλεξ Θ' 497.)

— Εὐέλπιδες ἔστωσαν καὶ οἱ ἐν γάμῳ, νομίμως τῷ γάμῳ χρώμενοι· οἱ γάμου ἔνθεσμον, ἀλλὰ μὴ τοῦτον ἀσελγῆ κατασκευάζοντες, διὰ τὴν ἄμετρον ἐξουσίαν. Καὶ οἱ μονόγαμοι δὲ τοὺς δευτέρῳ γάμῳ συμπεριενεχθέντας μὴ ἀποδοκιμαζέτωσαν καλὸν μὲν ἡ ἐγκράτεια καὶ θαυμάσιον, συγγνωστὸν δὲ καὶ τῷ δευτέρῳ γάμῳ προσελθεῖν, ἵνα μὴ πορνεύσωσιν οἱ ἀσθενεῖς (Κύριλ. Ἱεροσολ. λγ'. 488.)

— Ἐπεὶ οὖν ἐπὶ τῇ συνοχῇ τοῦ γένους, καὶ ἐπὶ αὐξήσει τῆς φύσεως, ὁ τοῦ γάμου ἐδόθη νόμος, τῷ μὲν ἀνθρώπῳ ἡδονὴν ἐνέσπειρε, τὸ δὲ θῆλυ θωπευτικὸν ἐνεποίησεν· οὐχ ἵνα ἑταιρικῶς πρὸς μίξεις ἐρεθίζωνται, ἀλλ' ἵνα ἐννόμως πρὸς γάμον συνάπτωνται. Ὅθεν ἡ μὲν ἔνθεσμος τοῦ γάμου μίξις τιμία παρὰ τῷ Θεῷ· ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν θανάτῳ ὑποβέβληται (Ἀμφιλ. Ἰκον. λθ'. 72.)

— Καλὸν ὁ γάμος· ἀλλ' οὐκ ἔχω λέγειν, ὅτι καὶ ὑψηλότερον παρθενίας. Οὐδὲ γὰρ ἦν τι μέγα ἡ παρθενία, μὴ καλλοῦ καλλίων τυγχάνουσα. Μὴ λοιπὸν χαλεπαίνετε ὅσαι ὑπὸ ζυγόν. Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Πλὴν ἀλλήλαις συνδεσμεῖσθε καὶ καὶ παρθένοι καὶ γυναῖκες, καὶ ἓν ἐστε ἐν Κυρίῳ, καὶ ἀλλήλων καλλώπισμα. οὐκ ἂν ἄγαμος, εἰμὴ γάμος (Γρηγ. Ναζιανζ. λς'. 293).

— Ὅσοι τὸν τοῦ γάμου ζυγὸν ἐδέξασθε φιλοσοφεῖτε ἐν ταῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ἰδιοτροπίαις τῶν γυναικῶν, πλὴν μοιχείας (Γρηγ. Ναζιανζ. λς'. 292).*

— *Γάμος καλός, ὅταν ἐπιθυμία παίδων διαδοχῆς. Γάμου ἐπακόλουθα: χηρεία, ὀρφανία, ἄωρα, καὶ τὰ διάδοχα τῶν κρότων πένθη, καὶ οἱ ἐπὶ τοῖς θαλάμοις τάφοι, καὶ αἱ ἀτεκνίαι, καὶ αἱ κακοτεκνίαι, καὶ οἱ ἀτελεῖς τόκοι καὶ ἀμήτορες, καὶ πᾶσα ἡ περὶ ταῦτα κωμῳδία ἢ τραγῳδία. Ἀμφότερα γὰρ εἰπεῖν οἰκειότατον. Συμφέρει γαμῆσαι; κἀγὼ δέχομαι. Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. Συμφέρει δὲ τοῖς μετρίοις καὶ ἀντέχειν δυναμένοις (Αὐτόθ. 293).*

— *Ἐν τῶν καλῶν παρεῖναι τὸν Χριστὸν τοῖς γάμοις· (οὗ δὲ Χριστὸς, εὐκοσμία), πάντα δεῖ μεταποιεῖσθαι πρὸς τὸ βέλτιον οὕτως, ὡς μὴ τὰ ἄμικτα μίγνυσθαι, μήτε εἰς ταὐτὸν ἄγειν ἐπισκόπους καὶ γελωτοποιούς, εὐχὰς καὶ κρότους, ψαλμῳδίας καὶ συναυλίας. Δεῖ γὰρ ὥσπερ τἆλλα πάντα, οὕτω καὶ τοὺς γάμους χριστιανῶν ἔχειν τὸ εὔκοσμον· κόσμος δὲ ἡ σεμνότης. Ταῦτα δωροφορούμεν τῷ γάμῳ· σὺ δὲ ἀντιδοίης τὴν εὐπείθειαν. Τὸν δὲ γαμβρόν, εἰ μὲν ἕπεται τούτοις, ἔχεις υἱόν· εἰ δὲ μὴ στασιώτην (Αὐτόθ. 376).*

— *Γάμος μέν ἐστιν ἔννομος σαρκῶν δέσις (Αὐτόθ. 958).*

— *Αἰνείσθω δὲ καὶ γάμος· πρὸ γάμου δ' ἀφθορία. Γάμος πατὴρ ἁγίων, ἁγνεία δὲ λατρεία. Ταύτην καὶ τότε ἐτίμων καιροῖς τοῖς εὐθέτοις. Ἀδὰμ ἐν Παραδείσῳ, Μωσῆς ἐν ὄρει Σινᾷ, λειτουργῶν ὁ Ζαχαρίας ὁ πατὴρ τοῦ Προδρόμου (Αὐτόθ. λζ'. 634).*

— *Καλὸν γάμῳ δεδέσθαι, σωφρόνως μόνον, πλεῖον νέμοντα τῷ Θεῷ συσσαρκίας (Αὐτόθ. 643).*

— *Ὁ τὸν γάμον φυλάσσων ἴσος ἐγκρατεῖ γενέσθω (Αὐτ. 648).*

— *Οὐ ψεκτὸς ὁ γάμος, οὐδὲ κώλυμα καὶ ἐμπόδισμα εἰς ἀρετὴν τὸ γυναῖκα ἔχειν καὶ παῖδας τρέφειν, καὶ οἰκίας προϊστασθαι, καὶ τέχνην μεταχειρίζειν (Χρυσόστ. να'. 190).*

— *Εὔπορον λαβὼν γυναῖκα, δέσποιναν μᾶλλον ἔλαβεν ἢ γυναῖκα (αὐτόθ. 231).*

— *Ἀναγκαῖος οὐκ ἂν ἦν ὁ γάμος, εἰμὴ ὁ Ἀδὰμ ἥμαρτεν (αὐτόθ. 543—547)*

— *Θεοῦ νομοθετοῦντος ὁ γάμος ἱδρύθη (Χρυσοστ. μξ'. 495).*

— *Γυναῖκα ἀνδρὶ μετὰ ὁμονοίας συνεῖναι. Μέγα ἀγάπη συζύγων. Οὕτως γάρ, ὄντως πάσης τυραννίδος αὕτη ἡ ἀγάπη τυραννικωτέρα. Αἱ μὲν γὰρ ἄλλαι σφοδραί· αὕτη δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὸ σφοδρόν, καὶ τὸ ἀμάραντον (Χρυσ. ξβ'. 135).*

— *Ὁ μὲν τίμιος γάμος ἐχέτω τὰ ἐγκώμια τὰ οἰκεῖα, ὑπὸ Θεοῦ τε δοθείς, καὶ ὑπὸ τῶν ἀνθρώπων τιμηθείς· πρὸς δὲ τὴν παρθε-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

*νίαν μὴ ἀμιλλάσθω, ἀλλ' ἐν τοῖς οἰκείοις μενέτω ὅροις (Ἰσιδ. Πηλουσ. οη'. 1280, 1461, 1484).*

*— Οὐδεὶς νυμφευθεὶς οὐχὶ χειμάζεται (Ἑλλ. Ἀνθολ. τόμ. β'. σελ. 297).*

## ΚΕΦΑΛΑΙΟΝ ΡΠς'.

### Περὶ μαγείας καὶ μαντείας.

*— Ἐννόησον πηλίκους ἐκεῖ λήψει τοὺς στεφάνους, ὅταν τῶν ἀγγέλων παρόντων καὶ τῶν ἀρχαγγέλων ἁπάντων, τότε παρελθὼν ὁ Χριστὸς καὶ τῆς χειρός σου λαβόμενος εἰς μέσον περιαγάγῃ τὸ θέατρον ἐκεῖνο· καὶ παίδων ἀκουόντων λέγει· οὗτος ὁ ἄνθρωπος πυρεττῷ ποτε ληφθείς, μυρίων αὐτῷ παραινούντων ἀπαλλαγῆναι τῆς νόσου, διὰ τὸ ὄνομα τὸ ἐμὸν καὶ τὸν φόβον τὸν εἰς ἐμέ, ἵνα μηδενὶ προσαχθῇ. . . ἀπώσατο καὶ ἠτίμασε τοὺς ὑπισχνουμένους αὐτὸν θεραπεύειν ἐκείνῳ τῷ τρόπῳ (τῷ μαγικῷ) καὶ εἵλετο μᾶλλον ἀποθανεῖν τῷ νοσήματι ἢ προδοῦναι τὴν εἰς ἐμὲ εὔνοιαν (Χρυσοστόμ. λόγ. ε'. κατὰ Ἰουδαίων).*

*— Οἱ μάντεις λέγονται ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυτοῖς δὲ μὴ προορᾶν τὸ ἐπιόν (Ξενοφ. Συμπόσ. 4, 5).*

*— Τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν (Εὐριπίδ. Ἰφιγ. ἐν Αὐλίδ. 520)*

*— Οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυγατέρα αὐτοῦ ἐν πυρὶ μαντευόμενος μαντείαν, κληδονιζόμενος καὶ οἰωνιζόμενος· φαρμακὸς ἐπαείδων ἐπαοιδήν, ἐγγαστρίμυθος καὶ τερατοσκόπος ἐπερωτῶν τοὺς νεκρούς . . . . οὐκ οἰωνεῖσθε, οὐδὲ ὀρνιθοσκοπήσετε . . . οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις καὶ ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε ἐκμιανθῆναι ἐν αὐτοῖς, ἐγὼ εἰμὶ Κύριος ὁ Θεὸς ὑμῶν. (Δευτερον.)*

*— Ἔστι γὰρ βδέλυγμα κυρίῳ τῷ Θεῷ πᾶς ποιῶν ταῦτα· ἕνεκα γὰρ τῶν βδελυγμάτων τούτων Κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς. (Δευτερονόμιον)*

*— Ὁ μάντις Βαλαὰμ ἀναστήσεται ἐν τῇ γενεᾷ ταύτῃ τοῦ κατακρῖναι αὐτὴν ὅτι οὐκ ἔστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ, καὶ ἰδοὺ πλεῖον Ἰσραὴλ ὧδε. (Ἀριθμ. 23. 21.)*

*— Νόσῳ περιέπεσες χαλεπῇ, καὶ πολλοὶ παραγίνονται ἀναγκάζοντες, ὁ μὲν ἐπῳδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν, σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἤνεγκας γενναίως καὶ ἀκλινῶς; καὶ πάντα ἂν εἵλου παθεῖν ἢ ὑποστῆναί τι τῶν εἰδωλικῶν πρᾶξαι; τοῦτό σοι μαρτυρίου στέφανον φέρει*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μὴ ἀμφίβαλλε . . . ὅτι καθάπερ ἐκεῖνος ὁ (μάρτυς) τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως ὥστε μὴ προσκυνῆσαι τὰ εἰδωλα· οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρειν ἀλγηδόνας, ὥστε μηδενὸς δεηθῆναι τῶν παρ' ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπίσταται. (*Χρυσόστ.*)

— Ὁ διάβολος οὐκ ᾔδει ποῖον τέλος ἀπαντήσει τὰ παλαίσματα. εἰ γὰρ ᾔδει, οὐκ ἂν ἐπεχείρησεν ἵνα μὴ χείρονα τὴν αἰσχύνην ἐφελκύσηται. (*Χρυσοστ. λόγος εἰς τὸν Ἰώβ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΖ'.

### Περὶ τύχης καὶ εἱμαρμένης.

— Οὐκ ἔστι νοῦν ἔχοντος ἀνδρὸς ἔτι τῇ τύχῃ πιστεύειν ἑαυτὸν (*Πλούτ. Μάριος* 45).

— Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται. (*Ὁμ. Ὀδύσ. ά.* 267).

— Συμφοραὶ θεήλατοι
πᾶσιν βροτοῖσιν ἦ τότ' ἦλθον ἢ τότε. (*Εὐριπ. Ἀνδρομ.* 832.)

— Αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ γεγονὸς τάδε εἰς χεῖρας ἄγεσθαι. (*Κῦρος παρ' Ἡροδότ. ά.* 126.)

— Οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν τάξιν. (*Ἐπικτ. ἐγχειρ.* 22.)

— Οὐκ ἂν τάδ' ἔστη τῇδε μὴ θεῶν μέτα. (*Σοφ. Αἴας* 1112.)

— Ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεί,
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς.

— Οὐ γὰρ νομοθετήσοντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πειρώμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων θεῶν. (*Πλουτάρ. Παραμυθ.*)

— Ἡ μὲν εἱμαρμένη πάντως κατὰ πρόνοιαν, ἡ δὲ πρόνοια οὐδαμῶς καθ' εἱμαρμένην. (*Πλουτάρ. περὶ εἱμαρμέν.*)

— Ἐν τῇ ἀνθρωπηΐῃ βάσει οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν. (*Ἡρόδ. γ'. 65.*)

— Δῆλον ὧν μοι, ὅτι θεῖον ἐγένετο τὸ πρῆγμα ἐκ τῆς μήνιος. (*Ἡρόδ. ζ'. 137.*)

— Ὅτι δέει γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ. (*Ἡρόδ Θ', 16.*)

— Ἐπέστρεφον καὶ οὐκ εἶδον ὑπὸ τὸν ἥλιον, ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος· καί γε αὐτῷ σοφῷ ὁ ἄρτος καὶ οὐ τοῖς συνετοῖς ὁ πλοῦτος, καί γε οὐ τοῖς γινώσκουσι χάρις! ὅτι καιρὸς καὶ ἀπάντημα συναντήσεται σύμπασιν αὐτοῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶδον δούλους ἐφ' ἵππου καὶ ἄρχοντας πορευομένους ὡς δού
ἐπὶ τῆς γῆς. (Ἐκκλησιαστ.)

— Καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιλαβεῖν, ἀφελέσθαι
ματα, διαβάλλειν πρὸς δῆμον, ἢ πρὸς τύρανον· κακὸν δὲ καὶ
λὺν καὶ ταπεινόφρονα καὶ ἀγενῆ καὶ φθονερὸν οὐ δύναται
σαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον, οὐδὲ παρελέ
τὴν διάθεσιν τῶν καλῶν. (Σωκράτους.)

— Ὁ Θεὸς τὰ πάντα καὶ μετὰ Θεοῦ τύχη, καιρὸς τὰ ἀν
πινα διακυβερνῶσι σύμπαντα. (Πλάτωνος.)

— Τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταῤῥέπει τὸν εὐτυχοῦντα τ
δυστυχοῦντ' ἀεί. (Σοφοκλέους.)

— Ἄσκοπος γὰρ ἡ τύχη καὶ δεινὴ παρελέσθαι τὰ προσπεπ
μένα, καὶ κεταῤῥίψαι τὴν δοκοῦσαν εὐημερίαν, οὐδέια κα
ἔχουσα τακτόν. (Θεοφράστου.)

— Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ
λον ἀόρατον. (Ἰσοκράτους.)

— Ὅν ἡ τύχη προπηλακίζει καὶ παρὰ τῶν πράων οὗτος
στιγας εὑρίσκει. (Μοσχίωνος.)

« Τύχη τῶν θνητῶν πράγματα, οὐκ εὐβουλία. » Πότερον
δικαιοσύνη τὰ θνητῶν πράγματα οὐδὲ ἰσότης οὐδὲ σωφρο
οὐδὲ κοσμιότης, ἀλλ' ἐκ τύχης μὲν καὶ διὰ τύχην Ἀριστείδης
καρτέρησε τῇ πενίᾳ, πολλῶν χρημάτων κύριος γενέσθαι δυν
νος ; ... ἀπὸ τύχης δὲ ὁ μὲν Φιλίππου Ἀλέξανδρος αὐτός τε
αἰχμαλώτων ἀπείχετο γυναικῶν, καὶ τοὺς ὑβρίζοντας ἐκόλαζ
δὲ Πριάμου, δαίμονι κακῷ καὶ τύχῃ χρώμενος .... ἐνέπλη
πολέμου καὶ κακῶν τὰς δύο ἠπείρους ; Τί γὰρ εὑρετὸν ἢ τί μ
τόν ἐστιν ἀνθρώποις, εἰ πάντα περαίνεται κατὰ τύχην ; ποῖο
οὐκ ἀναιρεῖται βουλευτήριον πόλεως, ἢ ποῖον οὐ καταλύεται
ἕδριον βασιλέως, εἰ ὑπὸ τῇ τύχῃ πάντα ἐστίν ; ἣν τυφλὴν λ
ροῦμεν, ὡς τυφλοὶ περιπίπτοντες αὐτῇ· τί δὲ οὐ μέλλομεν,
ὥσπερ ὄμματα τὴν εὐβουλίαν ἐκκόψαντες αὐτῶν, τοῦ βίου τυ
χειραγωγὸν λαμβάνωμεν. (Πλουτάρχου.)

— Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόν
τύχης ἄλλοτε ἄλλης ῥεούσης, ἐπὶ τ' αὐτὰ συμπτώματα πολ
καταφέρεσθαι τὸ αὐτόματον. — Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνο
πολλάκις τοὺς μὴ νικήσαντας στεφανοῖ. — Ἡ τύχη καθάπερ
της, ποτὲ μὲν ἐπιτυγχάνει βάλλουσα ἐφ' ἡμᾶς, ὥς περ ἐπί τινα
πόν, ποτὲ δὲ ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν. — Ἄκρι
τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. (τοῦ αὐτοῦ.)

— Μιμεῖται γὰρ ἡ τύχη τοὺς περιοδικοὺς πυρετούς, οἳ δ

σιν ἐκεχειρίαν, ἵνα μετὰ βραχὺ ἀγριώτερον ἅμα καὶ σφοδρότερον προσβάλλωσιν, ἐφ' ᾧ τῇ διὰ μακροῦ χρόνου ἐκ διαλειμμάτων προσβολῇ τελείως ἐκτρίψαι τὸ πιεζόμενον σῶμα. (Φιλοθ. Πάρεργα.)

— Ἔφησέ τίς που τῶν φιλοχρύσων τάδε
«Θέλε τύχης σταλαγμὸν ἢ φρενῶν βυθόν,»
Ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.»
Πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων.
«Ῥανίς μοι φρενῶν μᾶλλον, ἢ βυθὸς τύχης,
ὧν μὴ παρόντων ἀπόλλυται καὶ τύχη.» . . .
— Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος
καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει πόνος. (. . .

— Μεγάλη ῥοπή, μᾶλλον δὲ τὸ ὅλον, ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. Δημοσθ. Ὀλυνθ. 2,23.)

— Ἡ τύχη πολλάκις οὐκ ἀκόλουθα ταῖς διανοίαις ἡμῖν πρυτανεύεται (Σωπάτ.)

— Πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα. (Εὐρ. Ἱππόλ. 701.)

— Τοῦτο τὸ δεινότατόν ἐστιν, ὅτι καίτοι μαρτυρομένης τῆς Τύχης παίζειν τὰ τῶν ἀνθρώπων πράγματα καὶ ὁμολογούσης μηδὲν αὐτῶν εἶναι βέβαιον ὅμως ταῦθ' ὁσημέραι βλέποντες ὀρέγονται καὶ πλούτου καὶ δυναστείας καὶ μεστοὶ περιῶσι πάντες οὐ γιγνομένων ἐλπίδων (Λουκιαν. Νιγρ. 20.)

— Ἡ τύχη προπορεύεται πανταχοῦ, καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ ἔδωκε, καὶ ἄλλοις δίδωσι εἰκῇ καὶ ἀβεβαίως. Ὅτι οὐκ ἀσφαλὴς οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. Ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ. (Κέβης 7.)

## ΚΕΦΑΛΑΙΟΝ ΡΠΗ'

### Ὅτι νόσος ὕπουλός ἐστι τῇ ψυχῇ ἡ ἁμαρτία

— Κακία σιωπηθεῖσα νόσος ὕπουλός ἐστι τῇ ψυχῇ. Ὡς οὖν οὐκ ἂν εἴποιμεν εὐεργέτην τὸν κατακλείοντα τῷ σώματι τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν δι' ὀδύνης καὶ ἀμύξεως εἰς τὸ φανερὸν ἕλκοντα, ὥστε διὰ τῆς τοῦ πάθους φανερώσεως εὔγνωστον ὑπάρξαι τὸν τρόπον τῆς θεραπείας οὕτω δῆλον, ὅτι τὸ κρύπτειν ἁμαρτίαν συγκατασκευάζειν ἐστὶ τῷ νοσοῦντι τὸν θάνατον. (Ἰωάν. Δαμασκ. ἱερ. Παραλ. τόμ. γ'. σελ. 153.)

— Ὥσπερ ὁ δόκιμος ἰατρὸς ἑκάστου πόνου καὶ ὀδύνης καὶ ἀλγήματος τάς τε βοτάνας καὶ τὰ κενωτικὰ καὶ τὰ ξήρια καὶ τὰ οὐ-

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

— *Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε κεκράτηνται (Ἰωαν. κ'. 23.)*

— *Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ. (Ἐφεσ. α'. 7)*

— *Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν. (Κολοσ. α'. 14.)*

— *Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματοχυσίας οὐ γίνεται ἄφεσις. (Ἑβρ. θ'. 22)*

— *Ἄφες ἡμῖν τὰ ὀφελήματα ἡμῶν ὡς καὶ ἡμεῖν ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. (Ματθ. ς'. 12).*

— *Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος. (Ματθ ς'. 14).*

— *Κύριε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ· ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς, οὐ λέγω σοι, ἕως ἑπτάκις; λέγει αὐτῷ ὁ Ἰησοῦς, οὐ λέγω σοι, ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. (Ματθ. ιη'. 21.)*

— *Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας (Ἰωάν. α'. ι'. 9.)*

— *Γράφω ὑμῖν τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. (Α'. Ἰωάν. α'. 12.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΚΑ'.

### Περὶ μεταμελείας.

— *Ὅρα, ἄνθρωπε, μὴ ποτὲ σὺ μεταμελήσῃ τῶν κακῶν βουλευμάτων, ὁτὲ ὄφελος τῆς μεταμελείας οὐδέν. — Αἰσχρὸν γάρ, τὸν παρόντα καιρὸν προϊεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδέν ἔστε πλέον ἀνιωμένους. (Βασιλείου.)*

— *Πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν μεμνημένους ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. (Ζαλεύκου.)*

— *Αἰσχρὸν γὰρ ἡ μετάνοια ποιεῖ καὶ τὸ καλῶς πεπραγμένον· ἡ δ' ἐπιστήμης ὡρμημένη καὶ λογισμοῦ προαίρεσις οὐδ' ἂν πταίσωσιν αἱ πράξεις μεταβάλλεται. (Πλουτάρχου.)*

— *Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν ἄνδρα τὸν σοφόν. (Ἐπιχάρμ.)*

— *Σωφρονέστερον οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν, τὸ πρὶν παθεῖν φυλάξεσθαι τοῦ μὴ παθεῖν. (Ἐπιχάρμου.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ἀριστοτέλης ἔφη, ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας ἐγνω· πρώτην μέν, ἐπὶ τῇ γυναικὶ πιστεῦσαι λόγου ἀπόρρητον· δευτέραν δέ, πλεῦσαι ὅσον δυνατὸν πεζεῦσαι· καὶ τρίτον ὅτι μίαν ἡμέραν ἀδιάθετος ἢ ἀπροβούλευτος ἔμεινεν. (Ἀριστοτέλους.)

— Ὅς γὰρ ὡς ἐλαχίστας τὰς μεταμελείας, ἐκ τοῦ χαρίζεσθαι, λαμβάνει, οὗτος ἂν εἴη κράτιστος. (Θουκυδίδης.)

— Μεταμέλεια δὲ ἄλγους ὑπάρχει μήτηρ, καθ' ἑκάστην δάκνουσα τὴν καρδίαν· τὰ δὲ δήγματα τοσούτῳ εἰσὶ πικρότερα, ὅσῳ αὐθαιρετοτέρας ἔχουσι τὰς αἰτίας. — Χρὴ τοίνυν Προμηθέας μᾶλλον ἢ Ἐπιμηθέας εἶναι· ᾧ τὸ μὲν μεταμέλειν ἦν, τὸ δὲ μέλειν οὐκ ἦν. — Οὕτως ἐγώ φημι ἄνθρωπον μακαριώτατον εἶναι τὸν ἔλαττον μεταμεμελημένον. (Νεοφ. Δούκα.)

— Ὄντως δεινὸν μεταμέλεια, καὶ τὸ τοιγὰρ τῆς ζημίας ἐπαισθάνεσθαι. ( .

## Περὶ σπουδῆς πρὸς μετάνοιαν.

— Ἕως ἔτι τῶν λογισμῶν κύριος εἶ πρόσδραμε τῷ δωρήματι . . . ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθόν, ἀλλ' αὐτὸς εἶ τούτου κύριος· ἕως οὐ παράφορος ἡ γλῶσσα, οὐδὲ κατεψυγμένη. (Γρηγ. Θεολ. λογ. μ'.)

## ΚΕΦΑΛΑΙΟΝ Ρ΄Β'.

## Περὶ κακῶν, φαύλων.

— Δούλους εἶναι τοὺς φαύλους ἅπαντας. (Πλουτ. Κάτων. νεώτερ. 65).

— Κακία νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια (τῆς ψυχῆς). (Πλάτ. πολιτεία δ'. 444).

— Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ. (Πλουτ. Ἀρταξ. 28).

— Ἐνθάδ' ἀπορρήξας ψυχὴν βαρυδαίμονα κεῖμαι
τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.
(Πλουτ. Ἀντων. 70).

— Οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη. οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι· τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. (Πλάτ. Θεαίτ. 676 ά.)

## ΚΕΦΑΛΑΙΟΝ Ρ΄Γ'

## Περὶ συνηθείας καὶ ἔθους.

Ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος, ὡς νόμος ἐφυλάχθη. (Σοφία Σολομ. ιδ'. 16.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Πολλοὶ ἀρχαίῳ ἔθει κεκρατημένοι, τὸ μυσαρὸν τῶν γενομένων οὐ διακρίνουσι.* (*Βασιλείου*)

*Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός ἐστιν ἐπὶ τὰ πράγματα* (*τοῦ αὐτοῦ.*)

*Χρόνῳ τὸ ἔθος βεβαιωθέν, ἐνομίσθη νόμος.* (*Ναζιανζοῦ.*)

*Οὐ ῥᾴστη τῶν ἐν ἔθει καὶ μακρῷ χρόνῳ τετιμημένον ἡ μετάθεσις.*

*Ἡ συνήθεια τῶν ἁμαρτημάτων ἐπὶ τὸ χεῖρον ἄγει τὴν ἐμπεσοῦσαν ψυχήν.* (*Χρυσοστ.*)

*Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιεῖν μεμαθηκότες κακά.*

*Παλαιωθὲν πάθος ψυχῆς καὶ κακοῦ μελέτη, χρόνῳ βεβαιωθεῖσα, δυσίατός ἐστιν ἢ καὶ ἀνίατος παντελῶς, εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους μεθισταμένου. — Ἔθος χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος· καὶ ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα τοῦ συννόμου αὐτοῦ καὶ ὁμοζύγου τελευτήσαντος. Οὔτε ἐν καιρῷ γράψαι δυνατόν, μὴ προκαταλεάναντα τοὺς ἐναποκειμένους χαρακτῆρας, οὔτε ψυχῇ θεῖα δόγματα παραθέσθαι, μὴ τὰς ἐκ τοῦ ἔθους προλήψεις ἐξελόντα.* (*Σολομῶντος*)

*Ῥᾷον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίᾳ καὶ προϊοῦσαν διαφυγεῖν· ἢ προβαινουσαν ἀνακόψαι, καὶ φανῆναι ταύτης ἀνώτερος. Οὐδὲν οὕτως ἰσχυρὸν ἀνθρώποις ὡς συνηθείας παλαιᾶς τυραννίς. — Τινὲς τῶν ἔξωθεν, δευτέραν φύσιν τὴν συνήθειαν ἐκάλεσαν.* (*Χρυσοστ.*)

*«Ὁ γὰρ μισεῖ τις διὰ τὴν ἐπιοῦσαν τῇ ἡλικίᾳ σύνεσιν, τοῦτο διὰ τὴν πολυχρόνιον τῶν κακῶν συνήθειαν, πράττειν συναναγκάζεται. Πολλή τις ἡ διαφορὰ τυγχάνει ἀληθείας τε καὶ συνηθείας. Ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη εὑρίσκεται, τὸ δὲ ἔθος, ὁποῖον παραληφθῇ, εἴτε ἀληθὲς εἴτε ψευδές, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται, καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβών, οὔτε ψευδεῖ ἄχθεται. — Οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε, γνώμην τῶν πρὸ αὐτοῦ ἐπὶ ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. Καὶ οὐκ ἔστι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολήν, κἂν πάνυ αὐτῷ δείκνυται μωρὰ καὶ καταγέλαστος οὖσα.* (*Κλήμεντος Ρώμης.*)

*Ἃ δ' ἂν μάθῃ τις ταῦτα σώζεσθαι φιλεῖ πρὸς γῆρας.* (*Εὐριπ.*)

*Τὸ γὰρ ἦθος ἀπὸ τοῦ ἔθους ἔχει τὴν ἐπωνυμίαν. Ἠθικὴ γὰρ καλεῖται διὰ τὸ ἐθίζεσθαι.* (*Ἀριστοτέλ.*)

*Ἐγχρονίζον ἔθος, φύσεως κραταιότερόν ἐστιν· καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρτήματα, φύεται καὶ ἐπιδίδοται πρὸς μέγεθος συναυ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ξάνοντα. — Μηδαμῶς τὴν φύσιν αἰτιώμεθα· πάντα γὰρ βίου ἡδὺν ἢ ἀηδῆ ἡ συνήθεια ποιεῖ. (Φίλωνος.)*

*Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, ὁμιλώμενον δέ, τὴν ἰσχὺν μείζονα λαμβάνει. — Ἀμήχανον μακρὰν συνήθειαν ἐν βραχεῖ λῦσαι χρόνῳ· τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον. (Πολυαίνου.)*

*Τὰς ἠθικὰς ἀρετὰς ἠθικὰς ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειε. (Πλουτάρχ.)*

*Ἡ γὰρ ἕξις, οἷον ἐπίκτητόν ἐστιν ἐνστικτον, καὶ δευτέρα φύσις ἀτεχνῶς γίνεται· ὅθεν καὶ προσοχῆς οὐ σμικρᾶς χρεία, ἵνα μὴ ὑπὸ ὀλεθρίων κυριευθῇ ἕξεων, δυσχερέστατον γάρ, ἵνα μὴ εἴπω ἀδύνατον, τὰς κακὰς ὅλως ἀπομαθεῖν. Οὐ ῥᾴστη τῶν ἐν ἕθει καὶ μακρῷ χρόνῳ τετιμημένων ἡ μετάθεσις (Θεοφίλου Καΐρη.)*

*— Ἕξις μὲν γὰρ ἀπὸ συνηθείας, ἀπὸ δὲ ἕξεως φύσις ἐγγίνεται, φύσιν δὲ μετακινῆσαι καὶ μεταβαλεῖν χαλεπόν. (Νείλος.)*

*— Ἔθος διὰ μακροῦ χρόνου βεβαιωθέν, φύσεως ἰσχὺν λαμβάνει. (Βασίλ.)*

*— Μελέτα περὶ τῶν καλῶν λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. (Ἰσοκρ.)*

*— Τὰ ἐκ πολλοῦ χρόνου ξυνήθεα, κἂν ᾖ χείρω, τῶν ἀξυνήθων ἧσσον ἐνοχλέειν ἔωθε· δεῖ οὖν καὶ εἰς τὰ ἀξυνήθεα μεταβάλλειν. (Ἱπποκράτ. ἀφορισμ. 2,50.)*

*— Καὶ τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει. (Αἰσώπ. μῦθ. 7.)*

*— Μένουσιν αἱ φύσεις ὡς προῆλθον τὸ πρότερον. (Αἰσώπ. μῦθ. 204.)*

*— Φύσιν οὐκ οἶδε μεταβάλλειν ἡ δίαιτα. (Αἰσωπ μῦθ. 222.)*

*— Ὁ Θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν. (Ἀριστ. Οὐρ. 1,4.)*

*— Ὃ ἔθησεν ἡ φύσις, τοῦτο καὶ φύσις λύει. (Πορφυρ. φιλοσ. 8.)*

*— Πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένης δημοσίας ἀπεργάζεται συμφοράς. (Αἰσχ. Κτισ. 147.)*

*— Ὑπὸ τῆς συνηθείας οἱ πολλοὶ κατεχόμενοι καὶ παραλογιζόμενοι, οὐδὲ διαγινώσκουσιν αὐτῶν τὸ ἄτοπον, ἀλλ' ἑτέρων δέονται τῶν διδασκόντων. (Χρυσόστ. εἰς τὴν Α'. πρὸς Κορινθ. ὁμιλ. ιβ'.)*

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΔ'.

### Περὶ πατραγαθίας.

*— Ἐπὶ προγόνων εὐγενείᾳ μηδὲν ἐναβρύνεσθαι· πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα. (Θέσπιδος)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Τὸ γένος τύχης ἔργον ἐστίν· οὐ γάρ τις ὁπόθεν βούλεται τίκτεται (Συριαν. καὶ Σωπάτ. παρὰ Ἑρμογένει. 140).

— Οἵηπερ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν,
φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη.
Ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει, ἡ δ' ἀπολήγει (Ἰλιὰς 4, 146).

— Ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή. (Σοφοκλ. Αἴας. 479).

— Στερρῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ. (Μενάνδρ.)

— Ἀνδρὶ οἰομένῳ τι εἶναι οὐκ ἔστιν αἴσχιον ἢ τι παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτόν, ἀλλὰ διὰ δόξαν προγόνων. (Πλάτ. Μενέξ. 232).

—Γένους γὰρ λαμπρότης παιδείᾳ καὶ σοφίᾳ καταγλαϊζομένη μέγας ἐπὶ γῆς θησαυρός· ἐπανθεῖ δὲ τῇ εὐγενείᾳ ἦθος ὑπαρίας ἁπάσης καθαρόν, φιλοτιμίας δὲ μεστόν.—Ἡ γὰρ περὶ τὸ θεῖον εὐσέβεια ἐπισημότατος εὐγενείας χαρακτήρ· ὁ δὲ παλαιότητι προγόνων ἐναβρυνόμενος, πῶς γε ἀνάσχοιτο ἂν τυφλώττειν, ἀγνοῶν τὸν πατέρα τῶν ὅλων Θεόν; (Φιλοθέου Πάρεργα).

## ΚΕΦΑΛΑΙΟΝ ΡΛΕ'.

### Περὶ οἰκονομίας.

— Παράχρησίς ἐστιν ἡ ὑπὲρ τὴν χρείαν δαπάνη. (Βασιλείου).

— Οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν προσδεῖται, πάντων δὲ ἐπιμελούμενος ἐκπληρώσει..... Δοκεῖ γοῦν, οἰκονόμου ἀγαθοῦ εἶναι εὖ οἰκεῖν τὸν ἑαυτοῦ οἶκον. (Σωκράτ.)

— Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι (Βασιλείου).

— Τῆς αὐτῆς ἐστι δυσχερείας, καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον καὶ κτηθὲν διασώσασθαι (Γρηγ. Θεολόγου).

— Οἱ μέν τοι ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι (Σωκράτους).

— Τὸ γὰρ τὰς δαπάνας χωρεῖν ἐντελεῖς ἐκ τῶν οἴκων, τὰ δὲ ἔργα μὴ τελεῖσθαι λυσιτελοῦντες πρὸς τὴν δαπάνην, ταῦτα οὐκέτι δεῖ θαυμάζειν ἐὰν ἀντὶ περιουσίας ἔνδειαν παρέχηται.

— Καὶ εἰ μὴ χρήματά τις τύχοι ἔχων, ὅμως ἔστι τις ἐπιστήμη οἰκονομίας· τί οὖν κωλύει καὶ σὲ ἐπίστασθαι;

— Χείριστον τῶν ἐν τῷ βίῳ τὸ «μὴ παρὰ τοῦτο» λεγόμενον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*εἰ γὰρ καταφρονεῖται ὡς μικρὸν ἕκαστον καὶ ἐπιλέγοιμεν «μὴ παρὰ τοῦτο», κακῶς πράξοιμεν· ἐν μὲν οὖν οἰκονομίαις λιμώξομεν, τοῦτο ἀεὶ ἐπᾴδοντες· ἐν δὲ τῇ ψυχῇ νοσήσομεν, πολλάκις παρορῶντες τὸ ὀρθόν, λέγοντες δὲ ταύτην τὴν φωνήν· ἡ γὰρ καθ' ἕκαστον ἔλλειψις μεγάλην ἀθροίζει τοῖς παρορῶσι τὴν βλάβην (Ἀριστοτέλους).*

*— Φείδεσθαι μὲν ἄμεινον· ἐπὶ οὐδὲ θανόντ' ἀποκλαίει οὐδείς, ἂν μὴ ὁρᾷ χρήματα λειπόμενα. (Θεόγνιδος).*

*— Οὐ γὰρ πέφυκε μένειν ὁ πλοῦτος, μὴ φειδωλοῦ καὶ νήφοντος δεσπότου τυχών, καὶ κλείθρων ὑπαγομένων πολλάκις ὑπὸ τῆς χρείας. Οἰκονομίας τοίνυν δεῖ πρῶτον, ἣν ὁ ἄσωτος βίος φιλαργυρίαν καλῶν ἀποστρέφεται, καθάπερ καὶ αὐτὴ ἐκεῖνον, ὡς ἐκδεδιητημένον βδελυττομένη σωφρόνως μισεῖ. Ταύτης οὖν τῆς σώφρονος ἔχου, εἰ μὴ βούλει τὸ τῶν Δαναΐδων παθών, εἰς τετρημένον πίθον ἀντλεῖν. (Νεοφ. Δούκα).*

*— Οἱ παρὰ τὰς εὐθηνίας τοῦ μέλλοντος μὴ προνοούμενοι, παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσιν (Αἰσώπ. μῦθ. 84).*

## ΚΕΦΑΛΑΙΟΝ Ρϟ'.

### Περὶ τῆς ἰσχύος τοῦ παραδείγματος.

*— Ὁ Πλάτων ἔφη· ὅπου ἀναισχυντοῦσι γέροντες, ἐνταῦθα ἀνάγκη καὶ νέους ἀναισχυντοτάτους εἶναι.*

*— Ἰσοκράτης ἔλεγε κάκιστον ἄρχοντα τὸν ἑαυτοῦ μὴ δυνάμενον ἄρξαι. (Ἰσοκρ.)*

*— Πρὸ πάντων δεῖ τοὺς πατέρας μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα, ἃ δεῖ, πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων, (Πλουτ. Παιδ. ἀγωγ. 20).*

*— Ὁποῖοί τινες ἄν οἱ προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ὡς ἐπὶ τὸ πολὺ γίγνονται (Ξενοφ. Κύρ. Παιδ. 8, 8, 5).*

*— Ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα· οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῦ μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως. (Βασιλ. περὶ ἀρετῆς καὶ κακίας λόγος α'. β. τόμ. δ'. σελ. 1125.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Πέφυκεν ὡς τὰ πολλὰ τὸ τῶν ἀρχομένων πλῆθος, ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰκόνα, τοὺς τῶν ἀρχόντων τρόπους ὁρᾶν, καὶ πρὸς ἐκείνους ἐξομοιοῦν ἑαυτούς. Πῶς οὖν ἄν τις τὰς ἐκείνων παύσειε φλεγμονάς, οἰδαίνων αὐτός ;* (*Χρυσ. περὶ Ἱερωσ. λόγ. γ'. ιδ'.*)

## ΚΕΦΑΛΑΙΟΝ ΡϞΖ'.

### Περὶ παρακοῆς.

— *Ὁ Ἀδὰμ ἐκτίσθη καθαρὸς ὑπὸ τοῦ Θεοῦ εἰς διακονίαν αὐτοῦ.... ἀλλ' ὁ λόγος ὁ πονηρὸς εἰσῆλθεν αὐτῷ καὶ προσωμίλησεν, αὐτὸς πρότερον διὰ τῆς ἔξωθεν ἀκοῆς ὑπεδέξατο αὐτόν, εἶτα διῆλθεν αὐτοῦ διὰ τῆς καρδίας καὶ κατέσχεν αὐτοῦ πᾶσαν τὴν ὑπόστασιν.* (*Μακάριος.*)

— *Οὔτε τῇ σαρκὶ κατ' ἀρχὰς συνεκτίσθη ἡ ἡδονή· οὔτε τῇ ψυχῇ λήθη καὶ ἡ ἄγνοια· οὐδὲ τῷ νῷ τὸ τυποῦσθαι καὶ μετατυποῦσθαι τοῖς εἴδεσι τῶν γεγονότων· τούτων γὰρ ἡ παράβασις ἐξεῦρε τὴν κτίσιν.* (*Μάξιμος.*)

— *Ὅς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ ὁ δὲ φοβούμενος ἐντολὴν οὗτος ὑγιαίνει.* (*Παροιμ.*)

— *Καὶ ἔσται γάρ, φησίν, ἐὰν μὴ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου φυλάσσεσθαι πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαι σήμερον, ἐλεύσονται ἐπὶ σὲ αἱ κατάραι αὗται καὶ καταλήψονται θέρμη, ψώρα, τυφλότης, κωφότης, κνισμάρα, πεῖνα, δυστυχία.* (*Δευτερον. κη'.*)

— *Ἐπικατάρατος, φησίν, ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς· εἰ οὖν ὁ ἀμελῶς ποιῶν ἐπικατάρατος, ἆρα ὁ μὴ ποιῶν τίνος ἐστὶν ἄξιος ; πόσῳ μᾶλλον ἐπικατάρατοι, οἱ μὴ ποιεῖν ὁπωσοῦν τὸ ἀγαθὸν ἀνασχόμενοι.*

## ΚΕΦΑΛΑΙΟΝ ΡϞΗ'.

### Περὶ μεσότητος καὶ ὅτι ἐν τῇ μεσότητι ἡ ἀρετή.

*Μὴ γίνου δίκαιος πολύ, καὶ μὴ σοφίζου περισσά, μήποτε ἐκπλαγῇς, καὶ μὴ ἀσεβήσῃς πολύ, καὶ μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.* (*Ἐκκλησιαστὴς ζ'. 17.*)

*Βάρος ὑπὲρ σὲ μὴ ἄρῃς.* (*Σειρχ. ιγ'. 12.*)

*Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί, εἰδότες ὅτι μεῖζον κρίμα ληψόμεθα. Πολλὰ γὰρ πταίομεν ἅπαντες.* (*Ἰακώβ. γ'. 1.*)

*Μηδεὶς ἔστω πλέον, ἢ καλῶς ἔχει σοφός, μηδὲ τοῦ νόμου νομιμώτερος, μηδὲ τοῦ κανόνος εὐθύτερος, μηδὲ τῆς ἐντολῆς ὑψηλότερος.* (*Ναζιανζοῦ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Σύμμετρος ἐστω τῆς ἀρετῆς ὁ πόνος, ἵνα μὴ ἄμετρος γένηται τῆς μεταβολῆς ὁ τρόπος. (Χρυσοστόμου.)*

*Σοφία, καὶ τὸ γινώσκειν ἑαυτόν, ἀλλὰ μὴ ὑπερεπαίρεσθαι, μηδὲ ταὐτὸν ταῖς φωναῖς πάσχειν, αἵ παντελῶς ἐκλείπουσιν, ἐὰν ὑπερφωνῶνται δι' ἀμετρίαν. (τοῦ αὐτοῦ.)*

*Τοῦτο εἰδότες, ἀδελφοί, μήτε νωθεῖς ὦμεν πρὸς τὸ καλόν, ἀλλὰ τῷ πνεύματι ζέωμεν, μήποτε ὑπνώσωμεν κατ' ὀλίγον εἰς θάνατον, ἢ καθεύδουσιν ἡμῖν ἐπισπείρῃ τὰ πονηρὰ σπέρματα ὁ ἐχθρός· νωθεία γὰρ ὕπνου σύζυγος· μήτε δὲ διάπυροι, μηδὲ τῆς βασιλικῆς ὁδοῦ ἔξω πίπτωμεν, ἓν γέ τι πάντες πταίοντες, ἢ κέντρου δεόμενοι διὰ τὴν νωθείαν, ἢ χαλινοῦ, διὰ τὴν θερμότητα, καὶ τὸ μὴ ἐκχρημνίζεσθαι· ἀμφοτέρων δὲ ὅσον χρήσιμόν ἐστι, λαμβάνοντες, τῆς μὲν τὸ πρᾶον, τῆς δὲ τὸν ζῆλον, ἀμφοτέρων ὅσον ἐστὶ βλαβερὸν διαφύγωμεν, τῆς μὲν ὄκνον, τῆς δὲ τὸ θράσος, ἵνα μήτε τῷ ἐλλείποντι ὦμεν ἄκαρποι, μήτε τῷ περιττεύοντι κινδυνεύωμεν· ὁμοίως γὰρ ἄχρηστα, καὶ νωθρότης ἄπρακτος, καὶ θερμότης ἀπαίδευτος· ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον. (τοῦ αὐτοῦ.)*

*Κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν, ἢ τὸ πᾶν ἐλλιπεῖν· οὐ γὰρ ὁ μὴ δυνηθεὶς τὰ τοιαῦτα ὑπεύθυνος, ἀλλ' ὁ μὴ βουληθεὶς ὑπαίτιος, κἂν θείοις ὁμοίως, κἂν τοῖς ἀνθρωπίνοις πράγμασιν. (τοῦ αὐτοῦ.)*

*Οὔτε νωθρότερον εἶναι τοῦ μετρίου, καλόν, οὐδὲ θερμότερον, ὡς ἢ δι' εὐκολίαν πᾶσι συμφέρεσθαι, ἢ δι' ἀταξίαν πάντων ἀποστατεῖν· ὁμοίως γὰρ καὶ τὸ νωθρὸν ἄπρακτον, καὶ τὸ εὐκίνητον ἀκοινώνητον. (τοῦ αὐτοῦ.)*

*Πᾶν μέτρον ἄριστον.*

*Τοιαύτη ἡ τοῦ Χριστοῦ σοφία, μήτε ἐλλιπῶς, μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, πανταχοῦ δὲ τὴν συμμετρίαν φυλάττουσα. (Χρυσοστ.)*

## ΚΕΦΑΛΑΙΟΝ Ρ΄Θ΄.

### Περὶ συμμέτρου καὶ μεσότητος.

*— Μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι. (Χίλων παρὰ Διογ. Λαερτ. 1,41.*

*— Εἴ τις ὑπερβάλλοι τὸ μέτριον τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γένοιτο. (Στοβ. ἀνθολ. 7, 60).*

*— Τῶν μετρίων πρῶτα μὲν εἰπεῖν*
*Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Λῶστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'*
*Οὐδένα καιρὸν δύναται θνατοῖς.* (*Εὐριπ. Μήδεια* 125).

— *Μέτρον ἐπὶ πᾶσιν ἄριστον.* (*Πυθαγόρ.*)

— *Ὥσπερ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται· τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι βαπτίζεται.* (*Πλουτ. Παιδ. ἀγωγή.* 13).

— *Τὸ χαρᾶς ὑπερβάλλον εἰς ἀλγεινὸν περιέστη πολλάκις καὶ τῆς ἡδονῆς τὸ ἄμετρον ἐπίσπαστον λύπην ἐγεννησεν.* (*Ἡλιοδώρ. Αἰθιοπ.* 2,6)'

— *Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.* (*Φωκυλίδ. ἐν Πολιτ. Ἀριστοτ.* 4, 9, 7).

— *Μηδὲν ἄγαν σπεύδειν, πάντων μέσ' ἄριστα καὶ οὕτως*
*Κύρι' ἕξεις ἀρετὴν ἥν τε λαβεῖν χαλεπόν.* (*Θεόγν.* 335).

— *Καὶ τῷ ὄντι τὸ ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι ἐν ὥραις τε καὶ ἐν φυτοῖς καὶ ἐν σώμασι, καὶ δὴ καὶ ἐν πολιτείαις οὐχ ἥκιστα. Ἡ γὰρ ἄγαν ἐλευθερία ἔοικεν οὐκ εἰς ἄλλο τι ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν καὶ ἰδιώτῃ καὶ πόλει* (*Πλάτ. Πολιτ.* 8, 564).

— *Πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον* (*Ἱπποκράτους*).

— *Ὕπνοι, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γινόμενα, κακόν* (*Ἱπποκράτους*).

— *Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν*
*κρεῖσσον· ἐμοὶ γοῦν, εἰ μὴ μεγάλως,*
*ὀχυρῶς γ' εἴη καταγηράσκειν.*

— *Ἐξ ἁπάντων ἐκλεκτέον τῷ σώματι τὸ σύμμετρον* (*Γαληνοῦ*).

— *Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκεν.* (*Ἰσοκράτ.*)

— *Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.* (*Ἰσοκράτ.*)

— *Ἡ δὲ εὐλάβεια καὶ τὸ «μηδὲν ἄγαν» ἄριστον.* (*Πλουτάρχ.*).

— *Μέτρῳ χρῶ* (*Πιττακοῦ*).

## ΚΕΦΑΛΑΙΟΝ Σ'.

### Περὶ καθήκοντος.

— *Οὐδεὶς πόρος ἐστὶν ἀνθρώπῳ παραβῆναι τὸ καθῆκον ἐκ τοῦ Θεοῦ* (*Παυσαν.* 1, 5, 4).

— *Οὗ ἄν τις ἑαυτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖν μένοντα κινδυνεύειν μηδὲν ὑπολο-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γιζόμενον, μήτε θάνατον μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ. (Πλάτ. Ἀπολ. 28).

— Κράτιστοι ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γινώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων (Θουκυδ. 2, 40)

— Οὐκ ἔστι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
Τῆς δὲ φυγῆς ἐστιν τοῦτ' ἀνιαρότατον. (Θεόγν. 209).

## ΚΕΦΑΛΑΙΟΝ ΣΑ'.

### Περὶ ἀπορρήτων.

Ὁ ἀποκαλύπτων μυστήριον πορεύεται δόλῳ.

Ἀκήκοας λόγον ἀποθανέτω σοι.

Ἀνελεημων ὁ μὴ συντηρῶν λόγους, καὶ οὐ μὴ φείδεται περὶ κακώσεως καὶ δεσμῶν.

Ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν, οὐ γὰρ οἶδας τί τέξεται. Μὴ ἀνθρώπῳ ἔκφαινε καρδίαν σου.

Ὁ κατέχων τὸν λόγον ἐν ἀσφαλείᾳ πολλῇ, μετὰ πολλῆς βιώσεται ἡδονῆς.

Ἤκουσας λόγον, φησίν; συναποθανέτω σοι, σβέσον αὐτόν, κατάχωσον, σύγχωσον μὴ συγχωρήσῃς ἐξελθεῖν, μηδὲ κινηθῆναι παράπαν· ἀπόκτεινον τὸ λεχθέν, λήθῃ παράδος, ἵνα τοῖς οὐκ ἀκούσασι ὅμοιος γένῃ.

Οἱ λάλοι τὰ ὀφείλοντα ἡσυχάζεσθαι ῥήγνυνται, τρόπον τινὰ ἐπὶ γλωσσαλγίας προχέουσιν εἰς ὦτα ἀκοῆς οὐκ ἄξια. (Ἰωάν. Δαμ. Τμ. Β'. Σελ. 576.)

Λόγος ἁπλῶς προσενεχθείς, ὁλοκλήρους πολλάκις οἴκους ἀνέτρεψε, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέδυσε· καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν πάλιν ἔνι λαβεῖν· λόγον δὲ ἐκπηδήσαντα ἅπαξ ἀνακτήσασθαι πάλιν οὐκ ἔνι. (Χρυσοστμ.)

Ἀκήκοας λόγον; συναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξει. (Σολομ.)

Γλῶσσα μαλακὴ συντρίβει ὀστᾶ. (»)

Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. (Ἰσοκράτ.)

Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσιν. (»)

Ὀνειδίζοντός τινος Δημοσθένει, ὅτι τὸ στόμα δυσῶδες εἶχε·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλὰ γάρ, εἶπεν, ἐν αὐτῷ, τῶν ἀπορρήτων, ἐγκατεσάπη. (Δημοσθ.)

Λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. (Περιάνδρ.)

Ζήνων ὁ φιλόσοφος, ἵνα μηδ' ἄκοντος αὐτοῦ πρόηταί τι τῶν ἀπορρήτων ἐκβιαζόμενον τὸ σῶμα ταῖς ἀνάγκαις, διαφαγὼν τὴν γλῶσσαν προσέπτυσε τῷ τυράννῳ.

## ΚΕΦΑΛΑΙΟΝ ΣΒ'.

### Περὶ ἀφρόνων.

— Ἀφρόνων ἄνοια ἐν πλάνῃ. «Οἱ ἐγκαταλείποντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν· οἱ δὲ ἀγαπῶντες τὸν νόμον περιβάλλουσιν ἑαυτοῖς τεῖχος. Ἄνδρες κακοὶ οὐ συνήσουσι κρίμα· οἱ δὲ ζητοῦντες τὸν Κύριον συνήσουσιν ἐν παντὶ» (Παροιμ. κη'. 4. 5 (Κλήμ. Ἀλεξ. η'. 1045.)

— Ἄφρων καὶ ἄνους τί διαφέρουσιν; Ἄφρων μὲν γάρ ἐστιν ὁ ἐστερημένος φρονήσεως, καὶ πρὸς τὰ κοινὰ καὶ ἀνθρώπινα διορατικῶς μὴ ἔχων. Ἄνους δὲ λέγεται ὁ οὐκ ἔχων τὰ τοῦ ἀνθρώπου ἐξαίρετα. Κέχρηται μέν τοι καὶ ἐνηλλαγμένως τοῖς ῥήμασιν ἡ συνηθεια τῆς Γραφῆς, τὸν μὲν ἄθεον ἄφρονα λέγουσα ἐν τῷ «εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός·» καὶ πάλιν τὸ περὶ τὴν ζωὴν βλαβερὸν ἀνόητον ὀνομάζουσα· ὡς ὁ Ἀπόστολος περὶ τῶν ἐμπιπτόντων «εἰς ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς, οἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν.» (Α'. πρ. Τιμόθ. ς'. 9.) Οὕτω μέν τοι ὁ ἄφρων καὶ ὁ ἄνους πρὸς ἓν κοινὸν τέλος τὴν ἀπώλειαν καταφέρονται. Δύναται δὲ εἰπεῖν ἄφρονα μὲν τὸν ἀσεβῶς ζῶντα, ἄνουν δὲ τὸν ἰουδαϊκῶς κατὰ τὴν ψιλὴν τοῦ νόμου τήρησιν πολιτευόμενον. (Βασιλ. κθ'. 444—445.)

— Τοῦ ἄφρονος ἡ ψυχὴ φιλοσώματός τις καὶ σαρκώδης γεγενημένη ἐν τῷ βλέπειν τὰ μάταια καὶ ἄστατα, βλέπει οὐδέν· σκότος γάρ ἐστιν ἀληθῶς ἡ ἐν τούτοις ὀξυωπία. Ὅθεν ὁ ἄφρων ἐν σκότει πορεύεται. (Γρηγ. Νύσσης μδ'. 684—885. 688.)

— Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πολλ' ἀγορεύειν.
Καὶ σιγᾶν αἰεὶ τοῦτο μὲν οὐ δυιατόν. (Θεόγν. 625.)

— Ἡ μὲν φύσις ὀλίγους τῆς εὐξίας ἐστέρησεν· ἡ δὲ ἀφροσύνη πάντας τοὺς δουλεύοντας ἡδοναῖς ἀνηκέστοις πάθεσι περιπεσεῖν παρεσκεύασε.

— Μὴ ἀποκρίνου ἄφρονι, πρὸς τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ. (Σειράχ.)

— Καθάπερ τοῦ ἡλιακοῦ φωτὸς τὴν ἀπαστράπτουσαν ἀκτῖνα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκότος ἐπελθὸν ἀποκρύπτει, οὕτω πολλάκις καὶ τὴν σύνεσιν τὴν ἡμετέραν, καθάπερ ἐν σταθερᾷ μεσημβρίᾳ λάμπουσαν καὶ διαφαινομένην, ἐπελθοῦσα ἄνοια, ἀπέκρυψεν· καὶ ὁ μὲν σοφὸς τὸ δέον οὐ συνεῖδεν, ὁ δὲ ἐλάττων ἐκείνου, πολλῷ ὀξύτερον τούτου ἐφώρασε· καὶ τοῦτο γίνεται, ἵνα μήτε ὁ σοφὸς ἐπαίρηται, μήτε ὁ εὐτελὴς ἑαυτὸν ταλανίζῃ. (*Χρυσοστόμ.*)

— *Τῆς δὲ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται· ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται· σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι.* (*Παροιμ.*)

— *Μέγας ὄντως κίνδυνος, ἀκυβέρνητος θεωρία· διὰ τάχους γὰρ ἅπαν τὸ πλοῖον μετὰ τοῦ φόρτου, καὶ τῶν ἐν αὐτῷ ὄντων ψυχῶν τῷ βυθῷ παραπέμπεται.* (*Συμεὼν τοῦ Μεταφραστοῦ.*)

— *Ἀφροσύνη γὰρ ὑπερβολῇ συνέχεται πᾶς, ὅστις νοῦν γινώσκων Κυρίου θρασύνεται, καὶ σύμβουλος Αὐτῷ οἱονεὶ παρεδρεύων τολμᾷ, τοῖς ἀτεκμάρτοις Ἐκείνου κρίμασιν ἐμβατεύειν πειρᾶται.* — *Εἰς ἐπίτευξιν τῆς ἐν τῷ τῇδε βίῳ εὐδαιμονίας ἀναγκαία ἐστὶν ἡ φρόνησις σὺν ταῖς ὀπαδοῖς ἀρεταῖς· ὑπόκεινται δὲ τῇ φρονήσει εὐβουλία, εὐλογιστία, ἀγχίνοια, νουνεχία, εὐμηχανία, εὐταξία, κοσμιότης, αἰδημοσύνη.* (*Εὐγενίου Βουλγάρεως.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΓ'.

### Περὶ πενίας.

— *Δι' ἐνδειαν μὲν γὰρ δήπου οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται.* (*Ξενοφῶντ.*)

— *Πᾶς ἀνὴρ πενίᾳ δεδαμημένος, οὔτε τι εἰπεῖν, οὔτ' ἔρξαι δύναται· γλῶσσα δὲ οἳ δέδεται.* (*Θεόγνιδος.*)

— *Ἀμέλει τῶν πενομένων οἱ προσποιούμενοι πλουτεῖν, ἔτι μᾶλλον πένονται διὰ τὴν ἀλαζονείαν.* (*Πλουτάρχ.*)

— *Πενίαν γὰρ οὐχ ὁμολογεῖν αἰσχρόν, ἀλλ' ἔργῳ διαφεύγειν αἴσχιον.* (*Θουκυδίδ.*)

— *Οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον ἐν τῷ βίῳ σύμπτωμα· καὶ γὰρ ἂν φύσει σπουδαῖος ᾖς, πένης δὲ κατάγελως ἔσῃ* (*Κλεόβουλ. ὁ Λίνδιος.*)

— *Γυμνὸν ἐπεί σε φύσις βρέφος ἐπλασεν, ὦ τάν, μέμνηθι πενίης κρατερώτατον φόρου φέρειν, ὅτι χάρις φιλέοντος ἐν ἀλλήλοισι συνάπτει. Κρατερίη γὰρ ἀρεταῖσιν ἐστὶ μεγίστη· ἐν ζημίῃ γὰρ κάματος πενίην ἐπωφέλει· φίλους πεπορίσθαι κέρδιον ἢ βασιλεύειν· πολλάκις γὰρ ὁ κρείσσων πρὸς χείρονας ἦτταν ὑπέστη.* (*Κάτων Ρωμαῖος.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης Θεοῦ. (Εὐριπίδου.)*
— *Ἐπεὶ τὰ γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσι. (»)*
— *Κακόν τι βούλευμ' ἦν ἄρ' εἰς εὐδαιμονίαν*
*ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί,*
*πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει*
*μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια. (»)*
— *Μίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων*
*ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν. (»)*
— *Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον,*
*μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν,*
*πενίαν τ' ἄλυπον μᾶλλον ἢ πλοῦτον πικρόν. (Μενάνδρου.)*
— *Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει*
*φθόνον τ' ἐπήρειάν τε καὶ μῖσος πολὺ*
*πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας*
*πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου·*
*ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών,*
*ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.*
*ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,*
*ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,*
*καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα.*
*πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά. (Φιλήμονος.)*
— *Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. (Ἀπολλωνίου.)*
— *Ἢν μὴ πολλῶν ἐπιθυμήῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει. (Δημοκράτ.)*
— *Σμικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενέα πλούτῳ ποιέει. (Δημοκρ.)*
— *Ἀρκεσίλαος τὴν πενίαν λυπρὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον ἐθίζουσαν συνεῖναι λιτότητι καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον. (Πλουτ.)*
— *Σωκράτης τὴν πενίαν ἔλεγε μικρὰν εἶναι σωφροσύνην. (Πλουτάρχου.)*

## ΚΕΦΑΛΑΙΟΝ ΣΔ'.

### Περὶ πτωχῶν καὶ περὶ ἐλεημοσύνης.

— *Ἰατροὶ τῶν τραυμάτων τῆς ψυχῆς μας εἰσὶν οἱ πένητες, φάρμακα ἡμῖν παρέχουσι τὰς αὐτῶν χεῖρας. (Συνέσιος.)*
— *Ἐν ἐλεημοσύναις τὰς ἁμαρτίας σου λύτρωσαι καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων.*
— *Εὐλογία εἰς κεφαλὴν τοῦ μεταδιδόντος (Δανιήλ.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. (Παροιμ.)

— Ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος καὶ κατακαυχᾶται ἔλεος κρίσεως.

— Ὅ γάρ τις οὐκ ἔδωκε μηδ' ἐλπιζέτω· οἴκτῳ γὰρ οἶκτος καὶ Θεῷ σταθμίζεται· οἷά περ ἀλλήλοις ἐνθάδε μετρέομεν τοῖα δίδωσι θεὸς μέγας. (Γρηγόρ.)

— Ἐλεήμων ἀνὴρ μακροθυμεῖ. (Σολομῶντ.)

— Πεινῶντι ἀνδρὶ μάζα τιμιωτέρα χρυσοῦ τε καλέφαντος. (Ἀχαι. 22.)

— Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον. (Ἰσοκρ. πρὸς Δημόνικον. 38.)

— Ἔνιοι, ἑτέρων μοχθούντων, αὐτοὶ προσποιοῦνται κάμνειν. (Αἰσώπ. μῦθ. 39.)

Κραυγὴν πένητος, καὶ κραυγὴν πτωχοῦ εἰσακούσεται Κύριος. (Ἰώβ. λδ. 28.)

Οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός· ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. (ψλμ. ιθ'.)

Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων. (ψλ. οα'.)

Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δέησιν τῶν πενήτων. (ρλθ'.)

Ὁ ἀτιμάζων πένητα ἁμαρτάνει· ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν. Πενία ἄνδρα ταπεινοῖ· πλουσίου πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν. Πάντα τὰ ἔργα τοῦ πτωχοῦ φανερὰ παρὰ τῷ Θεῷ. (Παρμ. ιζ'. καὶ ιγ'.)

Ὃς ἀποφράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός. (Παρμ. κα'.)

Ἡ σοφία τοῦ πένητος ἐξουθενημένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι. (Σειρὰχ Θ. 16.)

Βοσκηθήσονται πτωχοὶ διὰ Κύριον, πένητες δὲ ἄνθρωποι ἐπὶ εἰρήνης ἀναπαύσονται. (Ἡσαΐου ιδ'. 30.)

Ταπεινὸς ἐσφάλη, καὶ προσεπετίμησαν αὐτῷ· ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. (Σειράχ ιγ' 22.)

Προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε, καὶ οὐ μὴ παρακληθῇ, ἕως ἂν ἐπισκέψηται ὁ Ὕψιστος. (» λε'.)

Σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐν μέσῳ μεγιστάνων καθιεῖ αὐτόν. (Ἐκκλ. ια'.)

Μὴ παροργίσῃς πτωχὸν ἐν ἀπορίᾳ αὐτοῦ, καρδίαν ἐπιδεομένου, μὴ προσταπεινώσῃς. (« ι'.)

Ἐμίσησεν ἡ ψυχή μου πτωχὸν ὑπερήφανον. (»)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Πτωχὸς δοξάσεται δι' ἐπιστήμην, καὶ εὐλάβειαν· ὁ δοξαζόμενος ἐν πτωχείᾳ ποσαχῶς ἐν πλούτῳ ;* (»)

*— Μὴ παρεκτείνου πένης ὢν πλουσίῳ, τῇ δὲ σῇ εὐνοίᾳ ἀπόσχου.* (»)

*Πτωχεύων ἄνθρωπε εὐφραίνου, ὅτι Λαζάρου σε τὰ ἀγαθὰ διαδέξεται.* (*Βασιλ.*)

*Οὐδὲ μίαν αἰσχύνην τὸ πένεσθαι προξενεῖ. Ἐνὶ τούτῳ διαφέρομεν τῶν πλουτούντων οἱ πένητες τῇ ἀμεριμνίᾳ καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες, καὶ τῶν συνεσθιόντων ἑαυτούς, καὶ φροντιζόντων αὐτοὶ ἀφροντιστοῦντες καὶ ἀνιέμενοι.* (τοῦ αὐτοῦ.)

*Πενία μετὰ ἀληθείας, πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι τιμιωτέρα.* (»)

*Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγνωμόνως τὴν πενίαν.* (»)

*Πένης εἶ μὴ ἀθυμήσῃς· ἡ γὰρ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία· τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν, καὶ ἀμηχανίας ποιούσης ὀλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀπογεννώσης· μὴ γὰρ οὐκ ἐπιβλέπει τὴν στένωσιν ὁ Θεός ; ἔχει τὴν τροφὴν ἐν χερσί, καὶ ἀναβάλλεται τὴν δόσιν, ἵνα σοῦ δοκιμάσῃ τὸ βέβαιον.* (*Βασιλείου.*) *Ἀφαιρεῖται τὴν παρρησίαν τὸ πένεσθαι.* (τοῦ αὐτοῦ.)

*Οὐδὲν τῷ Θεῷ μέγα, ὃ μὴ καὶ πένησι δίδωσι· κρεῖσσον πενία μὴ δικαίας κτήσεως.* (*Ναζιανζ.*)

*Πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν.* (*Παρμ. ιγ'. 8.*)

*Πτωχοί ἐσμεν ἅπαντες, καὶ τῆς θείας χάριτος ἐπιδεεῖς, κἂν ἄλλος ἄλλου προέχειν δοκῇ, μικροῖς μέτροις μετρούμενος.* (»)

*Εἰ γὰρ ὁ ἀτιμάζων πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν, τιμᾷ τὸν ποιητὴν ὁ περιέπων τὸ ποίημα.* (»)

*Κρείσσων νέος πένης σώφρων γέροντος βασιλέως ἄφρονος.* (»)

*Ἀνδρῶν ἐνδόξων πλῆθος, ἑνὸς πένητος εὐσεβοῦς οὐκ ἀντάξιοι.* (»)

*Τὴν τῆς σωφροσύνης εὐκολίαν, καὶ τῆς ψυχῆς ἐπιμέλειαν, καὶ τὸ μετριάζειν ῥαδίως, καὶ τὸ μὴ φυσιοῦσθαι ταχέως, καὶ δοξομανίας ἀπηλλάχθαι, καὶ πᾶσαν ἁπλῶς τὴν ἄλλην ἀρετὴν μετὰ πολλῆς τῆς δαψιλείας, ἐν ταῖς τῶν πενήτων ψυχαῖς βρύουσαν ἴδοι τις ἄν· τοὺς δὲ πλουσίους ὡς τὰ πολλὰ ἐρήμους ταύτης ὄντας, καὶ πρὸς κακίαν εὐεμπτώτως ἔχοντας.*

*Τί πένητος γένοιτο μακαριώτερον, ὅταν δέῃ καὶ τὸν πλούσιον, ἂν μέλλῃ σώζεσθαι, πρότερον ἐνταῦθα ἀφικέσθαι, ἔνθα ὁ πένης ἕστηκεν ; ἂν γὰρ τῶν οἰκείων ὡς ἀλλοτρίων ἀπόσχηται, καὶ εἰς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ς δεομένους αὐτὰ σκορπίσῃ μετὰ δαψιλείας ἁπάσης οὕτω δυνήσαι σωτηρίας τυχεῖν. (Χρυσοστόμου.)

Κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν, ἢ ἐδέσματα λαμπρὰ ἀλλοτρίοις. (Σειρὰχ κθ' 29.)

Οἱ πενίᾳ προσφιλοσοφήσαντες, ἐγγίζουσιν ἀεὶ τῷ θεῷ, ᾧ πηλίν ἄξίωμα τῆς πενίας θεοῦ γίνεται προσωπεῖον· κρύπτεται ἐν νίᾳ θεός· καὶ πένης μέν, ὁ τὴν χεῖρα προτείνων, θεὸς δὲ ὁ δεμενος αὐτούς. (Χρυστμ.)

Ξένος καὶ πένης θεοῦ κολλύριον· ὁ δεχόμενος αὐτοὺς ταχέως ἀβλέψει.

Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστιν. λ. ιγ'. 6.)

Πενία ἄνδρα ταπεινοῖ. (Παρμ. ιξ'. 4.)

Ὁ ἀτιμάζων πένητα ἁμαρτάνει. (» ιδ'. 21.)

Κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ, πλουσίου ψεύστου. ιθ'. 22.)

Κρείσσων πενία μετὰ δικαίας κτήσεως,
Καὶ νόσος δὲ τῆς κακῆς εὐεξίας.
Πένητος ἀνδρὸς οὐδὲν ἀσφαλέστερον·
Πρὸς γὰρ θεὸν ἐνεύκε, καὶ μόνον βλέπει.
Δεινὸν πένεσθαι, χεῖρον εὐπορεῖν κακῶς. (Ναζ. Τετρ. 33.)

## ΚΕΦΑΛΑΙΟΝ ΣΕ'.

### Περὶ εὐθηνίας καὶ εὐπορίας.

Φαγὼν καὶ ἐμπλησθείς, πρόσεχε σεαυτῷ, καὶ μὴ ἐπιλάθῃ Κυου τοῦ Θεοῦ σου. (Δευτερ. ς'. 12.)

Ἐμεγαλύνθησαν καὶ ἐπλούτησαν, ἐλιπάνθησαν ἐστεατώθησαν, ὶ παρέβησαν λόγους μου εἰς πονηρόν. (Ἱερμ. Ε. 28.)

— Μή ποτε φαγών, καὶ ἐμπλησθείς, καὶ οἰκίας καλὰς οἰκοδόμήσας, καὶ κατοικήσας ἐν αὐταῖς, καὶ τῶν βοῶν σου καὶ τῶν προβάτων σου πληθυνθέντων σοι, ἀργυρίου καὶ χρυσίου πληθυνθέντων σοι, μὴ ὑψωθῇς ἐν τῇ καρδίᾳ σου. (αὐτόθι η'. 12.)

Φαγὼν καὶ πιών, πρόσεχε σεαυτῷ μὴ πλανηθῇ ἡ καρδία σου, ἢ ἀπατηθῇς ἐν χορτασίᾳ κοιλίας. (Παροιμ. κ'.)

Τοῦτο ἀνόμημα Σοδόμων, ὅτι ἐν ὑπερηφανίᾳ, καὶ πλησμονῇ ἄρτων, καὶ ἐν εὐθηνίᾳ οἴνου ἐσπατάλων, καὶ ἐμεγαλαύχουν, καὶ ἐποίησαν ἀνομήματα ἐνώπιόν μου. (Ἰεζεκιήλ. ις'. 49.)

Αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίων γίνονται τοῖς πολλοῖς. (Βασιλείου.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Φιλοῦσι τὰ ἁμαρτήματα ἐκ πλήθους ὄχλων, καὶ εὐθηνίας τῶν ἀναγκαίων τίκτεσθαι.* (*Διδύμου.*)

## ΚΕΦΑΛΑΙΟΝ Σϛ΄

### Περὶ μεμψιμοιρίας.

— *Ἔστι δὲ ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον δεδομένη. Ὁ δὲ μεμψίμοιρος, τοῖος δέ τις, οἷος, ἀποστείλαντος μερίδα τοῦ φίλου, εἰπεῖν πρὸς τὸν φέροντα· ἐφθόνησάς μου τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου, οὐκ ἐπὶ δεῖπνον καλέσας, καὶ τῷ Διΐ ἀγανακτεῖν, οὐ διότι ὗει ἀλλὰ διότι ὑστερεῖ. Καὶ εὑρών τι ἐν τῇ ὁδῷ βαλάντιον εἰπεῖν, ἀλλ' οὐ θησαυρὸν εὗρηκα οὐδέποτε. Καὶ πρὸς τὸν Εὐαγγελιζόμενον, Τίός σοι γέγονεν, εἰπεῖν, ὅτι ἂν προσθῇς, καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν, ἀληθῆ ἐρεῖς, κτλ.* (*Θεοφράστου.*)

— *Τί τὸ σεαυτοῦ κακόν, ὦ μακάριε, λίαν καταβλέπεις καὶ ποιεῖς ἐναργὲς ἀεὶ καὶ πρόσφατον, ἀγαθοῖς δὲ παροῦσιν οὐ προσάγεις τὴν διάνοιαν, ἀλλ' ὥσπερ αἱ σικύαι τὸ χείριστον ἐκ τῆς σαρκὸς ἕλκουσιν, οὕτω τὰ κάκιστα τῶν ἰδίων συνάγεις ἐπὶ σαυτόν.* — *Μανικὸν γάρ ἐστι τοῖς ἀπολλυμένοις ἀνιᾶσθαι μὴ χαίρειν δὲ τοῖς σωζομένοις· ἀλλ' ὥσπερ τὰ μικρὰ παιδάρια ἀπὸ πολλῶν παιγνίων ἂν ἓν τις ἀφέληταί τι, καὶ τὰ λοιπὰ πάντα προσρίψαντα κλαίει καὶ βοᾷ, τὸν αὐτὸν τρόπον ἡμᾶς ἓν ὀχληθέντας ὑπὸ τῆς τύχης καὶ τἆλλα πάντα ποιεῖν ἀνόνητα ἑαυτοῖς ὀδυρομένους καὶ δυσφοροῦντας. ἔξεστιν οὖν καὶ τούτους τοὺς ὑπολογισμοὺς ἀπαρύτειν τοῦ πρὸς τὴν τύχην μεμψιμοίρου, καὶ διὰ τὸ θαυμάζειν τὰ τῶν πλησίων, ἐκταπεινοῦντες τὰ οἰκεῖα καὶ καταβάλλοντες.* (*Πλουτάρχου.*)

— *Οἱ δὲ πολλοὶ ποιήματα μὲν ἀλλότρια καὶ γραφὰς καὶ ἀνδριάντας, οἴονται δεῖν ἀκριβῶς καὶ κατὰ μέρος ἕκαστον ἐπιπορευόμενον τῇ διανοίᾳ καὶ τῇ ὄψει θεωρεῖν· τὸν δ' αὑτῶν βίον ἔχοντα πολλὰς οὐκ ἀτερπεῖς ἀναθεωρήσεις, ἐᾶσιν, ἔξω βλέποντες ἀεὶ καὶ θαυμάζοντες, ἀλλοτρίας δόξας καὶ τύχας, ὥσπερ μοιχοὶ τὰς ἑτέρων γυναῖκας, αὑτῶν δὲ καὶ τῶν ἰδίων καταφρονοῦντες.* (*Ἀρκεσιλάου.*)

— *Εἰ γὰρ ἐγένου σύ, . . . . . τῶν πάντων μόνος ὅτ' ἔτικτεν ἡ μήτηρ σε, ἐφ' ᾧ γε διατελεῖν πράσσων, ἃ βούλει καὶ διευτυχῶν ἀεί, καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,*

*Ὀρθῶς ἀγανακτεῖς . . . . . Εἰδ' ἐπὶ τοὺς αὐτοὺς νόμους, ἐφ' οἷς περ ἡμεῖς, ἔσπευσας τὸν ἀέρα τὸν κοινόν, . . . . . Οἰστέον . . . . . ταῦτα καὶ λογιστέον . . . .*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

. . . . . ἄνθρωπος εἶ, οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν, ταπεινότητα ζῶον οὐδὲν λαμβάνει. (Μενάνδρου.)

— Φυλάξασθε γογγυσμὸν ἀνωφελῆ. (Σολομῶντος.)

— Ἀνὴρ ἐπιστήμων οὐ γογγύζει. (Σειράχ.)

— Μὴ γογγύζετε καθώς τινες ἐγόγγυσαν καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. — Πάντα ποιεῖτε ἄνευ γογγυσμῶν, ἵνα γένησθε ἄμεμπτοι. (Παύλου.)

— Ἀπρόσδεκτος ἡ ὑπὸ τῶν γογγυσμῶν ἐργασία, ὡς θυσία ἐπίμωμος. (Βασιλείου.)

— Ὃν ἂν μοῖραν ἕλῃς, ταύτην φέρε, μηδ' ἀγανάκτει. (Χρυσᾶ ἔπη.)

## ΚΕΦΑΛΑΙΟΝ ΣΖ'.

### Περὶ πολέμου καὶ φιλοπολέμων.

— Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἥπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπιγνωσιν ἀληθείας. (Παύλου.)

— Κρεῖσσον ἐπαινετὸς πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ (Γρηγορ. τοῦ Θεολόγου.)

— Τί μαχόμεθα πρὸς ἀλλήλους εἰκῇ ; τί πολεμοῦμεν ἀλλήλοις προδιατεταγμένοι ὄντες καὶ τοὺς μισοῦντας φιλεῖν. (Χρυσοστόμου.)

— Οὐδέν ἐστιν ἄμεινον εἰρήνης, ἐν ᾗ πᾶς ὁ πόλεμος καταλύεται. (Ἰγνατίου.)

— Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος. (Γρηγορ. Νύσσης.)

— Εἰρήνην κἂν ᾖ σφόδρα ἐπιζήμιος, λυσιτελεστέρα πολέμου γίνεται. (Φιλιππος.)

— Χρὴ γὰρ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις τελευτάς· ἀλλὰ τὰς μὲν ὑπὲρ πατρίδος, καὶ τῶν γονέων, καὶ τῶν παίδων, ἐπαίνου ἀξίας· τὰς δὲ ταῦτά τε πάντα βλαπτούσας, καὶ τὰς πρότερον κατωρθωμένας καταῤῥυπαινούσας, αἰσχρὰς νομίζειν, καὶ φεύγειν, ὡς αἰτίους ἀδοξίας γιγνομένας. — Μὴ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς ἑξὸν ἐντίμους καὶ ἡδίους. (Ἰσοκρ.)

— Φιλοπόλεμος μὲν οὖν ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. — Τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ. (Πλουτάρχ.)

— Τί ἄλλο ἐστὶν ὁ πόλεμος, ἔλεγεν ὁ Μέγας Ναπολέων, εἰμὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔργον βαρβάρων ἀνθρώπων, καθ' ὃ φιλοτιμοῦνταί τινες ἵνα ὑπε
ρισχύσωσι κατ' ἄλλων ; (Καὶ ταῦτα ἔλεγε τῇ προτεραίᾳ τῆς παρ
τὸν Μόσχοβον ποταμὸν τῆς Ρωσσίας, μάχης.

— Οἱ μεγάλοι κατακτηταί, ὁμοιάζουσι μεγάλους ποταμοὺς ἐξελ
θόντας τῆς ἑαυτῶν κοίτης, οἵτινες φαίνονται μὲν μεγαλοπρεπεῖς
ἀλλὰ καταστρέφουσι τὰς καρποφόρους πεδιάδας, ἃς μόνον νὰ πο
τίζωσιν ὤφειλον. (Ναπολεων.)

## ΚΕΦΑΛΑΙΟΝ ΣΗ'.

### Περὶ πειρασμῶν καὶ πειραζομένων.

— Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρα
σμόν, ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆτε τῷ πονηρῷ· ὅστις σὲ ῥαπίσ
ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· κα
τῷ θέλοντι σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτ
καὶ τὸ ἱμάτιον· καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἓν' ὕπαγε μετ' αὐ
τοῦ δύο. — Προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διω
κόντων ὑμᾶς· ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρα
νοῖς. (Ματθαῖος ε'. 44 καὶ Λουκ. ς'. 28).

— Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα με κολα
φίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. (Παύλου Β' Κορινθ. ιβ'. 7)

— Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμε
νος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖ
ἀγαπῶσιν Αὐτόν. (Ἰακώβου Α'. 12).

— Ἂν τῷ Κυρίῳ προσέδραμες, καὶ τούτῳ ἡρετίσω δουλεύει
μὴ ῥᾳθύμει, ἀλλ' ἑτοίμασον σεαυτὸν εἰς διαφόρους πειρασμού
καὶ ἴθυνον τὴν καρδίαν σου κατὰ τὸ γεγραμμένον, καὶ μὴ σπεύσῃ
ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι Αὐτῷ καὶ αὐτός σε δοξάσει καὶ σ
μὴ καταισχυνθῇς ἐπ' ἐσχάτων — Εἰ τὴν ὁδὸν τὴν στενὴν βαδ
σαι θέλεις, πρῶτον ἑτοίμασον σεαυτὸν εἰς πειρασμούς. — Ὑπόμε
νον καὶ μακροθύμησον ἐν πειρασμῷ καὶ μὴ πτοηθῇς· οὐ μὴ γὰ
ἐάσῃ σε Κύριος πειρασθῆναι ὑπὲρ ὃ δύνασαι· ἀλλὰ σὺν τῷ πειρ
σμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαί σε ἐπενεγκεῖν. (Συ
μεὼν τοῦ Μεταφραστοῦ.)

Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν· ἢ γὰρ αἱ θλίψεις βασανίζουσ
τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ διὰ τῆς ὑπομονῆς τὸ δό
κιμιον αὐτῶν ἀπελέγχουσαι, ἢ καὶ πολλάκις αὗται αἱ εὐθυνίαι τοῦ
βίου ἀντὶ πειρατηρίου γίνονται. (Βασιλείου.)

— Οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, ἑατέον ἀκούειν τοὺς νέους, ὅ
Θεὸς μὲν αἰτίαν φύει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδη

Δημόσια Κεντρική Βιβλιοθήκη Πέρασ

*θέλῃ . . . καὶ λεκτέον, ὡς ὁ μὲν Θεὸς δίκαιά τε καὶ ἀγαθὰ εἰργάζετο, οἱ δὲ ὠνίναντο κολαζόμενοι· ὡς δὲ ἄθλιοι μὲν οἱ δίκην διδόντες, ἦν δὲ ὁ ὀρῶν ταῦτα Θεός, οὐκ ἐατέον λέγειν. Ἀλλ' εἰ μὲν ὅτι ἐδεήθησαν κολάσεως λέγοιεν, ὡς ἄθλιοι οἱ κακοί, διδόντες δίκην ὠφελοῦντο ὑπὸ τοῦ Θεοῦ ἐατέον. Κακῶν δὲ αἴτιον φάναι Θεὸν τινὶ γίγνεσθαι, ἀγαθὸν ὄντα, διαμαχητέον παντὶ τρόπῳ μήτε τινὰ ταῦτα λέγειν ἐν τῇ αὐτοῦ πόλει, εἰ μέλλει εὐνομήσασθαι, μήτε τινὰ ἀκούειν, μήτε νεώτερον, μήτε πρεσβύτερον, μήτε ἐν μέτρῳ, μήτε ἄνευ μέτρου μυθολογοῦντα· ὡς οὔτε ὅσια ἂν λεγόμενα, εἰ λέγοιτο, οὔτε ξύμφορα ἡμῖν, οὔτε σύμφωνα αὐτὰ αὑτοῖς.* (*Πλάτ. Πολιτείας XIX β'*)

— *Μὴ δεῖ ἡμᾶς ἐπιχειρεῖν πείθειν τοὺς νέους, ὡς οἱ Θεοὶ κακὰ γεννῶσι, καὶ ἥρωες ἀνθρώπων οὐδὲν βελτίους· οὔθ' ὅσια ταῦτα, οὔτ' ἀληθῆ· ὅτι ἐκ Θεῶν κακὰ γίγνεσθαι ἀδύνατον. Καὶ μὴν τοῖς γε ἀκούουσι βλαβερά· πᾶς γὰρ ἑαυτῷ ξυγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ οἱ Θεῶν ἀγχίσποροι. Ὧν ἕνεκα παυστέον τοὺς τοιούτους μύθους, μὴ ἡμῖν πολλὴν εὐχέρειαν ἐντίκτωσι τοῖς νέοις πονηρίας.* (*Πλάτων Πολιτείας Γ'.*)

— *Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.* (*Ἰώβ.*)

— *Ἐὰν μὴ πρόχειρος ᾖ ἡ πεῖρα τοῦ πράγματος, πᾶς λόγος ἀργός, περιττός ἐστι.* (*Αἰσώπ. μῦθ. 30.*)

— *Τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.* (*Αἰσώπειοι μῦθ. 258.*)

— *Διάπειρά τοι βροτῶν ἔλεγχος.* (*Πινδάρ. Ὀλυμ. 4, 18.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΘ'.

### Περὶ σκανδάλων.

*Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται· συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ καταβυθισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης* (*Ματθ. ιή. 6*).

— *Ἀποστελεῖ δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα αὐτοῦ καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν καὶ βαλοῦσιν εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.* (*Ματθ. ιγ'. 42—50*).

— *Πάντα τοίνυν πράττωμεν ὥστε μὴ σκανδαλισθῆναι τὸν πλησίον· βίος γὰρ κἂν σφόδρα ὀρθὸς ᾖ σκάνδαλον ἑτέροις παρέχων,*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ πᾶν ἀπώλεσε· καὶ πῶς ἕνι τὸν ὀρθὸν βίον σκανδαλίσαι; ὅταν ἡ συνουσία τῶν οὐκ ὀρθῶν πονηρὰν αὐτῷ περιθῇ δόξαν· ἐπειδὰν γὰρ θαρροῦντες ἑαυτοῖς συνῶμεν τοῖς πονηροῖς, κἂν αὐτοὶ μὴ βλαβῶμεν ἑτέρους ἐσκανδαλίσαμεν. (*Χρυσόστ.*)

— Ἐὰν μὲν οὖν αὐτὸ κατὰ τὸν ἴδιον λόγον ἀγαθὸν ᾖ τὸ λεγόμενον ἢ τὸ γινόμενον, ἡ δὲ νόσος τοῦ χρωμένου τῷ ἔργῳ ἢ τῷ λόγῳ, ἐν τῇ χρήσει ἐμποιήσῃ αὐτῷ τὴν βλάβην καθαρός ἐστιν ἀπὸ τοῦ κρίματος τῶν σκανδαλιζομένων ὁ τὸ ἀγαθὸν εἰς οἰκοδομὴν πίστεως εἰπὼν καὶ ποιήσας. (*Βασιλ. ἐρώτ. β΄ περὶ βαπτίσματος.*)

— Ἐὰν καλύψωμεν τοῦ ἀδελφοῦ τὸ ἐλάττωμα καλύψει ὁ Θεὸς τὰ ἡμέτερα καὶ εὐλογήσει ὡς τὸν Σὴμ καὶ πλατύνει ὡς τὸν Ἰάφεθ, τοὺς καλύψαντας τὴν γύμνωσιν τοῦ πατρός των. Καὶ δηλοῦσιν οἱ ἐνάρετοι ὅτι οὐ μόνον οὐδὲν ἀδικούμενοι ἐντεῦθεν δηλ. ἐκ τῶν σκανδάλων, ἀλλὰ καὶ τὰ μέγιστα κερδαίνοντες· οἷος ἦν ὁ Ἰώβ, οἷος ὁ Ἰωσήφ, οἷοι πάντες οἱ δίκαιοι· εἰ δὲ ἀπόλλυνται πολλοὶ παρὰ τὸν ἑαυτῶν ὕπνον . . . τὰ γὰρ σκάνδαλα, ὥσπερ ἔφην, καὶ διεγείρει καὶ ὀξυτέρους ποιεῖ, καὶ ἀκονᾷ, καὶ οὐ μόνον τὸν φυλαττόμενον ἀλλὰ καὶ τὸν περιπεσόντα ταχέως ἀνιστᾷ· ἀσφαλέστερον γὰρ αὐτὸν ἐργάζεται καὶ δυσάλωτον μᾶλλον ποιεῖ· ὥστε ἐὰν νήφωμεν οὐ μικρὸν ἐντεῦθεν καρπούμεθα κέρδος τὸ διηνεκῶς ἐγρηγορεῖν. (*Χρυσοστόμ.*)

— Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις· ὁ κόσμος πλήρης παγίδων ἐστι· τίς δύναται ἐκφυγεῖν ταύτας; ταπεινοφροσύνη, ἡ αὐτομεμψία· τίς ὁ φύλαξ ἡμῶν ἀπὸ τῶν σκανδάλων; ὀφθαλμὸς Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν καὶ ὑπερασπισμὸς δυναστείας, καὶ στήριγμα ἰσχύος, σκέπη ἀπὸ καύσωνος, φυλακὴ ἀπο προσκόμματος καὶ βοήθεια ἀπὸ πτώματος. (*Σειράχ. λα΄. 16.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΙ΄.

### Περὶ αὐτοκτονίας.

— Οὐχ ὁσίης κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάεσθαι. (*Ὁμ. Ὀδ. κβ΄. 412*)

— Ὁ μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ φόνου. (*Πλουτ. Ἰουλ. Καῖσαρ 69*).

— Δεῖ τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι πράξεων, ἀλλὰ πρᾶξιν. (*Πλουτ. Κλεομ. 35*).

— Τὸ δὲ ἀποθνήσκειν φεύγοντα πενίαν, ἢ ἔρωτα, ἢ τι λυπηρόν, οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ· μαλακία γὰρ τὸ φεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γειν τὰ ἐπίπονα. Φαῦλοι βροτῶν γὰρ οὐ πονεῖν δυνάμενοι θανεῖν αἱροῦσιν. (Ἀριστοτέλ.)

— Καὶ γὰρ ἂν εἴη δεινόν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ τὰ ἀγνώμονα, ἐάν τινα ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις ἑαυτὸν διαχρήσηται τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν· Δημοσθένην δέ . . . (Αἰσχίνης κατὰ Κτησιφῶντος).

— . . . Ἵνα μή τις εὐαγὲς ὑπολάβῃ τὸ βίᾳ τινὶ καὶ ἀνάγκῃ ἑαυτὸν ἐντεῦθεν ἐξαγαγεῖν (Πλάτων παρὰ Θεοδωρήτῳ).

— Ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων, οὐκ ἐγκλημάτων, ἀλλὰ καὶ στεφάνων ἄξιος, οὕτω καὶ ὁ βιαίῳ θανάτῳ καὶ δι' ἀγχόνης ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν ἐγκληματίας ἐστὶ καὶ βδελυρός. Νῦν δὲ καὶ ὁ Θεὸς τοὺς τοιούτους κολάζει τῶν ἀνθροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα καὶ εἰκότως. Εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλόν, πολλῷ μᾶλλον ἑαυτόν. (Χρυσόστομος).

— Εἰ ἐπ' ἀνδρὸς καὶ γυναικὸς δυοῖν ὄντοιν, λέλεκται «Ἃ ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω», ὁ τὴν ψυχὴν βιαίως τοῦ σώματος ἢ καὶ ἀγχόνῃ ἑαυτὸν παραδιδούς, ἢ σφαγῇ, πῶς συγγνωσθήσεται; Τοὺς τοιούτους γοῦν καὶ ἐπαράτους καὶ ἀτίμους καὶ μετὰ θάνατον οἱ παλαιοὶ ἡγοῦντο· καὶ τὴν χεῖρα ἀποκόψαντες τοῦ ἑαυτὸν χειρωσαμένου, ἔξω που τοῦ ἄλλου σώματος καὶ μακρὰν ἔθαπτον· οὐχ ὅσιον εἶναι νομίζοντες, τὴν διακονησαμένην τῷ φόνῳ τῷ λοιπῷ σώματι συνοσιοῦν· εἰ δὲ ἡ χεὶρ παρὰ ἀνθρώποις δίκην καὶ μετὰ θάνατον ἀπῃτήθη, ἡ ψυχὴ ἡ καὶ τὴν χεῖρα παρορμήσασα ποίας τεύξεται συγγνώμης;» (Ἰσίδωρ. Πηλουσιώτης).

— Ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν, οὐδ' ἀποδιδράσκειν· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος τάχ' ἂν ᾠήθη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν, ἀλλ' ὅτι μάλιστα παραμένειν». (Πλάτων).

— Οὐδὲ γὰρ μὴ προστατττόμενον χρή τινα ἑαυτὸν ὑπεξάγειν, ἀλλὰ προσμένειν ἢ τὸν αὐτόματον ἢ τὸν βίαιον θάνατον. (Θεοδώρητος).

— Οὔτε γὰρ αὐτὸς συγχωρήσοιτο Πλάτων ἐν τῷ Φαίδωνι διδάσκων, ὅτι οὐ δεῖ ἀναπίμπλασθαι τῆς τοῦ σώματος φύσεως, ἀλλὰ καθαρεύειν ἀπ' αὐτοῦ, ἕως ἂν αὐτὸς ὁ Θεος ἀπολύσῃ ἡμᾶς. Ὅς καὶ ἐν ὅλῃ τῇ συνουσίᾳ τὸ μὴ δεῖν, ἐξάγειν ἑαυτὸν διὰ Σωκράτους φιλοσοφήσας, μήτε φεύγειν τὸν δεσμώτην καὶ τὸ δεσμωτήριον ἀλλὰ ἀναμένειν τὸν συνδήσαντα ἵνα καὶ λύσῃ. (Ζαχ. Μιτυλ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Διακρῖναι ὀφείλει ὁ κληρικὸς εἰ τὸ ἀληθὲς ἐκφρενῆς ὢν πεποίηκε τοῦτο. Πολλάκις γὰρ οἱ διαφέροντες τῷ πεπονθότι, θέλοντες ἐπιτυχεῖν τῆς προσφορᾶς τῆς ὑπὲρ αὐτοῦ ψεύδονται καὶ λέγουσιν, ὅτι οὐκ εἶχεν ἑαυτόν. Ἐνίοτε δὲ ἀπὸ ἐπηρείας ἀνθρώπων ἢ ἄλλως πως ἀπὸ ὀλιγωρίας πεποίηκε τοῦτο, καὶ οὐ χρὴ προσφορὰν ἐπάνω αὐτοῦ γενέσθαι· αὐτοφονευτὴς γὰρ ἑαυτοῦ ἐστιν. Δεῖ οὖν πάντως τὸν κληρικὸν μετὰ ἀκριβείας ἀνερευνῆσαι ἵνα μὴ ὑπὸ κρίματι πέσῃ. (Καν. Τιμ. ΙΔ'. παρὰ Φωτίῳ ρδ'. 613).*

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΑ'.

### Περὶ δοκιμῆς καὶ διακρίσεως ὀρθοδόξου ἀπὸ κακοδόξου.

*Λάρυγξ μὲν γὰρ σῖτα γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους. Καὶ ἡμεῖς τοίνυν τοῦτο μάθωμεν, καὶ μή, ἐὰν ἀκούσῃς, ὅτι οὐκ ἔστιν Ἕλλην, οὐδὲ Ἰουδαῖος, εὐθέως χριστιανὸν εἶναι νομίσῃς· ἀλλὰ ἐξέτασον καὶ τὰ ἄλλα ἅπαντα Ἐπὶ καὶ Μανιχαῖος, καὶ πᾶσαι αἱ ῥέσεις τοῦτο ὑπέδυσαν τὸ προσωπεῖον, πρὸς τὸ οὕτως ἀπαντᾶν τοὺς ἀφελεστέρους. Ἀλλ' ἐὰν ἔχωμεν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, δυνησόμεθα τοὺς τοιούτους διακρίνειν πῶς δὲ γεγυμνασμένα γίνεται ἡμῶν τὰ αἰσθητήρια; ἀπὸ τῆς συνεχοῦς ἀκροάσεως, ἀπὸ τῆς τῶν γραφῶν ἐμπειρίας. Ὅταν γὰρ πραθῶμεν αὐτῶν τὴν πλάνην, καὶ σήμερον ἀκούσῃς καὶ αὔριον, καὶ δοκιμάσῃς με καλῶς ἔχειν, τὸ πᾶν ἔμαθες τὸ πᾶν ἔγνως. Κἂν σήμερον μὴ καταλήψῃ αὔριον κατάληψῃ τῶν τὰ αἰσθητήρια φησὶ γεγυμνασμένα ἐχόντων· ὁρᾷς ὅτι χρὴ γυμνάζειν ἡμῶν τὴν ἀκοήν, ταῖς ἀκροάσεσι ταῖς θείαις, ὥστε μὴ ξενοφωνεῖσθαι; γεγυμνασμένα, φησὶ πρὸς διάκρισιν, τοὐτέστιν ἔμπειρον εἶναι. Ὁ μὲν λέγει, μὴ εἶναι ἀνάστασιν, ὁ δὲ οὐδὲν τῶν μελλόντων προσδοκᾷ, ἄλλος ἕτερον λέγει θεόν, ἄλλος ἀπὸ Μαρίας αὐτὸν λέγει ἔχειν τὴν ἀρχήν, καὶ θεὰ εὐθέως, πῶς ἐξ ἀμετρίας πάντες ἐξέπεσον, οἱ μὲν πλεονάσαντες, οἱ δὲ ἐλαττώσαντες. (Χρυτμ. τμ. ΙΒ'. σελ. 88).*

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΒ'.

### Περὶ αἱρέσεων, αἱρετικοῦ, ἀσεβοῦς καὶ παρανόμου

*Αἵρεσίς ἐστι κακόδοξος δόξα τῶν παντελῶς ἀπερριμμένων κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένων. (Βασιλ. πρὸς Ἀμφιλόχ. ἐπιστολ. κ'. κανὼν α'.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βόρειας

Ἡ αἵρεσίς ἐστι δόξα τῶν ἀνθρώπων πρὸς ἀλλήλους μὲν ὁμοφωνούντων, πρὸς δὲ τὴν κοινὴν καὶ εὐαγγελικὴν ἔννοιαν διαφωνούντων. (Ὁ αὐτός· ἐν τῷ Φωτίου νομοκανονίῳ.)

Ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς, ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς. (Παρμ. κα'.)

Ἀνὴρ σκολιὸς διαπέμπεται κακά, καὶ λαμπτῆρα δόλου πυρσεύει κακοῖς, καὶ διαχωρίζεται φίλους. (αὐτόθι ς'.)

Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς εἰς ὁδοὺς οὐκ ἀγαθάς.

— Ἀνὴρ παράνομος ὀρύσσει ἑαυτῷ κακά, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ. (»)

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΓ'.

### Περὶ γενείου κουρᾶς.

— Οὐ μέν τοι παντελῶς ψιλωτέον τὸ γένειον· αἰσχρὸν γὰρ τὸ θέαμα· καὶ κατέγνωσται ἡ τοῦ γενείου ἐν χρῷ κουρά. (Κλήμ. Ἀλεξ. Η'. 633—640.)

— Τὸ δὲ χεῖρον καὶ ἐναντίον τὸ γένειον τὴν μορφὴν τοῦ ἀνδρὸς ἀποτέμνουσι. Καὶ περὶ μὲν τοῦ γενείου ἐν ταῖς Διατάξεσι τῶν Ἀποστόλων φάσκει ὁ θεῖος λόγος καὶ ἡ διδασκαλία μὴ φθείρειν, τουτέστι μὴ τέμνειν τρίχας γενείου. (Ἐπιφάν. ΜΒ'. 765—768—Διαταγ. Ἀποστολ. Α'. 564—568).

— Διογένης ἰδών τινα κατηκισμένον τὸ γένειον καὶ μεμυρισμένον ἐπὶ ἵππου ἱππόπορνον ὠνόμασεν. Ὅτι ἡ τῶν γενείων ἐξαθέρισις ἐπονείδιστος ἦν τοῖς παλαιοῖς ἐκ πολλῶν δηλοῦται. Ὁ γοῦν αὐτὸς Διογένης τοιοῦτον ἰδών τινα ἔφη, Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα; Ἕτερος δέ τις παλαιὸς εἶπε, τό, Τί γὰρ αἱ τρίχες λυποῦσιν ὑμᾶς, δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται; λέγεται δὲ ἐν Ἀθήναις τὸν πρῶτον προκειράμενον παρωνύμιον ἔχειν κόρσην ἀπὸ τοῦ κείρω. (Παρεκβολ. Εὐσταθ. εἰς Ὀδύσ. τόμ. β'. σελ. 260.).

— Γενείου κουρὰ ἐπονείδιστόν τι ἦν παρὰ τοῖς παλαιοῖς, καὶ ἐσκώπτοντο οἱ τὸν πώγωνα ξυρούμενοι. Ἐν δὲ ἀκμῇ τῆς ἡλικίας καὶ ἐν πένθους καιρῷ ἔκειρον τὴν κόμην τῆς κεφαλῆς. (Λ. Εὐστ.).

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΔ'.

### Περὶ ἀδυνάτων πραγμάτων.

Δεῖ τὴν ψυχὴν ἄρχειν μὲν τῶν παθῶν δουλεύειν δὲ τῷ Θεῷ· ἀμήχανον γὰρ αὐτὸν καὶ ὑπὸ τῆς ἁμαρτίας βουλεύεσθαι, καὶ ὑπὸ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Θεοῦ, ἀλλὰ δεῖ κακίας μὲν ἐπικρατεῖν, τῷ Δεσπότῃ δὲ τῶν ὅλων ὑποτετάχθαι.* (*Ἰωάνν. Δαμ. Τμ. Β΄ 369*)

*Ἀμήχανον ἅψασθαι τοῦ ἀγαθοῦ, μὴ ἀποστάντα πρότερον, καὶ ἐκπνεύσαντα τοῦ κακοῦ.*

*Δειλὴν καὶ ἄνανδρον τὴν ψυχὴν ἀμαθία ποιεῖ, οὐ κατὰ φύσιν, ἀλλὰ καὶ κατὰ προαίρεσιν* (*Χρυσστμ Τμ. ΙΒ΄. 680*)

— *Ἀδύνατον πολλὰ τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν* (*Ξενοφ. Κύρ. Παιδ. 8, 2, 5*)

— *Το τὰ ἀδύνατα διώκειν, μανικόν· ἀδύνατον δέ, τὸ τοὺς φαύλους μὴ τοιαῦτά τινα ποιεῖν.* (*Μ. Ἀντωνίν. Ἀπομνημ* **5,17**)

— *Μόνου αὐτοῦ καὶ Θεὸς στερίσκεται, Ἀγέννητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα* (*Ἀγάθων.*)

— *Οὐκ αἰσχρὸν τὸ μὴ δύνασθαι, τὸ δέ, μὴ δυναμένους ἢ μὴ πεφυκότας, ἀναδέχεσθαι τὰ τοιαῦτα καὶ παραβιάζεσθαι, πρὸς τῷ αἰσχρῷ καὶ λυπηρότατόν ἐστιν.* (*Πλουτάρχ.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΕ΄.

### Περὶ ὁμοιότητος καὶ ἀνομοιότητος.

— *Ὁμοίῳ τὸ ὅμοιον φιλεῖ* (*Πλάτων.*)

— *Ὁμοιότης φιλότης.*

— *Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων.*

— *Καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.* (*Ἡσιόδ. Ἔργ. 25.*)

— *Πᾶν τὸ ἀνόμοιον, ἀκοινώνητον* (*Αἰσωπ. μῦθ. 27.*)

— *Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.* (*Ματθ. ιγ΄. 57.*)

— *Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει· παῖς τε παιδί· καὶ γυναικὶ πρόσφορον γυνή· νοσῶν τε ἀνὴρ νοσοῦντι. καὶ ὁ δυσπραξίᾳ ληφθείς, ἐπῳδός ἐστι τῷ πειρωμένῳ* (*Πλουτάρχ.*).

## ΚΕΦΑΛΑΙΟΝ ΣΙϚ΄.

### Περὶ ἰσότητος καὶ ἀνισότητος.

*Κεῖνο κάλλιον, τέκνον,*
*Ἰσότητα τιμᾶν, ἢ φίλους ἀεὶ φίλοις*
*Πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις*
*Ξυνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,*
*Τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται*
*Τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται·*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν*
*Ἰσότης ἔταξε κἀριθμὸν διώρισε.* (*Εὐριπίδ. Φοινισ. 535.*)

— *Οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι.* (*Ξενοφ. Κύρ. Παιδ. 2, 2, 17.*) /*Ἴδε τόμ. Α'. Κεφ. ΡΠ'.*/

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΖ'.

### Περὶ τοῦ πληρώματος τῆς Ἐκκλησίας.

— *Οὐδὲ ἐκ τελείων πᾶσα συνέστηκεν ἡ τοῦ Θεοῦ Ἐκκλησία· ἀλλ' ἔχει καὶ τοὺς ῥᾳστώνῃ συζῶντας, καὶ τὸν ἀνειμένον βίον ἀσπαζομένους, καὶ ἡδοναῖς δουλεύειν αἱρουμένους.* (*Θεοδ. Ἑρμ. εἰς τὸν μ'. ψαλμ.*). (*Ἴδε τόμ. Α'. Κεφ. ΞΗ'.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΗ'.

### Περὶ τοῦ ἁγίου χρίσματος.

— *Τούτου τοῦ ἁγίου χρίσματος καταξιωθέντες, καλεῖσθε χριστιανοί, ἐπαληθεύοντες τῇ ἀναγεννήσει καὶ τὸ ὄνομα. Πρὸ γὰρ τοῦ καταξιωθῆναι ὑμᾶς ταύτης τῆς χάριτος, ταύτης τῆς προσηγορίας κυρίως οὐκ ἦτε ἄξιοι* (*Κυριλ. Ἱεροσ. Κατήχ μυσταγ. Γ.*)

— *Οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ἀπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματιζουσιν.* (*Αἰσώπ. μῦθ. 230.*)

— *Τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.* (*Αἰσωπ. μῦθ. 248.*)

— *Μᾶλλον ἐπιτυγχάνοντας ὁρῶμεν τοὺς ἐμπείρους τῶν ἄνευ τῆς ἐμπειρίας λόγου ἐχόντων.* (*Ἀριστοτ. Μεταφυσ. 1, 1.*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΙΘ'

### Περὶ ὑμνῳδίας.

— *Ἄδετε ἐν μιᾷ φωνῇ διὰ Ἰησοῦ Χριστοῦ τῷ Πατρί, ἵνα ὑμῶν ἀκούσῃ* (*Ἰγνάτ. ε'. 648.*)

— *Οὐ τὸ ᾄσαι ἁπλῶς ἐστι τοῖς νηπίοις ἁρμόδιον, ἀλλὰ τὸ μετὰ τῶν ὀργάνων ᾄσαι, καὶ μετὰ ὀρχήσεως καὶ κροτάλων· διὸ ἐν ταῖς ἐκκλησίαις παρῄρηται ἐκ τῶν ᾀσμάτων ἡ χρῆσις τῶν τοιούτων ὀργάνων καὶ τῶν ἄλλων τῶν νηπίοις ὄντων ἁρμοδίων, καὶ ὑπολείπεται τὸ ᾄσαι ἁπλῶς.* (*Ἰουστ. Γ'. 1353.*)

*Χρὴ δὲ πρῶτον μὲν Θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας.*
*εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι*
*πρήσσειν· ταῦτα γὰρ ὧν ἐστι πρότιμ', ἔταροι,*
*οὐχ ὕβρεις· πίνειν δ' ὁπόσον κεν ἔχων ἀφίκοιο*
*οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος.*
*Ἀνδρῶν δ αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει*
*ὡς οἱ μνημοσύνη καὶ μένος ἀμφ' ἀρετῆς.*
*Οὔτε μάχας διέπειν Τιτήνων οὐδὲ γιγάντων*
*οὐδὲ τὰ Κενταύρων, πλάσματα τῶν προτέρων,*
*ἢ στάσιας, φλεδόνας ταῖς οὐδὲν χρηστὸν ἔνεστι·*
*Θεῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθήν.* (*Ἀθην.* XI, 462.)
*Οὐδέ κεν ἐν κύλικι πρότερον κεράσειέ τις οἶνον*
*ἐγχέας, ἀλλ' ὕδωρ, καὶ καθύπερθε μέθυ.*
(*Ξενοφάν. Κολοφων. Ἀθην.* XI, 782).

## ΚΕΦΑΛΑΙΟΝ ΣΚ'.

### Περὶ ἀμούσων.

— *Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον, εἰς ἡλικας δὲ κώλίγους σοφώτερος. Οἱ δ' ἐν σοφοῖς φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν . . .*

— *Μικρομαθὴς μεταξὺ ἀμαθῶν σοφὸς δοκεῖ.*

— *Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες,*
*Σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί τε ἐόντες.* (*Φωκυλίδης*)

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΑ'.

### Περὶ ὁμονοίας.

— *Γνώμης ἕνωσις ἀγάπης καρπός, ταπεινοφροσύνης ἀπόδειξις ἀλαζονεία δεινή.*

— *Τῇ ὁμονοίᾳ τὰ μικρὰ αὐξάνονται.*

— *Ἀδελφῶν ὁμοφροσύνη καὶ γένος καὶ οἶκος ὑγιαίνει καὶ τέθηλε.* (*Πλουτάρχ.*).

— *Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς οὐ σταθήσεται.* (*Ματθ. ιβ.* 25.)

— *Ὁμόνοια χρωμένοις σωτήριον.* (*Αἰσώπ. μῦθ.* 207.)

— *Ὁμόνοια, κοινωνία τῶν ὄντων ἁπάντων· συμφωνία νοημάτων καὶ ὑπολημμάτων· ὁμοδοξία ἀρχόντων καὶ ἀρχομένων, ὡς δεῖ ἄρχειν καὶ ἄρχεσθαι.* (*Πλάτ. Ὅροι.*)

— *Λέγω γὰρ ὑμῖν ὅτι, ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς*

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

γῆς περὶ παντὸς πράγματος οὗ ἂν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. (*Ματθ.*).

— Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. (*Ματθαῖος*)

— Μόνον ἀξίως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα... ἀκούσω περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ, συναθλοῦντες τῇ πίστει τοῦ Εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων. (*Παύλου.*)

— Αἰσχρὸν μὲν ἂν εἴη καὶ παντελῶς οὐχ ὑμῖν, εἰ τοὺς ἄλλους εἰρήνην παιδεύοντες, αὐτοὶ πρὸς ἀλλήλους πόλεμον ἤρασθε· πῶς δ' ἂν ὁμονοεῖν ἑτέρους πείσητε, αὐτοὶ ὄντες περὶ τὰ δοκοῦντα ἀσύμφωνοι; — Εἶπον τὴν εὐσέβειαν παραβλαπτομένην ἴδοις, μὴ προτίμα ὁμόνοιαν τῆς ἀληθείας, ἀλλ' ἵστασο γενναίως ἕως θανάτου· καὶ μηδὲ ἀποστρέφου γνώμῃ, ἀλλὰ τοῖς πράγμασι μάχου μόνον· τοῦτο γάρ ἐστι, τὸ ἐξ ὑμῶν, μετὰ πάντων εἰρηνεύοντες. Κἂν ἐκεῖνος μὴ εἰρηνεύῃ σὺ μὴ πληρώσῃς χειμῶνος τὴν ψυχήν, ἀλλ' ἔσο φίλος κατὰ γνώμην, ὅπερ ἔφθην εἰπών, τὴν ἀληθειαν μηδαμοῦ προδιδούς. (*Χρυσοστόμ.*).

## Περὶ ὅρκου.

(Ἴδε τομ. Α'. κεφ. ΑΗ'.)

— Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν, εἰ δὲ μή, ἐκ τῶν ἐνόντων. (*Επικτ. Ἐγχειρ. 33.*)

— Ὅρκος περὶ παντὸς ἀπέστω. (*Πλάτ. νόμ. ι'.*)

— Πάντως μὲν δὴ καλὸν ἐπιτήδευμα θεῶν ὀνόματα μὴ χαίνειν ῥᾳδίως. (*Πλ. νομ. 917.*)

— Ὁ ὅρκῳ παρακρουόμενος τὸν μὲν ἐχθρὸν ὁμολογεῖ δεδιέναι τοῦ δὲ θεοῦ καταφρονεῖν. (*Πλουτ. Λύσανδρ. 8.*)

— Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. (*Εὐριπ. Ἱππόλυτ. 612*)

— Χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον, (*Πολυβ. ἱστορ. δ'.*)

— Ἐρινύες, αἵθ' ὑπὸ γαῖαν
ἀνθρώπους τίνυνται, ὅστις κ' ἐπίορκον ὀμόσσῃ. (*Ὁμηρ. Ἰλ. ιθ'. 259.*)

# ΚΕΦΑΛΑΙΟΝ ΣΚΒ'.

## Περὶ ψευδορκίας.

Ὁ Θεόπτης Μωϋσῆς ἀπαγορεύων κατ' ἐπιταγὴν τοῦ μεγάλου ἡμῶν Θεοῦ τοῖς ἀνθρώποις νὰ ὀμνύωσι διὰ πράγματα εὐτελῆ καὶ οὐτιδανὰ καὶ μάταια, ταῦτα φθέγγεται· «Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Ὁ αὐτὸς Θεῖος Προφήτης ἀποδοκιμάζων τοὺς πολλοὺς καὶ ψευδεῖς ὅρκους, τάδε ἀποφαντικῶς ἐν ὀνόματι τοῦ Θεοῦ ἐπάγεται· «Οὐαὶ εἰς τοὺς ὀμνύοντας ἐπὶ ματαίῳ· οὐαὶ εἰς τοὺς ὀμνύοντας ἐπὶ ἀδίκῳ· οὐαὶ εἰς τοὺς πολυόρκους». Ὁ δὲ Θεηγόρος Προφήτης Ζαχαρίας διαδηλώσας καὶ τὴν κατὰ τῶν ὁρκιζομένων ψευδῶς τιμωρίαν, λέγει· «Εἶπε, Κύριος πρός με τί ὁρᾷς; ὁρῶ δρέπανον πετώμενον, μῆκος πηχῶν εἴκοσι, καὶ πλάτος πηχῶν δέκα· καὶ εἶπε πρός με· τοῦτο εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ ὀμνύοντος ἐπὶ ψεύδει ἐν τῷ ὀνόματί μου, καὶ καταλύσει καὶ συντελέσει αὐτόν», ὅ ἐστι τάχιστα, καὶ ἀφεύκτως θέλουσιν ἐνσκήψει ἐπὶ τοῦ οἴκου τῶν ψευδῶς ὁρκιζομένων δυστυχήματα καὶ συμφοραὶ ἀνήκουστοι. Ὁ δὲ σοφὸς Σειρὰχ λέγει τάδε· «Ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ», ὅ ἐστι ἀναμφηρίστως τιμωρηθήσεται. Ὁ δὲ Ἀπόστολος Παῦλος λέγει ταῦτα· «Ἀδελφοὶ μὴ ψεύδεσθε εἰς ἀλλήλους»· καὶ ἀλλαχοῦ· «ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίου αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη». Ὁ δὲ ἐν ἁγίοις Νεῖλος τάδε λέγει· «τὸ ψευδῶς ὀμνύειν ἔστι σφόδρα βλαβερὸν καὶ ἐπάρατον καὶ ἐβδελυγμένον». Τίς τῶν χριστιανῶν ταῦτα ἀκούων δὲν φρίσσει καὶ δὲν τρέμει τὴν κατὰ τῶν ψευδόρκων καὶ ἐπιόρκων ὀργὴν τοῦ Θεοῦ καὶ τὴν ἐπικειμένην ἀναπόφευκτον αὐτοῖς τιμωρίαν; (ἡ Ἱερὰ Σύνοδος.)*

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΓ'

### Περὶ ἁγνείας καὶ μετανοίας.

*— Ἁγνεία δέ ἐστι φρονεῖν ὅσια. (Κλήμ. Ἀλεξ. η'. 1352.)*

*— Ἴσθι μὴ λουτρῷ ἀλλὰ νόῳ καθαρός (αὐτόθ.).*

*— Ἁγνεία γάρ, οἶμαι, τελεία ἡ τοῦ νοῦ, καὶ τῶν ἔργων, καὶ τῶν διανοημάτων, πρὸς δὲ καὶ τῶν λόγων εἰλικρίνεια, καὶ τελευταία ἡ κατὰ ἐνύπνια ἀναμαρτησία. Ἱκανὴ δὲ οἶμαι, ἀνθρώπῳ κάθαρσις μετάνοια ἀκριβὴς καὶ βεβαία· εἶγε, κατεγνωκότες ἑαυτῶν ἐπὶ ταῖς προγενομέναις πράξεσι, προΐεμεν εἰς τὸ πρόσθεν, τὰ μετὰ ταῦτα νοήσαντες, καὶ τὸν νοῦν ἐξαναδέντες τῶν τε κατ' αἴσθησιν τερπόντων, καὶ τῶν πρόσθεν πλημμεληματων . . . (αὐτόθ. 1352—1353.)*

*— Πᾶς ἁγνός ἐστιν ὁ μηδὲν ἑαυτῷ κακὸν συνιδών. (αὐτόθ. Θ'. 436—437.)*

*— Τῷ γὰρ ὄντι ἡ ἁγνεια οὐκ ἄλλη τίς ἐστι, πλὴν ἡ τῶν ἁμαρτημάτων ἀποχή. Καλῶς ἄρα καὶ Ἐπίχαρμός φησι· «καθαρὸν τὸν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοῦν ἐὰν ἔχῃς, ἅπαν τὸ σῶμα καθαρὸς εἶ». (αὐτοθ. 436—437.)

— Ἁγνεία ἐστὶν ἀσωμάτου φύσεως οἰκείωσις· ἁγνεία ἐστὶ φύσεως ὑπὲρ φύσιν ὑπερφυὴς ἄρτησις καὶ ἀσωμάτοις σώματος θνητοῦ καὶ φθαρτοῦ παράδοξος ὄντως ἅμιλλα. Τίς ἐστιν ἁγνός; τίς σώφρων; τί ἐστι σωφροσύνη; (Ἰω. Κλίμ πή. 880—904).

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΔ'.

### Περὶ ἑορτῶν.

Ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, Σάββατα Κυρίῳ τῷ Θεῷ σου. (Δεκαλόγ.)

Το Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον. (Μάρκος.)

Ἑορτή ἐστιν, ἀγαθῶν ἐπίδειξις, ψυχῆς εὐλάβεια. (Χρυσοστόμ.)

Δοκεῖ δὲ ἡ ἀνάπαυσις καὶ ἡ παιδιὰ ἐν τῷ βίῳ εἶναι ἀναγκαία. (Ἀριστοτέλ.).

Τοῖς μὲν μακράν τινα ὁδοιπορίαν ποιουμένοις σταθμοί, καὶ πανδοχεῖα καθ' ὁδὸν ἐπινενόηνται πρὸς ἀνάπαυσιν· ὧν τὸ μέγιστον, αὐτὸ τὸ τέλος ἐστὶ τῆς ὁδοῦ, ἐν ᾧ ἀποτερματίζονται· τοῖς δὲ τὸν βίον πορευομένοις, ἑορταί τε καὶ πανηγύρεις τὸν χρόνον κυκλοῦσιν, ὡς ἐκ καταλύμματος εἰς κατάλυμα ἡμᾶς περιάγουσαι. (Νεοφύτου Δούκα.)

Οὐ καλὸν τὰς ἑορτὰς ἡδονῆς καὶ ῥᾳθυμίας ποιεῖσθαι ὑπόθεσιν, καὶ μάλιστα τοὺς παιδείας ἐφιεμένους, ἐν ᾗ πᾶσά τε θρησκευτικὴ καὶ κοινωνικὴ ἐξετάζεται ἀρετή· ἀλλ' ἅμα ἐξελθόντας τῆς τελετῆς, βιβλίον ὑπὸ μάλης ἀραμένους, εἰς διδασκάλου φοιτᾶν· εἰ δὲ δεῖ καὶ τὸ τῆς ἐντολῆς ἐν τούτοις εὐσεβέστερον δοκεῖν διασώζειν, διακριτέον γ' ἂν εἴη τὰς ἑορτὰς πρὸς τὰς ἁγίων μνήμας· ἑορτὴ μὲν γάρ ἐστιν ἡμέρα καθ' ἣν τῶν ἔργων ἀναπαυόμενος, λατρείαν αὐτῷ τῷ Θεῷ προσφέρομεν ἄμεσον· οἷα ἡ Κυριώνυμος καὶ ἄλλαι δεσποτικαί· μνήμη δὲ ἁγίων, τιμή τις ἂν εἴη ἁπλῆ καὶ λατρείας ἀμέτοχος, ἀποδιδομένη ἐναρέτοις ἀνδράσι, τῶν αὐτῶν πράξεων ἡμᾶς κινοῦσα πρὸς μίμησιν. Τούτων δὲ οὕτως ἐχόντων, ἑλοίμην ἂν ἔγωγε τὰς μὲν ἑορτὰς ἁγιάζειν, ἀργίᾳ, (εἰγ' ἔξεστι καὶ οὕτως ἡδοναῖς καὶ ἀργίαις ὡς ἔθος τὸ θεῖον σέβειν), τὰς δὲ τῶν ἁγίων μνήμας τιμᾶν μάλιστα ταῖς περὶ τὰς μαθήσεις ἐπιμελείαις· ἐκ γὰρ τούτων κἀκεῖνοι, οὐκ ἐξ ἀργίας, τὴν ἀρετὴν κτησάμενοι, δόξης ἔτυχον ἀειμνήστου.

Πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διήρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη . . . οὐκ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΕ'.

### Περὶ λογομαχούντων περὶ τὴν πίστιν.

*Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ συζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασβημίαι, ὑπόνοιαι πονηραί, παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. (Α'. Τιμθ. ς'. 3).*

*Τὰς μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. (Β'. Τιμ. β'. 23).*

*Ἔοικε συνεξομοιοῦσθαί πως τῷ ματαιολογοῦντι ὁ ἀντιλέγων. (Βασιλείου.)*

*Οὐκ ἠδὺ τοῖς πιστοῖς ἀδολεσχία, καὶ λόγων ἀντιθέσεις· ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος. (Ναζιανζ.).*

*Σοφία πρώτη, σοφίας ὑπερορᾶν τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων καὶ ταῖς κιβδήλοις καὶ περιττταῖς ἀντιθέσεσι. (τοῦ αὐτοῦ.)*

*Τὸ ἄρα ζητεῖν περὶ Θεοῦ, ἐὰν μὴ εἰς ἔριν, ἀλλ' εἰς εὕρεσιν συντείνῃ, σωτήριόν ἐστι. (Κλήμ. Στρω. 5.)*

*Τί μαχόμεθα πρὸς ἀλλήλους εἰκῇ; τί πολεμοῦμεν ἀλλήλοις, προστεταγμένοι καὶ τοὺς μισοῦντας φιλεῖν; τί πιστεύειν ἀφέντες τεχνολογοῦμεν τὴν πίστιν. (Χρυσοστμ.).*

## ΚΕΦΑΛΑΙΟΝ ΣΚς'.

### Περὶ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων.

*Εἴ τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρέλαβε ἡ καθολικὴ ἐκκλησία παρὰ τῶν ἁγίων Ἀποστόλων πατέρων καὶ Συνόδων καὶ μέχρι τοῦ νῦν διεφύλαξε, μὴ ἀκούσητε αὐτοῦ, μηδὲ δέξησθε τὴν συμβουλὴν τοῦ ὄφεως, ὡς ἐδέξατο Εὔα καὶ ἐτρύγησε θάνατον. Κἂν ἄγγελος κἂν Βασιλεύς, εὐαγγελίσηται ὑμᾶς παρ' ὃ παρελάβετε, κλείσατε τὰς ἀκοάς. Ὀκνῶ γὰρ τέως εἰπεῖν, ὡς ἔφη ὁ θεῖος Ἀπόστολος ἀνάθεμα ἔστω, ἐκδεχόμενος τὴν διόρθωσιν. (Γαλτ. α'. 8) Ἰωάν. Δαμασκ. Τμ. Α'. Σελ. 332.)*

*Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ, ἢ λίθῳ χαράγματι τέχνης, καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. (Πρξ. ιζ'. 29.)*

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

*Καὶ γὰρ ὅσον ἀναγινώσκονται αἱ θεῖαι γραφαί, τοσοῦτον καὶ ἐπιγινώσκονται, καὶ πλέον ἐξάπτουσιν ὑμᾶς πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ· καὶ εἰ ὅλως οὗτοι διὰ σαρκικὴν ἀγάπην τῶν τέκνων αὐτῶν εἰκόνας ἀνιστοροῦσι πρὸς ὑπόμνησιν αὐτῶν, πολλῷ μᾶλλον ἡμεῖς ὀφείλομεν, τὰς τῶν ἁγίων Εἰκόνας ἀνιστορῆσαι σὺν τοῖς παθήμασιν αὐτῶν τοὺς ἐκχέοντας τὸ αἷμα αὐτῶν ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ. Διατὶ δὲ παράνομε αἱρετικέ, λέγεις με εἰδωλολατρεῖν ; Τίνος γὰρ εἴδωλον προσκυνῶ, εἰπέ μοι ; Ἀπόλλωνος ; μᾶλλον δὲ τοῦ Ἀπόλλοντος ; ἢ τὴν Εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν διδάσκουσάν με τὴν ἔνσαρκον αὐτοῦ Οἰκονομίαν ; Εἰπέ μοι, Ἰουδαιόφρων, τίνος εἴδωλον προσκυνῶ ; τῆς Ἀρτέμιδος, τῆς μητρὸς τῶν δαιμόνων, ὡς Ἕλληνες μυθεύονται, ἢ τὴν Εἰκόνα τῆς Παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς μητρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰπέ μοι, τίνος εἴδωλον προσκυνῶ ; τοῦ Διός, ἢ τὴν εἰκόνα τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, καὶ Βαπτιστοῦ ; τοῦ Διός, ἢ τὰς εἰκόνας τῶν Ἁγίων Ἀποστόλων, καὶ μαρτύρων καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων τῷ Κυρίῳ ; καὶ τίς τολμᾷ καλεῖν εἰδωλολατρείαν τὴν καλὴν ἐξήγησιν ταύτην, καὶ ἐνυβρίσαι τὰ πάθη τοῦ Χριστοῦ καὶ τῶν Ἁγίων αὐτοῦ, ἅμα καὶ παραδόντων ἡμῖν τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν ; οὕτω γὰρ παρελάβομεν αὐτὴν ἐκ τῶν Ἁγίων Πατέρων κεκοσμημένην, καθὼς καὶ αἱ θεῖαι γραφαὶ διδάσκουσιν ἡμᾶς, τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ, τὴν δι' ἡμᾶς πρὸς ἡμᾶς αὐτοῦ συγκατάβασιν, τὸν Εὐαγγελισμὸν τοῦ Γαβριὴλ πρὸς τὴν Παρθένον, καὶ τὰ ἑξῆς, τὴν γέννησιν, τὸ σπήλαιον, τὴν φάτνην, τὴν μαίαν καὶ τὰ σπάργανα, τὸν ἀστέρα καὶ τοὺς μάγους, τὴν βάπτισιν, τὸν Ἰορδάνην, τὸν Ἰωάννην ἁπτόμενον τῆς κορυφῆς αὐτοῦ, καὶ ἄνωθεν τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς. Ἤλθομεν καὶ ἐπὶ τὸ πάθος αὐτοῦ, καὶ ἴδωμεν τοὺς παῖδας μετὰ βαΐων, τὸν νιπτῆρα, καὶ τὸ λέντιον, τὸν ἀσπασμὸν τοῦ Ἰούδα, τὴν κράτησιν τῶν Ἰουδαίων, τὴν ἔνστασιν τοῦ Πιλάτου, τὴν σταύρωσιν, τοὺς ἥλους καὶ τὰ ῥαπίσματα, τὸν σπόγγον καὶ τὴν λόγχην, καὶ ἄνωθεν τὸν τίτλον ἔχοντα τὴν ἐπιγραφήν, Ἴδε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Ἴδωμεν τὴν ἀνάστασιν, τοῦ κόσμου τὴν χαράν, πῶς ὁ Χριστὸς πατεῖ τὸν ᾅδην καὶ ἐγείρει τὸν Ἀδάμ· ὁμοίως καὶ τὴν Ἀνάληψιν. Ἤλθωμεν καὶ ἐπὶ τὰ θαύματα αὐτοῦ, τοῦ τυφλοῦ τὴν ἀνάβλεψιν, τοῦ παραλυτικοῦ τὴν σύσφιγξιν, τῆς Αἱμορροούσης τὴν ἅφαψιν τοῦ κρασπέδου, ἥτις καὶ πρώτη πάντων ἐποίησε τὴν εἰκόνα τοῦ Χριστοῦ ἐκ χαλκοῦ· ὁμοίως καὶ τὰ τῶν ἁγίων σώματα μετὰ τῶν βασάνων καὶ κριτηρίων, ὧν ὑ-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέμειναν διὰ Χριστὸν τὸν Θεὸν ἡμῶν. Ταύτην τὴν καλὴν ἐξήγησιν καὶ ὠφέλιμον γραφὴν πῶς δύνασθε εἰπεῖν εἰδωλολατρείαν; ἡ γὰρ γραφὴ ἐστι σύντομος καὶ καλή, καθὼς καὶ ὁ πατὴρ ἡμῶν Χρυσόστομος εἶπεν. Ἐγὼ καὶ τὴν κηρόχυτον γραφὴν ἠγάπησα, εὐσεβείας πεπληρωμένην· καὶ ὁ ἅγιος Βασίλειος ὁ μέγας πατὴρ ἡμῶν, ἐγκωμιάζων τοὺς ἁγίους Τεσσαράκοντα λέγει, «Ἐπειδὴ καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες»· καὶ γὰρ ὁ λογογράφος ἔγραψε τὸ Εὐαγγέλιον, καὶ τί ἔγραψεν ἐν τῷ Εὐαγγελίῳ; πᾶσαν τὴν ἐνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ, καὶ παρέδωκε τῇ Ἐκκλησίᾳ· ὁμοίως καὶ ὁ ζωγράφος ποιεῖ. Ἐζωγράφισεν ἐν τῷ πίνακι τῆς Ἐκκλησίας τὴν εὐπρέπειαν ἀπὸ τοῦ πρώτου Ἀδάμ, ἕως τῆς Χριστοῦ γεννήσεως, καὶ πᾶσαν τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ, καὶ τὰς μαρτυρίας τῶν ἁγίων, καὶ παρέδωκε καὶ αὐτὸς τῇ Ἐκκλησίᾳ ὡς μᾶλλον ἀμφότεροι μίαν ἐξήγησιν ἀπεγράψαντο, καὶ διδάσκουσιν ἡμᾶς. Καὶ διατί τὴν βίβλον προσκυνεῖτε, καὶ τὸν πίνακα ἐμπτύετε; εἰπέ μοι, αἱρετικέ, τίς ἡ διαφορὰ τῶν δύο; ὅτι ἀμφότεροι μίαν ἐξήγησιν εὐαγγελίζονται, καὶ ὁ μὲν εἷς προσκυνῆται, ὁ δὲ ἕτερος ἐμπτύεται ὢ τῆς συμφορᾶς! τίς οὐμὴ καταγελάσῃ τὴν κρίσιν ταύτην; τίς οὐμὴ βδελύξηται τὴν διδασκαλίαν ταύτην; ὅτι ἀμφότεροι μίαν ἐξήγησιν ἑρμηνεύουσιν· καὶ ὁ μὲν εἷς προσκυνεῖται, ὁ δὲ ἕτερος καταφρονεῖται; ἰδὲ γνῶσιν· μᾶλλον δὲ ἀγνωσίαν· ὄντως ἐὰν κατανοήσῃ ἄνθρωπος καλῶς, ἑρμηνεία ἐστὶ τοῦ Εὐαγγελίου καλὴ καὶ ἐ ἀρετος, ἡ ἱστορία αὕτη καὶ ἐξήγησις· ἐπειδὴ γάρ, ἅπερ εὐαγγέλιον λόγῳ ἐξηγεῖται, οὗτος ἔργῳ δεικνύει, καὶ διατὶ οὗτος προσκυνεῖται, οὗτος δὲ καταφρονεῖται; τί διαφέρει ὁ χάρτης τοῦ ἀσβέστου; οὐχὶ ἀμφότεροι ἐκ τῆς ὕλης μετέρχονται εἰς ἐργασίαν μίαν; ἢ τί διαφέρει ἡ μεμβράνα τῆς σανίδος; οὐχὶ ἀμφότερα ὑπὸ ξίφους τέμνονται καὶ διασχίζονται, καὶ οὕτω μετέρχονται εἰς ἐργασίαν; ἢ τί διαφέρει ὁ μέλας τοῦ συρικοῦ καὶ τῶν λοιπῶν χρωμάτων; οὐχὶ ἀμφότεροι ἐκ πολλῶν ἐδεσμάτων κατασκευάζονται, καὶ οὕτως ὑπηρετοῦσι τῷ γράφοντι; εἰπέ μοι, τίνα προσκυνεῖς ἐν τῷ Εὐαγγελίῳ; τὴν ὕλην ἢ τὴν ἐξήγησιν; πάντως ἐρεῖς μοι τὴν ἐξήγησιν τῆς οἰκονομίας τοῦ Χριστοῦ· οὕτω κἀγώ, οὐχὶ τὴν σανίδα τιμῶ, οὐδὲ τὸν τοῖχον, τὴν ὕλην τῶν χρωμάτων, ἀλλὰ τὸν χαρακτῆρα τοῦ σώματος, καὶ τὴν οἰκονομίαν τοῦ Κυρίου, καθὼς καὶ ὁ Πατὴρ ἡμῶν Χρυσόστομος λέγει εἰς τὸν νιπτῆρα. Ὅταν εἰκόνες καὶ χαρακτῆρες βασιλικοὶ εἰς πόλιν εἰσέρχωνται, καὶ ὑπαντῶσιν αὐταῖς ἄρχοντες, καὶ ὅλοι μετ' εὐφημίας καὶ φόβου, οὐ σανίδας τιμῶντες, οὐ τὴν κηρόχυτον γραφήν, ἀλλὰ τὸν χα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*ρακτῆρα τοῦ ἐπιγείου Βασιλέως· καὶ εἰ ὅλως τοῦ ἐπιγείου Βασιλέως τοιαύτη τιμὴ πρέπει, μὴ παρόντος τοῦ βασιλέως ἐκεῖ, εἰμὴ μόνης τῆς εἰκόνος, πόσῳ μᾶλλον τοῦ ἐπουρανίου Βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τιμᾶσθαι καὶ προσκυνεῖσθαι τὴν εἰκόνα δεῖ ; ὢ τῆς συμφορᾶς ! ὅτι τοῦ ἐπιγείου βασιλέως ἡ εἰκὼν προσκυνεῖται, καὶ τοσαύτης τιμῆς ἀξιοῦται, ἡ δὲ τοῦ Χριστοῦ καταφρονεῖται· ὢ τῆς ἀπάτης τῶν χριστιανῶν ! ὦ κρίσις καὶ δόγμα πατέρων ! τίς οὐμὴ καταγελάσῃ τὴν κρίσιν ταύτην ; τίς οὐ μὴ βδελύξηται τὸ ἀσεβὲς δόγμα τοῦτο ; πολλάκις ἄφρων ἄνθρωπος, ἐὰν εὑρεθῇ ἐμπτύων τὴν εἰκόνα τοῦ ἐπιγείου βασιλέως, τί παθαίνει ; οὐ κεφαλῆς τιμωρίας ἀξιοῦται· καὶ γὰρ ὁ ἀτιμάζων τὴν εἰκόνα τοῦ βασιλέως τὸν βασιλέα ἀτιμάζει. Ἡ γὰρ τιμὴ τῆς εἰκόνος, ὥς φησιν ὁ μέγας Βασίλειος, ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὁμοίως καὶ ἡ ἀτιμία· οὕτω χρὴ λογίζεσθαι καὶ ἐπὶ τῆς εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπουρανίου Βασιλέως, ὅτι ὁ ἀτιμάζων αὐτήν, τὸν Χριστὸν ἀτιμάζει, ἡ γὰρ τιμὴ τῆς εἰκόνος εἰς Χριστὸν ἀνατρέχει, ὁμοίως καὶ ἡ ἀτιμία· ὁ ἀτιμάζων τὴν εἰκόνα ἐπὶ τὸ πρωτότυπον ἄγει τὴν ὕβριν· τοῦτο νοητόν ἐστι πᾶσι, καὶ τίς οὐ μὴ φύγῃ τὴν ὕβριν τοῦ Χριστοῦ ;*

*Λόγος ἄνωθεν εἰς ἡμᾶς παραδεδομένος κάτεισιν, Ἄΰγαρον τὸν Ἐδέσσης ἄνακτα, τῇ τοῦ Κυρίου πρὸς θεῖον ἐμπυρσευθέντα ἔρωτα ἀκοῇ, ἀπεσταλκέναι πρέσβεις, τὴν αὐτοῦ ἐπίσκεψιν ἐξαιτοῦντας· εἰ δὲ ἀρνηθείη τοῦτο δράσειν, τὸ τούτου κελεύει ὁμοίωμα ζωγράφῳ ἐκμάξασθαι ὃ γνοὺς τὸν πάντα εἰδότα καὶ πάντα δυνάμενον, μάκτρον εἰλῆφέναι, καὶ τῷ προσώπῳ προσενεγκάμενον, ἐν τούτῳ τὸν οἰκεῖον ἐναπομάξασθαι χαρακτῆρα.* (Ἰωάν. τοῦ Δαμασκηνοῦ).

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΖ'.

### Περὶ ἀτέκνων.

*Οἱ μὲν ἄτεκνοι δι' ἀπειροσύναν*
*Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν*
*Παῖδες τελέθουσ' οὐχὶ τυχόντες,*
*Πολλῶν μόχθων ἀπέχονται.*
*Οἷσι δὲ τέκνον ἔστιν ἐν οἴκοις*
*Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ*
*Κατατρυχομένους τὸν ἅπαντα χρόνον,*
*Πρῶτον μὲν ὅπως θρέψουσι καλῶς*
*Βιότου θ' ὁπόθεν λείψουσι τέκνοις,*
*Ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις,*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

*Εἴτ' ἐπὶ χρηστοῖς*
*Μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον. (Εὐριπ. Μήδεια. 1094).*

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΗ'.

### Περὶ θυγατέρων.

*Ἐὰν γυνὴ εὔξηται εὐχὴν Κυρίῳ, ἢ ὁρίσηται ὁρισμῷ ἐν τῷ οἴκῳ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ παρασιωπήσῃ αὐτῆς ὁ πατήρ, καὶ στήσωνται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ πάντες οἱ ὁρισμοί, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ· ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ πατὴρ αὐτῆς αὐτῇ, ἢ ἂν ἡμέρᾳ ἀκούσῃ πάσας τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμούς, οὓς ὡρίσατο, οὐ στήσονται· καὶ Κύριος καθαριεῖ αὐτήν, ὅτι ἀνένευσεν ὁ πατὴρ αὐτῆς. (Ἀριθ. λ'. 4).*

*Θυγατέρες σοί εἰσιν; πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου· ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα· καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν. (Σειράχ. ζ'. 24).*

*Θυγάτηρ πατρί, ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον. (αὐτόθι).*

*Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται. (αὐτόθι κς'. 10).*

*Θυγάτηρ ἐπ' ἐλαττώσει γίνεται· θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς, καὶ ἡ καταισχύνουσα, εἰς λύπην γεννήσαντος· πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα, καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται. (αὐτόθι κβ'. 3).*

## ΚΕΦΑΛΑΙΟΝ ΣΚΘ'.

### Περὶ τῆς εὐθηνείας τῶν ἁμαρτωλῶν καὶ τῆς δυστυχίας τῶν δικαίων.

*Διατὶ εὐσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν τῷ πλούτῳ; ὁ σπόρος αὐτῶν κατ' ἐπιθυμίαν ψυχῆς, τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν. Οἱ οἶκοι αὐτῶν εὐθυνοῦσι, φόβοι δὲ οὐδαμοῦ, μάστιξ δὲ παρὰ Κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς· μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια, τὰ δὲ παιδία αὐτῶν προσπαίζει αὐτοῖς, ἀναλαμβάνοντα ψαλτήριον καὶ κιθάραν· συνετέλεσαν ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν. (Ἰώβ καὶ 7—13.)*

*Πόσαι εἰσὶν αἱ ἀνομίαι μου καὶ αἱ ἁμαρτίαι μου, τίνες εἰσὶ δίδαξόν με, διατὶ ἀπ' ἐμοῦ κρύπτεις; (αὐτόθι ιγ'. 23.)*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἕως τινος, Κύριε, κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι πρὸς σὲ ἀδικούμενος καὶ οὐ σώσεις; τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν; ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον, ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα, διεστραμμένον. (Ἀβακούμ. α'. 2.)

Ἀπεκρίθη ἄγγελος Κυρίου, καὶ εἶπε, Κύριε παντοκράτορ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλήμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; (Ζαχαρ. α'. 12.)

Δίκαιος εἶ Κύριε, ὅτι ἀπολογήσομαι πρός σε· πλὴν κρίματα λαλήσω πρός σε. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθύνησαν δὲ πάντες οἱ ἀθετοῦντες εὐθύτητας. (Ἱερεμ. ιβ'.)

Ἐπειδὴ εἰμὶ ἀσεβής, διὰ τοῦτο οὐκ ἀπέθανον; ἐὰν γὰρ ἀπολουσωμαι χιόνι, καὶ ἀποκαθάρωμαι χερσὶ καθαραῖς, ἱκανῶς με ἐν ῥύπῳ ἔβαψας, ἐβδελύξατο δέ με ἡ στολή μου· οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀνταποκρινοῦμαι, ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν· εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ὁ διελέγχων καὶ διακούων ἀναμέσον ἀμφοτέρων. (Ἰωβ. θ. 30.)

Οὐκ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω· ἀπόστα ἀπ' ἐμοῦ, κενὸς γάρ μοι ὁ βίος. Τί γὰρ ἔστιν ἄνθρωπος ὅτι ἐμεγάλυνας αὐτόν; ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν; ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσεις ἕως πρωΐ; καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς; ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ προΐῃ με ἕως ἂν καταπίω τὸν πτύελόν μου ἐν ὀδύνῃ; Εἰ ἐγὼ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων; διατὶ ἔθου με κατεντευκτήν σοι εἰμὶ δὲ ἐπί σοὶ φορτίον; καὶ διατὶ οὐ λήθην ἐποιήσω τῆς ἁμαρτίας μου, καὶ καθαρισμὸν τῆς ἀνομίας μου; νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι. (αὐτόθι. ζ'. 16.)

## ΚΕΦΑΛΑΙΟΝ ΣΛ'.

### Περὶ δείπνου καὶ συνεστιάσεως.

Δεῦρο, φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου. (Ἐκκλ. θ'. 7.)

Οὐκ ἔστιν ἀγαθὸν ἀνθρώπῳ, ὃ φάγεται καὶ πίεται, καὶ ὃ δείξει ἀγαθὸν τῇ ψυχῇ, αὐτοῦ, καί γε τοῦτο εἶδον ἐγώ, ὅτι ἐκ χειρὸς Θεοῦ ἐστιν (» β'. 24—25.)

Ἐὰν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζῃ δυνάστου, νοητῶς νόει τὰ παρατιθέμενά σοι. (γρμ. κγ'. 1.)

Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ, μηδὲ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ· ὃν τρόπον γάρ, εἴ τις καταπίῃ τρίχα, οὕτως ἐσθίει καὶ πίνει. (αὐτόθι κγ'. 6.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑτοίμασον τὴν τράπεζαν, φάγετε, πίετε· ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε θυρεούς. (Ἡσαΐας καὶ 5.)

Ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου. (Σειράχ. θ. 16)

Ἐπὶ τραπέζης μεγάλης ἐκάθησας; μὴ ἀνοίξῃς ἐπ' αὐτῇ φάρυγγά σου, καὶ μὴ εἴπῃς πολλά γε ἐπ' αὐτῆς· οὗ δ' ἂν ἐπιβλέψῃς, μὴ μὴ ἐκτείνῃς τὴν χεῖρά σου καὶ μὴ συνθλίψῃς αὐτῇ ἐν τρυβλίῳ. Φάγε ὡς ἄνθρωπος τὰ παρακείμενα, καὶ μὴ διαμασῶ, μὴ μισηθῇς. Παῦσαι πρῶτος χάριν ἐνδείας καὶ μὴ ἀπλησταίνου, μήποτε προσκόψῃς· καὶ εἰ μέσον πλειόνων ἐκάθησας πρῶτος αὐτῶν μὴ ἔκτεινε χεῖρά σου. (αὐτόθι λδ'. 12. 14—16—18.)

Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου μηδὲ γείτονας πλουσίους, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ τοὺς ἀδελφούς σου, μήποτε καὶ αὐτοί σὲ ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα, ἀλλ' ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. (Λουκ. ιδ'. 12.)

— Ξανθίππης τῆς γυναικὸς (Σωκράτους) ἐπιτιμώσης αὐτῷ, διότι λιτὴν παρεσκευάζοντο τράπεζαν ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροί εἰσιν οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

## ΣΛΑ'. — Περὶ τιτθῶν καὶ μητέρων.

— Δεῖ αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν καὶ τούτοις ὑπέχειν τοὺς μαστούς. Συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν καί, τὸ δὴ λεγόμενον, ἐξ ὀνύχων ἀπαλῶν ἀγαπῶσαι τὰ τέκνα. Αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ τὴν εὔνοιαν ὑπαβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν, ἅτε μισθοῦ φιλοῦσαι. (Πλουτ. Παίδ. Ἀγωγή. 5).

## ΣΛΒ'. — Περὶ ἀλληλοϋμνουμένων.

— Ἀλλήλων καταφρονοῦντες, ἀλλήλοις ἀρέσκονται, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται. (Μαρκ. Ἀντων. ιά. 14).

## ΣΛΓ'. — Περὶ γειτόνων.

— Οὐδὲν χαλεπώτερον γείτονος πονηροῦ καὶ πλεονέκτου. (Ἀπολλώνιος).

— Πῆμα κακὸς γείτων ὅσσον' ἀγαθὸς μέγ' ὄνειαρ. (Ἡσιόδ. ἔργ. 346).

— Τῷ γείτονι βούλει ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ κἂν τι σφαλλόμενον τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι. (Ξενοφ. Ἀπομν. β΄).

## ΣΛΔ΄.—Περὶ ἔργων.

— Ἃ δ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. (Ἰσοκρατ.)

— Ἕπεται τῇ γνώσει τὰ ἔργα, ὥσπερ τῷ σώματι αἱ σκιαί. (Συνέσ.)

— Ἀνάγκη τὸν ἐν βραχυτάτῳ διατριβοντα ἔργῳ τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν. (Ξενοφ. Κύρ. Παιδ. 8, 2, 5).

— Ἀνὴρ δὲ οὕτως ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη. (Ἡροδ. 7, 49).

— Ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου. (Πλ. νομ. ς΄. 762 έ).

— Ὅς οἱ πολλὰ κάμησι, θεὸς δ' ἐπὶ ἔργα ἀέξῃ. (Ὁμήρ. Ὀδύσ. ιδ΄. 85).

— Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν·
Οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
Οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τε ἔργον ὀφέλλει.
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει. (Ἡσιοδ. ἔργ. 410).

## ΣΛΕ΄.—Περὶ θρήνου.

— Εἰς τοὺς σωματικῶς ἀποθνήσκοντας κλαίομεν εἰδότες ὅτι οὐ δυνάμεθα ἐπαναγαγεῖν αὐτοὺς εἰς τὴν ζωήν, ἆρα τοὺς ψυχικῶς θνήσκοντας οὐκ ὀφείλομεν θρηνεῖν; καίτοι εἰδότες ὅτι οὐ δυνάμεθα ἐπὶ τὴν πρώτην αὐτῶν ζωὴν ἐπαναγαγεῖν. (Χρυσ.)

## ΣΛς΄.—Περὶ τοῦ τόπου τῆς ἀναπαύσεως.

— Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητής, οὔτε ποθ' ὑμνήσει κατ' ἀξίαν. (Πλάτ. Φαῖδρ. 345).

— Τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν. (Πλάτ. Ἀπολ.)

## ΣΛΖ΄.—Περὶ τῶν πρὸ Χριστοῦ φιλοσοφησάντων.

— Ἕκαστός τις ἀπὸ μέρους τοῦ σπερματικοῦ λόγου τὸ συγγενὲς ὁρῶν καλῶς ἐφθέγξατο. (Ἰουστ. Ἀπολ. 2,97.)

— Καὶ οἱ μετὰ λόγου βιώσαντες χριστιανοί εἰσιν. (Ἰουστ. Ἀπολ. 1, 17.)

— Κλέψαντες ταῦτα ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν. (Θεοφ. πρὸς Ἀντ. 2, 378.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

— *Τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων*; (*Κλήμ. Ἀλεξ. Στρωμ. 1, 251.*)

## ΣΛΗ'.—Περὶ νίκης.

— *Τὸ πολὺ νικᾶν οὐδενὶ πώποτε μεταμέλειαν παρέσχεν.* (*Ξενοφ.*)

— *Ὁπότερος ἡμῖν καὶ συμφερώτερα καὶ καλλίω εἰς τὸν ἀεὶ χρόνον διαπέπρακται, οὗτός ἐστι καὶ ὁ νικῶν.* (*Ξενοφ. Ἀπολογ. Σωκράτ. 29.*)

## ΣΛΘ'.—Περὶ ἀγροίκων.

*Τοῖς τρόποις*
— *τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα*
*ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν*
*ἀνὴρ ἀλαζών, καὶ δίκαια κἄδικα·*
*κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι.* (*Ἀριστοφ. Ἀχ. 370*).

## ΣΜ'.—Περὶ συγγενῶν.

— *Τὸ συγγενὲς γὰρ δεινόν, ἔν τε τοῖς κακοῖς*
*οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.*
(*Εὐριπίδ. Ἀνδρομάχ. 985*).

— *Ἀνδρὸς φίλου γὰρ καὶ συγγενοῦς*
*αὐτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.* (*Διφίλου*).

## ΣΜΑ'.—Περὶ ἀγγελίας ἀγαθῆς.

*Ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές, οὕτως ἀγγελία ἀγαθὴ ἐκ γῆς μακρόθεν. Ὡς ὡραῖοι οἱ πόδες ἐπὶ τῶν ὀρέων εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, εὐαγγελιζομένου ἀγαθά.*

## ΣΜΒ'.—Περὶ κριτῶν βιβλίων.

— *Δεῖ τὸν ἀγαθὸν κριτὴν οὐκ ἐκ τῶν παραλειπομένων δοκιμάζειν τοὺς γράφοντας, ἀλλ' ἐκ τῶν λεγομένων.* (*Πολύβ. 4, 57 α. 7*).

— *Ἂν ἀνέλῃς τοὺς πράττοντας οὐχ ἕξεις τοὺς γράφοντας.* (*Πλουτ. δοξ. Ἀθη. Ι.*)

## ΣΜΓ'.—Περὶ Σκέψεως.

*Ὅταν τις ἐξίῃ τῆς οἰκίας ζητείτω πρότερον τί μέλλει πράξειν, εἰσελθὼν δὲ τί ἔπραξεν.* (*Κλεόβουλος ὁ Λίνδιος*).

*Μὴ παντὶ ἐμβάλλειν δεξιὰν* (*Πυθαγόρ.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΣΜΔ'.—Περὶ εὐνοίας.

— *Τὴν εὔνοιαν ὡς κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον (Πλουτ. Ἰούλ. Καῖσαρ 57.)*

— *Τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν. (Πλουτάρ. Λούκουλ. 23.)*

## ΣΜΕ'.—Περὶ αἰσθήσεων.

*Ὅταν αἴσθησιν τῶν πραγμάτων τις οὐ λάβῃ τότε γενήσεται νίκη δίχα ἀγῶνος. (Ἰσαάκ.)*

*Οὐδὲν ἐν τῷ νῷ ἂν μὴ πρότερον ἐν τῇ αἰσθήσει.*

## ΣΜϚ'.—Περὶ νοός.

— *Ὁ νοῦς τὸ σῶμα ὅπως βούλεται μεταχειρίζεται. (Ξενοφ. Ἀπομνημ. 1, 417.)*

— *Μόνος ὁ νοῦς παλαιούμενος ἀνηβᾷ. (Πλουτάρ. Παίδ. ἀγωγὴ 8.)*

— *Νοῦς ἐστι γεννέτης τοῦ πάντων αἰτίου. (Πλάτ. Φίληβος.)*

## ΣΜΖ'.—Περὶ ἀγχινοίας.

— *Ἀγχίνοια, εὐφυΐα ψυχῆς, καθ' ἣν ὁ ἔχων στοχαστικός ἐστιν ἑκάστῳ τοῦ δέοντος· ὀξύτης νοῦ. (Πλάτ. ὅροι.)*

— *Εὐφυΐα, τάχος μαθήσεως· γέννησις φύσεως ἀγαθῆ· ἀρετὴ ἐν φύσει. (Πλάτ. ὅροι.)*

## ΣΜΗ'.—Περὶ ἐλευθεριότητος.

*Ἔστιν ἐλευθερίους εἶναι καὶ ἄνευ χρυσοῦ (Ξενοφ. Κύρ. Παιδ. 5, 3, 3.)*

— *Ἐλευθεριότης, ἕξις πρὸς τὸ χρηματίζεσθαι ὡς δεῖ· πρόσθεσις καὶ κτῆσις οὐσίας ὡς χρή. (Πλάτ. Ὅροι.)*

## ΣΜΘ'.—Περὶ ἀδήλων.

— *Οὔτε τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον ὅστις καρπώσεται, οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον ὅστις οἰκήσει, οὔτε τῷ στρατηγικῷ δῆλον εἰ συμφέρει στρατηγεῖν, οὔτε τῷ πολιτικῷ δῆλον εἰ συμφέρει τῆς πόλεως προστατεῖν, οὔτε τῷ καλὴν γήμαντι, ἵν' εὐφραίνηται, δῆλον εἰ διὰ τούτους στερήσηται τῆς πόλεως. (Ξενοφ. Ἀπομνημ. 1, 1, 8.)*

— *Τὸ μέλλον ἄδηλον πᾶσιν ἀνθρώποις. (Δημοσθέν.)*



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΣΝ'.—Περὶ αὐταπάτης.

*Ῥᾷστον ἁπάντων ἐστὶν αὐτὸν ἐξαπατῆσαι. (Δημοσθ. Ὀλυνθ. 3. 33.)*

## ΣΝΑ'.—Περὶ βελτίστων.

*— Δεῖ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται· ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην. (Δημοσθ.)*

## ΣΝΒ'.—Περὶ κατασκόπων.

*— Οἱ δούλοις ἐοικότες κατάσκοποι οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν ἢ ὅσα πάντες ἴσασιν. (Ξενοφ. Κύρ. Παιδ. 6, 2, 3.)*

## ΣΝΓ'.—Περὶ διακρίσεως τῶν ἀγαθῶν ἀπὸ τῶν κακῶν.

*Σιτίον εἰς ἀμίδα μὴ ἐμβαλεῖν. (Πυθαγόρ.)*

*Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μηποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. (Ματθ. Ζ'. 6.)*

## ΣΝΔ'.—Περὶ κηδεμόνων.

*— Εὔηθες τὰ οἰκεῖα αὐτοὺς προϊεμένους, τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι. (Δημοσθ. 3 κατὰ Φιλιπ. 129.)*

## ΣΝΕ'.—Περὶ ἀφομοιώσεως.

*Καὶ τῶν φυτῶν τὰ σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιοῦνται. (Πλουταρ. ἀποφθέγμ. βασιλ. Κύρ. 3.)*

## ΣΝϚ'.—Περὶ παραδόξων.

*— Ὁρῶ τὰ παράδοξα ἢν μὲν ἀγαθὰ ᾖ, μᾶλλον εὐφραίνοντα τοὺς ἀνθρώπους, ἢν δὲ δεινά, μᾶλλον ἐκπλήττοντα. (Ξενοφ.)*

## ΣΝΖ'.—Περὶ χρείας.

*— Ἡ χρεία μέγα τι εἰς προθυμίαν συμβάλλεται. (Ξενοφ.)*

*— Πάντων ἡ χρεία αὐτὴ διδάσκαλος γίγνεται τοῖς ἀνθρώποις. (Διοδ. Σικελιω. 1, 8, 9.)*

*— Πολλοὶ πολλάκις κακοὶ μὲν γνώμην τυγχάνουσιν, ἐπαινοῦνται δὲ πολλάκις παρ' ἐνίων, τῆς χρείας ποιούσης ἀντὶ τῆς ἀληθείας τὸν ἔπαινον. (Ἰμέρ. ἐκλογαὶ 3, 21.)*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

## ΣΝΗ'.—Περὶ βίας.

— *Οἱ μὲν βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι φιλοῦσιν.* (*Ξενοφ. Ἀπομνημ. 1, 2, 10.*)

— *Συμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος οὐδενός.* (*Ξεν. Ἀπομνημ. 1, 2, 11.*)

— *Χαλεπὸν ἀνθρώπῳ τὰ θεῖα βιάσασθαι.* (*Παυσαν. 2, 1, 5.*)

## ΣΝΘ'.—Περὶ μοναρχίας.

— *Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,*
*εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω,*
*σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν ἐμβασιλεύῃ.* (*Ὁμ. Ἰλ. β'. 204.*)

— *Τὸ φαυλότατον, ὡς ἔοικεν, εὐνοίας ὄχλων βασιλεῦσι καὶ δυνάσταις τεκμήριόν ἐστιν ὑπερβολὴ τιμῶν.* (*Πλουτ. Δημητ. 30.*)

— *Οἷος ἑκάστου*
*οἶκος, τοίη δὴ καὶ ξύμπασα πόλις.* (*Ἀνθολ. Πλατ. β'. 820.*)

## ΣΞ'.—Περὶ συνοχῆς πραγμάτων καὶ περισπασμοῦ.

(*Ἰωάν. Λαμ. Τόμ. Β'. Σελ. 694.*)

*Μὴ περὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου· ἐὰν πληθύνῃς, οὐκ ἀθῷος ἔσῃ.* (*Σειράχ. ιά. 10.*)

*Ὀχληρίαν, καὶ περιφοράν, εὑρίσκω αὐτὰ πικρότερα ὑπὲρ θάνατον.* (*αὐτόθι ζ'. 25.*)

*Ὁ προεστὼς ἀλλοτρίας κρίσεως, ὡς κρατῶν κέρκον κυνός.* (*αὐτόθι. κς'. 28.*)

*Ὥσπερ ὀφθαλμὸν περιαγόμενον συνεχῶς, καὶ νῦν μὲν ἐπὶ τὰ πλάγια φερόμενον, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ μεταστρεφόμενον, ἰδεῖν ἐναργῶς τὸ ὑποκείμενον οὐχ οἷόν τε, ἀλλὰ χρὴ προσερεισθῆναι τὴν ὄψιν τῷ ὁρατῷ, εἰ μέλλοι ἐναργῆ ποιεῖσθαι τὴν θέαν, οὕτω καὶ νοῦν ἀνθρώπων ὑπὸ μυρίων κατὰ κόσμον μερίδων περιελκόμενον, ἀμήχανον ἐναργῶς ἐνατενίσαι τῇ ἀληθείᾳ.* (*Βασιλ. Ἐπιστ. α'.*)

*Ναῦται μὲν καὶ κυβερνῆται πάντα ποιοῦσιν, ὅπως τὸ πέλαγος διαδράμοιεν, καὶ πρὸς λιμένα καταντήσειεν, ἡμεῖς δὲ πελάγιοι, σαλεύειν φιλονεικοῦμεν ἐν ταῖς τῶν βιωτικῶν πραγμάτων τρικυμίαις συνεχῶς, ἐν ταῖς ἀγοραῖς, καὶ ἐν τοῖς δικαστηρίοις στρεφόμενοι.* (*Χρυσοστόμου.*)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΛΟΓΟΣ

Εἰς τὴν σύνταξιν τῶν δύο τόμων τοῦ παρόντος συγγράμματος ἔσχομεν ὑπ' ὄψει καί τινα ἔργα τοῦ αὐτοῦ εἴδους ὡς τὸ Ἱερογραφικὸν Ἀπάνθισμα τοῦ Νεοφύτου Μεταξᾶ, τὴν Μέλισσαν, τὸν Ὀψιμαθῆ, τὸ τοῦ Ἀναστασίου Κεφαλᾶ καὶ ἄλλα τινά. Πρὸς τούτοις καὶ τὸ χειρόγραφον σύγγραμμα «Κυψέλη» τῆς λογιωτάτης κυρίας Πηνελόπης Γιαλλούρη, ἥτις λίαν εὐγενῶς ἐπέτρεψεν, ὅπως ἐπωφελῆθῶμεν αὐτὸ διὸ καὶ εὐχαριστοῦμεν αὐτῇ.

ΠΕΝΤΑΠΟΛΕΩΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΚΕΦΑΛΑΙΩΝ ΚΑΤ' ΑΥΞΟΝΤΑ ΑΡΙΘΜΟΝ


| *Κεφάλ.* | | *Σελίς* |
|---|---|---|
| Α'. | Περὶ Θεοῦ . . . . . | 1—39 |
| § 1. | Περὶ τοῦ ὅτι ἀπὸ Θεοῦ δέον ἄρχεσθαι . . | 1 |
| 2. | Περὶ Θεοῦ ὑπάρξεως . . . . . | » |
| 3. | Περὶ τοῦ τί ἐστι Θεός, καὶ πῶς χρὴ νοεῖν αὐτὸν | 4 |
| 4. | Περὶ Θεοῦ ὅτι εἷς, κἂν πολλὰς ἔχῃ τὰς προσηγορίας | 6 |
| 5. | Περὶ παντοδυναμίας τοῦ θείου . . . . | 7 |
| 6. | Περὶ Θεοῦ καὶ τῶν θείων αὐτοῦ ἰδιοτήτων . . | » |
| 7. | Περὶ Θεοῦ ὅτι ἐστὶ δίκαιος . . . . | 8 |
| 8. | Περὶ Θεοῦ καὶ τῆς παγγνωσίας αὐτοῦ . . | 9 |
| 9. | Περὶ τοῦ ὅτι τὸ θεῖον ἀναλλοίωτον . . . | 10 |
| 10. | Περὶ τοῦ ἀποκαλυφθέντος Θεοῦ . . . . | 11 |
| 11. | Περὶ αὐταρκείας τοῦ θείου καὶ ὅτι τὸ θεῖον ἀνενδεές . . . . . | 12 |
| 12. | Περὶ τοῦ ὅτι χρὴ σέβειν τὸ θεῖον . . . | 13 |
| 13. | Περὶ Θεοῦ ὅτι ἀντιλήπτωρ . . . . | » |
| 14. | Περὶ τοῦ Θεοῦ ὅτι ἀγαθὸς καὶ ὅτι οὐδένα πειράζει. | 15 |
| 15. | Περὶ ἐλέους Θεοῦ . . . . . | » |
| 16. | Περὶ φόβου Θεοῦ . . . . . | 16 |
| 17. | Περὶ θείας προνοίας . . . . . | » |
| 17. | Περὶ τοῦ ὅτι ὑπὸ θείου νοῦ τὰ πάντα ἔκτισται καὶ διακυβερνᾶται . . . . . | 26 |
| 18. | Περὶ τελειότητος τοῦ Θεοῦ . . . . . | 29 |
| 19. | Περὶ θείων μυστηρίων . . . . . | 29 |
| 20. | Περὶ τοῦ ὅτι ὁ Θεὸς δίδωσι τὰ ἀγαθά . . | 30 |
| 21. | Περὶ θείας μακροθυμίας . . . . . | 30 |
| 22. | Περὶ τοῦ ὅτι ἄνευ αἰτίας Θεοῦ οὐδέν ἐστι περαινόμενον . . . . . | 31 |
| 23 | Περὶ σπουδῆς πρὸς τὸν Θεὸν καὶ ἑνώσεως μετ' αὐτοῦ . . . . . | 32 |
| 24 | Περὶ τῆς ἀξίας τῆς εὐσεβείας . . . . | 33 |
| 25. | Περὶ θείων τοῖς ἀνθρώποις ἀποκαλύψεων . . | 34 |
| 26. | Περὶ συνειδήσεως ὡς ἀγράφου τοῦ Θεοῦ νόμου παρὰ πᾶσιν ἀνθρώποις . . . . . | 38 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελίς |
|---|---|---|
| Β'. | Περὶ ψυχῆς. . . . . | 40—51 |
| §. | Καὶ ὅτι περὶ αὐτῆς μᾶλλον ἢ περὶ τοῦ σώματος δεῖ φροντίζειν . . . . . | 40 |
| § 2 | Περὶ τῆς ψυχῆς ὅτι ἀθάνατος . . . . | 50 |
| §. | Ἡρακλείτου περὶ ψυχῆς . . . . . | 51 |
| Γ'. | Περὶ Ἀγγέλων . . . . . | 51 |
| § 1. | Περὶ τῶν ἐννέα ταγμάτων τῆς οὐρανίου ἱεραρχίας . . . . . | 52 |
| Δ'. | Περὶ διαβόλου καὶ δαιμόνων . . . . | 53 |
| Ε'. | Περὶ ἀνθρώπου . . . . . | 56 |
| § 1. | Ὅτι ἐπλάσθη καθ' ὁμοίωσιν Θεοῦ . . . | 56 |
| ΣΤ'. | Περὶ ζωῆς καὶ θανάτου . . . . . | 57 |
| Ζ'. | Περὶ αὐτοχειρίας . . . . . | 62 |
| Η'. | Περὶ μελλούσης ζωῆς καὶ ὑπακοῆς εἰς τὰ θεῖα προστάγματα . . . . . | 64 |
| Θ'. | Περὶ τοῦ κόσμου . . . . . | 66 |
| Ι'. | Περὶ ἐπισκόπων καὶ ἱερέων . . . . | 67—85 |
| § 1. | Περὶ τοῦ τρόπου καθ' ὃν δέον ἐστὶ προχειρίζεσθαι τοὺς πνευματικοὺς ποιμένας . . . | 67 |
| § 2 | Περὶ τοῦ μὴ διαλαλεῖν τὰ ἁμαρτήματα τῶν ἱερωμένων . . . . . | 69 |
| 3. | Περὶ τοῦ ὅτι βαθμηδόν, καὶ ἐκ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα προβαίνειν δεῖ . . . . | 69 |
| 4. | Περὶ τῶν εἰσπηδώντων τῷ ἱερῷ βήματι . . | 70 |
| 5. | Περὶ τοῦ μὴ ὑπείκειν ταῖς τῶν φίλων προτροπαῖς | 71 |
| 6. | Περὶ τοῦ πείθεσθαι τοῖς ἐπισκόποις καὶ ὑπείκειν αὐτοῖς . . . . . | 72 |
| 7. | Περὶ πνευματικῶν ποιμένων . . . . | 73 |
| 8. | Περὶ τοῦ ὅτι τὸν Πνευματικὸν ποιμένα δέον ἐστὶν εἶναι διδακτόν . . . . . | 74 |
| 9. | Περὶ τοῦ πλούτου τῶν ἱερωμένων . . . | 76 |
| 10. | Περὶ εὐλαβείας πρὸς τοὺς ἱερεῖς . . . | 77 |
| 11. | Περὶ τοῦ ὅτι ὁ πνευματικὸς ποιμὴν ὀφείλει τὸν βίον πρὸς τὸ ἀξίωμα ἁρμόττειν . . . | 78 |
| 12. | Περὶ τοῦ προσέχειν ἑαυτῷ τὸν πνευματικὸν ποιμένα . . . . . | 79 |
| 13. | Περὶ τοῦ ὅτι χρὴ ἐμμένειν ἐν τῇ τοῦ ποιμνίου θεραπείᾳ . . . . . | 80 |
| 14. | Περὶ εὐτραπέλου . . . . . | 82 |


Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελὶς |
|---|---|---|
| 15. | Περὶ σεμνοπρεπείας, ἤτοι ἱεροπρεπείας . . | 82 |
| ΙΑ'. | Περὶ ἐνδυμασίας τοῦ ἱερέως . . . . . | 85 |
| ΙΒ'. | Περὶ πολυτελείας . . . . . | 86 |
| ΙΓ'. | Περὶ εὐσεβείας καὶ θεοσεβείας . . . . | 88 |
| ΙΔ'. | Περὶ εὐσεβείας, ἀσεβείας καὶ δεισιδαιμονίας . | 90 |
| ΙΕ'. | Περὶ θρησκείας καὶ ἠθικῆς . . . . . | 93 |
| ΙΣΤ'. | Περὶ εὐχῆς καὶ εὐλογίας . . . . . | 94 |
| ΙΖ'. | Περὶ λατρείας . . . . . | 95 |
| ΙΗ'. | Περὶ θυσιῶν . . . . . | 96 |
| ΙΘ'. | Περὶ μεταλήψεως τῶν θείων δώρων . . . | 97 |
| Κ'. | Περὶ ἀγάπης . . . . . | 98 |
| ΚΑ'. | Περὶ φιλίας . . . . . | 98 |
| ΚΒ'. | Περὶ φιλίας καὶ φίλων χρηστῶν . . . | 105 |
| ΚΓ'. | Περὶ φίλων μοχθηρῶν . . . . . | 107 |
| ΚΔ'. | Περὶ κολακείας . . . . . | 110 |
| ΚΕ'. | Περὶ ἐχθρῶν . . . . . | 114 |
| ΚΣΤ'. | Περὶ ἔρωτος . . . . . | 116 |
| | Περὶ θείου ἔρωτος . . . . . | 119 |
| ΚΖ'. | Περὶ πεφωτισμένης συνειδήσεως . . . . | 119 |
| ΚΗ'. | Περὶ εὐπιστίας, δυσπιστίας καὶ ἀπιστίας . . | 120 |
| ΚΘ'. | Χρησμὸς καὶ προφητεῖαι περὶ Χριστοῦ . . | 122 |
| Λ'. | Περὶ προφητῶν καὶ διδασκάλων θεοπνεύστων . | 123 |
| ΛΑ'. | Περὶ διανοίας καθαρᾶς . . . . . | 124 |
| ΛΒ'. | Περὶ εὐποιΐας . . . . . | 126 |
| ΛΓ'. | Περὶ ἀναγνώσεως βιβλίων ὠφελίμων . . . | 127 |
| ΛΔ'. | Περὶ ἐπιστήμης . . . . . | 128 |
| ΛΕ'. | Περὶ τῆς ἀληθοῦς καὶ ψευδοῦς ἐπιστήμης . . | 129 |
| ΛΣ'. | Περὶ σοφῶν καὶ σοφίας . . . . . | 129 |
| ΛΖ'. | Περὶ παιδείας, φιλομαθείας καὶ ἀμαθείας . . | 135 |
| | Περὶ τοῦ γνῶθι σαυτόν . . . . . | 140 |
| ΛΗ'. | Περὶ συμβουλῆς καὶ εἰσηγήσεως πονηρᾶς . . | 140 |
| ΛΘ'. | Περὶ συμβουλευομένων . . . . . | 141 |
| Μ'. | Περὶ παίδων, ὅτι χρὴ τοὺς γονεῖς τιμᾶν, τοὺς δὲ γονεῖς ἐκτρέφειν τοὺς παῖδας ἐπιμελῶς . . | 142 |
| ΜΑ'. | Περὶ διδασκαλίας καὶ διδασκάλων . . . | 144 |
| ΜΒ'. | Περὶ πράξεως καὶ θεωρίας . . . . . | 148 |
| ΜΓ'. | Περὶ τῶν μὴ δεχομένων συμβουλήν . . . | 149 |
| ΜΔ'. | Περὶ βουλῆς, ὅτι χρὴ μετὰ βουλῆς καὶ σκέψεως πάντα πράττειν . . . . . | 150 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελίς |
|---|---|---|
| ΜΕ'. | Περὶ συμβούλου . . . . . | 151 |
| | Περὶ ἀρετῆς . . . . . | 152 |
| ΜΣΤ'. | Περὶ παίδων ἀγωγῆς . . . . . | 156 |
| ΜΖ'. | Περὶ γερόντων καὶ ὡς χρὴ τιμᾶσθαι αὐτούς . | 169 |
| ΜΗ'. | Περὶ συνδιαγωγῆς μετὰ κακῶν ἀνδρῶν . . | 172 |
| ΜΘ'. | Περὶ συνδιαγωγῆς μετὰ χρηστῶν ἀνδρῶν . . | 173 |
| Ν'. | Περὶ πεπαιδευμένων καὶ τελείων ἀνδρῶν . . | 175 |
| ΝΑ'. | Περὶ ἀγαθοῦ καὶ ἀγαθοποιΐας . . . . | 176 |
| ΝΒ'. | Περὶ ἀληθείας . . . . . | 177 |
| ΝΓ'. | Περὶ ἐπιεικείας . . . . . | 178 |
| ΝΔ'. | Περὶ ταπεινοφροσύνης . . . . . | 178 |
| ΝΕ'. | Περὶ αὐταπαρνήσεως . . . . . | 180 |
| | Περὶ συνειδήσεως . . . . . | 181 |
| ΝΣΤ'. | Περὶ πλούτου καὶ ἀγαθότητος . . . . | 181 |
| ΝΖ'. | Περὶ σωφροσύνης καὶ ἀκολασίας . . . | 181 |
| ΝΗ'. | Περὶ μετριοφροσύνης . . . . . | 183 |
| ΝΘ'. | Περὶ αἰδοῦς . . . . . | 184 |
| Ξ. | Περὶ πραότητος . . . . . | 184 |
| | Περὶ μακροθυμίας ἀνθρώπων . . . . | 186 |
| ΞΑ'. | Περὶ φιλοτιμίας . . . . . | 186 |
| ΞΒ'. | Περὶ φήμης. Ἤτοι ὀνόματος χρηστοῦ καὶ πονηροῦ | 187 |
| ΞΓ'. | Περὶ πνευματικῶν καὶ ἐπιγινωσκόντων τὸν Θεόν. | 188 |
| ΞΔ'. | Περὶ συμπεριφορᾶς . . . . . | 189 |
| ΞΕ'. | Περὶ αὐταρκείας . . . . . | 191 |
| ΞΣΤ'. | Περὶ ἁγνείας . . . . . | 192 |
| ΞΖ'. | Περὶ ἐλευθερίας καὶ δουλείας . . . . | 193 |
| ΞΗ'. | Περὶ ἀφοβίας . . . . . | 193 |
| ΞΘ'. | Περὶ τόλμης καὶ θάρσους . . . . . | 194 |
| Ο'. | Περὶ ἀνδρείας, δειλίας καὶ φόβου . . . | 194 |
| ΟΑ'. | Περὶ φιλαδελφείας καὶ μισαδελφείας . . . | 197 |
| ΟΒ'. | Περὶ πένθους καὶ δακρύων . . . . . | 198 |
| ΟΓ'. | Περὶ ἀγνωμοσύνης . . . . . | 199 |
| ΟΔ'. | Περὶ χάριτος καὶ ἀχαριστίας . . . . | 200 |
| ΟΕ'. | Περὶ ἀχαριστίας . . . . . | 200 |
| ΟΣΤ'. | Περὶ ἀγνωμόνων καὶ ἀχαρίστων . . . | 201 |
| | Περὶ προκοπῆς πνευματικῆς . . . . . | 203 |
| ΟΖ'. | Περὶ μίσους . . . . . | 203 |
| ΟΗ'. | Περὶ ζήλου καὶ φθόνου καὶ βασκανίας. . . | 203 |
| ΟΘ'. | Περὶ φθόνου. . . . . | 206 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελίς |
|---|---|---|
| Π'. | Περὶ βασκανίας καὶ φθόνου . . . . | 209 |
| ΠΑ'. | Περὶ ἐπιμονῆς καὶ σταθερότητος . . . | 213 |
| ΠΒ'. | Περὶ καρτερίας . . . . . | 214 |
| | Περὶ δόξης . . . . . | 214 |
| ΠΓ'. | Περὶ κόπου καὶ ἐπιμελείας . . . . | 215 |
| ΠΔ'. | Περὶ λοιδορίας . . . . . | 216 |
| ΠΕ'. | Περὶ ὀνειδισμῶν, ὅτι οὐ δεῖ ὀνειδίζειν . . | 216 |
| ΠΣΤ'. | Περὶ ὀνειδισμῶν καὶ λοιδοριῶν . . . | 217 |
| ΠΖ'. | Περὶ λόγων καὶ ὁμιλίας . . . . | 218 |
| ΠΗ'. | Περὶ σιγῆς καὶ πολυλογίας . . . . | 219 |
| ΠΘ'. | Περὶ φυλακῆς τοῦ στόματος . . . . | 220 |
| Ρ'. | Περὶ ἀκρατείας γλώσσης . . . . | 222 |
| ΡΑ'. | Περὶ ἐγκρατείας γλώσσης . . . . | 223 |
| ΡΒ'. | Περὶ γλώσσης κακῆς καὶ ἀνθρώπου γλωσσώδους . | 225 |
| ΡΓ'. | Περὶ διγλώσσου . . . . . | 226 |
| ΡΔ'. | Περὶ διψύχων καὶ παλιμβούλων . . . | 227 |
| ΡΕ'. | Περὶ ἀργολογίας καὶ γλωσσαλγίας . . . | 228 |
| ΡΣΤ'. | Περὶ αἰσχρολογίας . . . . . | 230 |
| ΡΖ'. | Περὶ φιλονεικίας καὶ ἀντιλογίας . . . | 232 |
| | Περὶ περιαυτολογίας . . . . . | 233 |
| ΡΗ'. | Περὶ ὑπομονῆς καὶ ἡσυχίας . . . . | 233 |
| ΡΘ'. | Περὶ ἀκτημοσύνης καὶ ὀλιγαρκείας . . . | 237 |
| ΡΙ'. | Περὶ πειθαρχίας . . . . . | 239 |
| ΡΙΑ'. | Περὶ ἐπιμελείας καὶ ἀμελείας . . . . | 240 |
| ΡΙΒ'. | Περὶ προσοχῆς καὶ ἀπροσεξίας . . . | 240 |
| ΡΙΓ'. | Περὶ ταξεως καὶ ἀταξίας . . . . | 241 |
| ΡΙΔ'. | Περὶ εὐδαιμονίας καὶ μακαριότητος . . . | 243 |
| | Περὶ εὐτυχίας καὶ δυστυχίας . . . . | 247 |
| ΡΙΕ'. | Περὶ ὕβρεως καὶ ὑβριστοῦ . . . . | 250 |
| ΡΙΣΤ'. | Περὶ συκοφαντίας καὶ ψεύδους . . . . | 251 |
| | Περὶ τοῦ ψεύδους, ὅτι ἐκ τοῦ Διαβόλου ἐστί . . | 252 |
| ΡΙΖ'. | Περὶ ἀπάτης . . . . . | 255 |
| ΡΙΗ' | Περὶ τοῦ ὅτι δεῖ συμφωνεῖν τὰ ἔργα τοῖς λόγοις . | 255 |
| ΡΙΘ'. | Περὶ λόγου καὶ τῆς ἐξ αὐτοῦ ὠφελείας . . | 257 |
| ΡΚ'. | Περὶ πονηρίας . . . . . | 258 |
| ΡΚΑ'. | Περὶ ψόγου καὶ διαβολῆς . . . . | 260 |
| ΡΚΒ'. | Περὶ καταλαλιᾶς . . . . . | 265 |
| ΡΚΓ'. | Περὶ κατακρίσεως . . . . . | 267 |
| ΡΚΔ'. | Περὶ ἐπιβουλῆς . . . . . | 269 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελὶς |
|---|---|---|
| ΡΚΕ'. | Περὶ δόλου . . . . . | 270 |
| ΡΚΣΤ'. | Περὶ φιλοπονίας, ὀκνηρίας καὶ ἀργίας . . . | 271 |
| ΡΚΖ'. | Περὶ συγγνώμης, τιμωρίας, ἀμνησικακίας καὶ ἐκδικήσεως . . . . . | 278 |
| ΡΚΗ'. | Περὶ ἐπάρσεως, μεγαλαυχίας καὶ οἰήσεως . . | 280 |
| ΡΚΘ'. | Περὶ ἀλαζονείας . . . . . | 281 |
| ΡΛ'. | Περὶ μεγαλοπρεπείας . . . . . | 281 |
| ΡΛΑ'. | Περὶ ματαιότητος . . . . . | 281 |
| ΡΛΒ'. | Περὶ φιλαυτίας καὶ φιλοδοξίας . . . . | 282 |
| ΡΛΓ'. | Περὶ καταφρονήσεως . . . . . | 283 |
| ΡΛΔ'. | Περὶ πολυπραγμοσύνης . . . . . | 283 |
| ΡΛΕ'. | Περὶ φιλαργυρίας καὶ πλεονεξίας . . . . | 285 |
| ΡΛΣΤ'. | Περὶ ἰσχυρογνωμοσύνης καὶ ὑπεροψίας . . . | 285 |
| ΡΛΖ'. | Περὶ θυμοῦ καὶ ἔριδος . . . . . | 286 |
| ΡΛΗ'. | Περὶ παθῶν καὶ παθημάτων . . . . . | 287 |
| ΡΛΘ'. | Περὶ σκωμμάτων . . . . . | 288 |
| ΡΜ'. | Περὶ σφαλμάτων . . . . . | 288 |
| ΡΜΑ'. | Περὶ ἐμφύτων ροπῶν, ἤτοι ἐλαττωμάτων καὶ προτερημάτων . . . . . | 288 |
| ΡΜΒ'. | Περὶ προσωποληψίας . . . . . | 289 |
| ΡΜΓ'. | Περὶ πατρίδος . . . . . | 290 |
| ΡΜΔ'. | Περὶ δικαστῶν . . . . . | 292 |
| ΡΜΕ'. | Περὶ νόμου . . . . . | 295 |
| ΡΜϚ'. | Περὶ εὐνομίας καὶ δυσνομίας . . . . . | 300 |
| ΣΜΖ'. | Περὶ ἀνόμων καὶ παρανόμων . . . . . | 300 |
| ΡΜΗ'. | Περὶ ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, ἢ περὶ παραβάσεως νόμου . . . . . | 302 |
| ΡΜΘ'. | Περὶ ἑκουσίων καὶ ἀκουσίων ἀγαθοεργιῶν . . | 303 |
| ΡΝ'. | Περὶ ἠθικῆς ἐλευθερίας . . . . . | 304 |
| ΡΝΑ'. | Περὶ αὐτεξουσιότητος . . . . . | 306 |
| ΡΝΒ'. | Περὶ λογικοῦ καὶ λογισμοῦ . . . . . | 309 |
| ΡΝΓ'. | Περὶ διεφθαρμένων καὶ ἀπίστων . . . . | 310 |
| ΡΝΔ'. | Περὶ εἰδωλολατρῶν . . . . . | 311 |
| ΡΝΕ'. | Περὶ τοῦ ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονικεῖν | 311 |
| ΡΝϚ'. | Περὶ δανείου καὶ τόκου . . . . . | 312 |
| ΡΝΖ'. | Περὶ τῆς διαγνώσεως τοῦ καλοῦ καὶ πονηροῦ ἀνθρ. | 314 |
| ΡΝΗ'. | Περὶ γέλωτος καὶ γελοιαστῶν . . . . | 315 |
| ΡΝΘ'. | Περὶ φιληδονίας . . . . . | 316 |
| | Περὶ ἡδονῶν . . . . . | 318 |
| ΡΞ'. | Περὶ οἴνου . . . . . | 319 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελὶς |
|---|---|---|
| ΡΞΑ′. | Περὶ μέθης . . . . . | 320 |
| ΡΞΒ′. | Περὶ θεάτρων . . . . . | 323 |
| | Περὶ χορῶν, καὶ μουσικῶν ὀργάνων . . . | » |
| ΡΞΓ′. | Περὶ ἀσώτων . . . . . | 324 |
| ΡΞΔ′. | Περὶ ὕπνου καὶ ἐνυπνίων . . . . . | » |
| ΡΞΕ′. | Περὶ χρημάτων . . . . . | 325 |
| | Περὶ κέρδους, ζημίας καὶ αἰσχροκερδείας . . | 327 |
| ΡΞϚ′. | Περὶ κάλλους . . . . . | 328 |
| ΡΞΖ′. | Περὶ καλλωπισμοῦ . . . . . | 330 |
| ΡΞΗ′. | Περὶ εὐκαιρίας καὶ ἀκαιρίας . . . . | 334 |
| ΡΞΘ′. | Περὶ τραπέζης λιτῆς καὶ εὐτελοῦς . . . | 335 |
| ΡΟ′. | Περὶ πόλεως ἀσεβείας πεπληρωμένης . . . | 336 |
| ΡΟΑ′. | Περὶ δούλων πονηρῶν . . . . . | 338 |
| ΡΟΒ′. | Περὶ δούλων χρηστῶν . . . . . | » |
| ΡΟΓ′. | Περὶ δούλων καὶ οἰκετῶν . . . . . | 339 |
| ΡΟΔ′. | Περὶ μισθωτῶν . . . . . | 341 |
| ΡΟΕ′. | Περὶ τοῦ τί ἐστιν ἄριστον . . . . . | » |
| ΡΟϚ′. | Περὶ τοῦ ὅτι βέλτιον τὰς διαφορὰς φιλικῶς καὶ εἰρηνικῶς λύειν ἢ ἐνδίκως . . . . . | 343 |
| ΡΟΖ′. | Περὶ δώρων . . . . . | » |
| ΡΟΗ′. | Περὶ τοῦ ὅτι πᾶν τὸ οἰκεῖον ὑποτιμῶμεν ὑπερτιμῶντες τὰ ἀλλότρια . . . . . | 344 |
| ΡΟΘ′. | Περὶ γεωργίας . . . . . | » |
| ΡΠ′. | Περὶ καιροῦ . . . . . | 345 |
| ΡΠΑ′. | Περὶ χρόνου . . . . . | 346 |
| ΡΠΒ′. | Περὶ ὑγείας καὶ νόσου . . . . . | 347 |
| ΡΠΓ. | Περὶ τέχνης . . . . . | 349 |
| ΡΠΔ′. | Περὶ τοῦ πολιτεύεσθαι . . . . . | 350 |
| ΡΠΕ′. | Περὶ γάμου . . . . . | 352 |
| ΡΠϚ′. | Περὶ μαγείας καὶ μαντείας . . . . | 356 |
| ΡΠΖ′. | Περὶ τύχης καὶ εἱμαρμένης . . . . | 357 |
| ΡΠΗ′. | Περὶ τοῦ ὅτι νόσος ὕπουλος ἐστι τῇ ψυχῇ ἡ ἁμαρτία | 359 |
| ΡΠΘ′. | Περὶ ἁμαρτίας . . . . . | 360 |
| ΡϟΑ′. | Περὶ ἀφέσεως ἁμαρτιῶν . . . . . | 361 |
| ΡϟΑ′. | Περὶ μεταλείας . . . . . | 362 |
| ΡϟΒ′. | Περὶ σπουδῆς πρὸς μετάνοιαν . . . . | 363 |
| ΡϟΓ′. | Περὶ κακῶν, φαύλων . . . . . | » |
| ΡϟΔ′ | Περὶ συνηθείας καὶ ἔθους . . . . . | » |
| ΡϟΕ′. | Περὶ πατραγαθίας . . . . . | 365 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελίς |
|---|---|---|
| ΡϟΕ'. | Περὶ οἰκονομίας . . . . . | 366 |
| ΡϟϚ'. | Περὶ τῆς ἰσχύος τοῦ παραδείγματος . . | 367 |
| ΡϟΖ'. | Περὶ παρακοῆς . . . . . | 368 |
| ΡϟΗ'. | Περὶ μεσότητος καὶ ὅτι ἐν τῇ μεσότητι ἡ ἀρετὴ | » |
| ΡϟΘ'. | Περὶ συμμέτρου καὶ μεσότητος . . . . | 369 |
| Σ'. | Περὶ καθήκοντος . . . . . | 370 |
| ΣΑ'. | Περὶ ἀπορρήτων . . . . . | 371 |
| ΣΒ'. | Περὶ ἀφρόνων . . . . . | 372 |
| ΣΓ'. | Περὶ πενίας . . . . . | 373 |
| ΣΔ'. | Περὶ πτωχῶν καὶ περὶ ἐλεημοσύνης . . . | 374 |
| ΣΕ'. | Περὶ εὐθηνίας καὶ εὐπορίας . . . . | 377 |
| ΣϚ'. | Περὶ μεμψιμοιρίας . . . . . | 378 |
| ΣΖ'. | Περὶ πολέμου καὶ φιλοπολέμων . . . . | 379 |
| ΣΗ'. | Περὶ πειρασμῶν καὶ πειραζομένων . . . | 380 |
| ΣΘ'. | Περὶ σκανδάλων . . . . . | 381 |
| ΣΙ'. | Περὶ αὐτοκτονίας . . . . . | 382 |
| ΣΙΑ'. | Περὶ δοκιμῆς καὶ διακρίσεως ὀρθοδόξου ἀπὸ κακοδόξου . . . . . | 384 |
| ΣΙΒ'. | Περὶ αἱρέσεων, αἱρετικοῦ, ἀσεβοῦς καὶ παρανόμου . | 384 |
| ΣΙΓ' | Περὶ γενείου κουρᾶς . . . . . | 385 |
| ΣΙΔ'. | Περὶ ἀδυνάτων πραγμάτων . . . . . | 385 |
| ΣΙΕ'. | Περὶ ὁμοιότητος καὶ ἀνομοιότητος . . . | 386 |
| ΣΙϚ'. | Περὶ ἰσότητος καὶ ἀνισότητος . . . . | 386 |
| ΣΙΖ'. | Περὶ τοῦ πληρώματος τῆς ἐκκλησίας . . . | 387 |
| ΣΙΗ'. | Περὶ τοῦ ἁγίου χρίσματος . . . . . | 387 |
| ΣΙΘ'. | Περὶ ὑμνῳδίας . . . . . | 387 |
| ΣΚ'. | Περὶ ἀμούσων . . . . . | 388 |
| ΣΚΑ'. | Περὶ ὁμονοίας . . . . . | 388 |
| | Περὶ ὅρκου . . . . . | 389 |
| ΣΚΒ'. | Περὶ ψευδορκίας . . . . . | 389 |
| ΣΚΓ'. | Περὶ ἁγνείας καὶ μετανοίας . . . . | 390 |
| ΣΚΔ'. | Περὶ ἑορτῶν . . . . . | 391 |
| ΣΚΕ'. | Περὶ λογομαχούντων περὶ τὴν πίστιν . . | 392 |
| ΣΚϚ'. | Περὶ τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων . . | 393 |
| ΣΚΖ'. | Περὶ ἀτέκνων . . . . . | 395 |
| ΣΚΗ'. | Περὶ θυγατέρων . . . . . | 396 |
| ΣΚΘ'. | Περὶ τῆς εὐθηνείας τῶν ἁμαρτωλῶν καὶ τῆς δυστυχίας τῶν δικαίων . . . . . | 396 |
| ΣΛ'. | Περὶ δείπνου καὶ συνεστιάσεως . . . . | 397 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| Κεφάλ. | | Σελὶς |
|---|---|---|
| ΣΛΑ'. | Περὶ τιτθῶν καὶ μητέρων | 398 |
| ΣΛΒ'. | Περὶ ἀλληλοϋμνουμένων | 398 |
| ΣΛΓ'. | Περὶ γειτόνων | 398 |
| ΣΛΔ'. | Περὶ ἔργων | 399 |
| ΣΛΕ'. | Περὶ θρήνου | 399 |
| ΣΛϚ'. | Περὶ τοῦ τόπου τῆς ἀναπαύσεως | 399 |
| ΣΛΖ'. | Περὶ τῶν πρὸ χριστοῦ φιλοσοφησάντων | 399 |
| ΣΛΗ'. | Περὶ νίκης | 400 |
| ΣΛΘ'. | Περὶ ἀγροίκων | 400 |
| ΣΜ'. | Περὶ συγγενῶν | » |
| ΣΜΑ'. | Περὶ ἀγγελίας ἀγαθῆς | » |
| ΣΜΒ'. | Περὶ κριτῶν βιβλίων | » |
| ΣΜΓ'. | Περὶ σκέψεως | » |
| ΣΜΔ'. | Περὶ εὐνοίας | 401 |
| ΣΜΕ'. | Περὶ αἰσθήσεων | » |
| ΣΜϚ'. | Περὶ νοὸς | » |
| ΣΜΖ'. | Περὶ ἀγχινοίας | » |
| ΣΜΗ'. | Περὶ ἐλευθεριότητος | » |
| ΣΜΘ'. | Περὶ ἀδήλων | » |
| ΣΝ'. | Περὶ αὐταπάτης | 402 |
| ΣΝΑ'. | Περὶ βελτίστων | » |
| ΣΝΒ'. | Περὶ κατασκόπων | » |
| ΣΝΓ'. | Περὶ διακρίσεως τῶν ἀγαθῶν ἀπὸ τῶν κακῶν | » |
| ΣΝΔ'. | Περὶ κηδεμόνων | » |
| ΣΝΕ'. | Περὶ ἀφομοιώσεως | » |
| ΣΝϚ'. | Περὶ παραδόξων | » |
| ΣΝΖ'. | Περὶ χρείας | » |
| ΣΝΗ'. | Περὶ βίας | 403 |
| ΣΝΘ'. | Περὶ μοναρχίας | » |
| ΣΣ'. | Περὶ συνοχῆς πραγμάτων καὶ περισπασμοῦ | » |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΛΦΑΒΗΤΙΚΟΣ ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΘΕΜΑΤΩΝ

### Α'.


| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Ἀγαθοῦ καὶ ἀγαθοποιΐας (ἴδε Τόμ. Α'. νϐ'.) | νά. | 181 |
| Περὶ ἀγαθότητος καὶ πλούτου | νς' | 176 |
| Ἀγαθῶν διακρίσεως ἀπὸ τῶν κακῶν | σνγ'. | 402 |
| Ἀγάπης (ἴδε Τόμ. Α'. η'.) | κ'. | 98 |
| Ἀγγελίας ἀγαθῆς | σμά. | 400 |
| Ἀγγέλων καὶ τῶν 9 ταγμάτων τῆς οὐρανίου ἱεραρχίας | γ'. | 51 |
| Ἁγίου χρίσματος | σιη'. | 387 |
| Ἁγίων εἰκόνων προσκυνήσεως | σκς'. | 392 |
| Ἁγνείας καὶ μετανοίας (ἴδε τόμ. Α'. ρκε'.) | σκγ'. | 390 |
| Ἀγνοίας | ξς'. | 192 |
| Ἀγνωμόνων καὶ ἀχαρίστων | ος'. | 201 |
| Ἀγνωμοσύνης | ογ'. | 199 |
| Ἀγροίκων | σλθ'. | 400 |
| Ἀγχινοίας | σμζ'. | 401 |
| Ἀδήλων | σμθ'. | 401 |
| Ἀδυνάτων πραγμάτων | σιδ'. | 385 |
| Ἀιδοῦς | νθ'. | 184 |
| Αἱρέσεων, αἱρετικοῦ, ἀσεβοῦς καὶ παρανόμου | σιϐ'. | 384 |
| Αἰσθήσεων | σμε'. | 401 |
| Αἰσχροκερδείας, κέρδους καὶ ζημίας | ρξε'. | 327 |
| Αἰσχρολογίας | ρς'. | 230 |
| Ἀκαιρίας καὶ εὐκαιρίας | ρξη'. | 334 |
| Ἀκολασίας καὶ σωφροσύνης | νζ'. | 181 |
| Ἀκουσίων καὶ ἑκουσίων ἀγαθοεργιῶν | ρμθ'. | 303 |
| Ἀκουσίων καὶ ἑκουσίων ἁμαρτημάτων ἢ περὶ παραβάσεως νόμου | ρμη'. | 302 |
| Ἀκρατείας γλώσσης | ρ'. | 202 |
| Ἀκτημοσύνης καὶ ὀλιγαρκείας | ρθ'. | 237 |
| Ἀλαζονείας | ρκθ'. | 281 |
| Ἀλληλοϋμνουμένων | σλϐ'. | 398 |
| Ἀληθείας (ἴδε Τόμ. Α'. ρι'.) | νϐ'. | 177 |
| Περὶ ἀμαθείας, παιδείας καὶ φιλομαθείας | λζ'. | 135 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Ἁμαρτημάτων ἑκουσίων καὶ ἀκουσίων ἢ περὶ παραβάσεως νόμου | ρμη'. | 302 |
| Ἁμαρτίας (ἴδε Τόμ. Α'. κθ'. καὶ λδ'.) | ρπθ'. | 360 |
| Ἁμαρτίας, ὅτι νόσος ὕπουλος ἐστι τῇ ψυχῇ | ρπη'. | 359 |
| Ἁμαρτιῶν ἀφέσεως | ρϟ'. | 361 |
| Περὶ παραβάσεως νόμου | ρμη'. | 302 |
| Ἁμαρτωλῶν εὐθηνείας καὶ δικαίων δυστυχίας | σκθ'. | 396 |
| Ἀμελείας καὶ ἐπιμελείας | ρια'. | 240 |
| Ἀμνησικακίας, συγγνώμης, τιμωρίας καὶ ἐκδικήσεως (Τόμ. Α'. ν'.) | ρκζ'. | 278 |
| Ἀμούσων | σκ'. | 388 |
| Ἀναγνώσεως βιβλίων ὠφελίμων | λγ'. | 127 |
| Ἀναλλοιώτου τοῦ Θεοῦ | ά. § 9 | 10 |
| Ἀναπαύσεως τόπου | σλς'. | 399 |
| Ἀνδρείας, δειλίας καὶ φόβου (τόμ. Α'. ρλε'.) | ο'. | 194 |
| Ἀνθρώπου, καὶ ὅτι ἐπλάσθη καθ' ὁμοίωσιν Θεοῦ (τμ. Α'. ριζ'.) | ε'. § 1 | 56 |
| Ἀνισότητος καὶ ἰσότητος | σις'. | 386 |
| Ἀνομοιότητος καὶ ὁμοιότητος | σιέ. | » |
| Ἀνόμων καὶ παρανόμων | ρμζ'. | 300 |
| Ἀντιλογίας καὶ φιλονεικίας | ρζ'. | 232 |
| Ἀπάτης | ριζ'. | 255 |
| Ἀπιστίας, εὐπιστίας καὶ δυσπιστίας | κή. | 120 |
| Ἀπίστων καὶ διεφθαρμένων | ρνγ'. | 310 |
| Ἀποκαλυφθέντος Θεοῦ | ά. § 10 | 11 |
| Ἀπορρήτων | σά. | 317 |
| Ἀπροσεξίας καὶ προσοχῆς | ριϐ'. | 240 |
| Ἀργίας, φιλοπονίας καὶ ὀκνηρίας | ρκς'. | 271 |
| Ἀργολογίας καὶ γλωσσαλγίας | ρέ. | 228 |
| Ἀρετῆς | μέ. | 152 |
| Ἄριστον τί ἐστι | ροέ. | 341 |
| Ἄρχεσθαι ἀπὸ Θεοῦ | ά. § 1. | 1 |
| Ἀσεβείας, εὐσεβείας καὶ δεισιδαιμονίας | ιδ'. | 90 |
| Ἀσεβοῦς, αἱρετικοῦ, παρανόμου καὶ αἱρέσεων (Τόμ. Α'. ς'.) | σιϐ'. | 384 |
| Ἀσώτων | ρξγ'. | 324 |
| Ἀταξίας καὶ τάξεως | ριγ'. | 241 |
| Ἀτέκνων | σκζ'. | 395 |
| Αὐταπαρνήσεως | νέ. | 180 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελὶς |
|---|---|---|
| Αὐταπάτης | σν'. | 402 |
| Αὐταρκείας | ξέ. | 191 |
| Αὐταρκείας καὶ ἀνενδείας Θεοῦ | ά. § 11 | 12 |
| Αὐτεξουσιότητος | ρνά. | 306 |
| Αὐτοκτονίας (ἐμπεριέχεται ἐν τῷ περὶ αὐτοχειρίας κεφαλαίῳ) | σι'. | 382 |
| Αὐτοχειρίας ( | ζ'. | 57 |
| Ἀφοβίας | ξη'. | 193 |
| Ἀφομοιώσεως | σνέ. | 402 |
| Ἀφρόνων | σϐ'. | 372 |
| Ἀχαριστίας | οέ. | 200 |
| Ἀχαριστίας καὶ χάριτος | οϐ'. | » |
| Ἀχαρίστων καὶ ἀγνωμόνων | ος'. | 201 |
| **Β.** | | |
| Βασκανίας, ζήλου καὶ φθόνου | οη'. | 203 |
| Βασκανίας καὶ φθόνου | π'. | 209 |
| Βελτίστων | σνά. | 402 |
| Βίας | σνή. | 403 |
| Βιβλίων κριτῶν | σμϐ'. | 400 |
| Βιβλίων ὠφελίμων ἀναγνώσεως | λγ'. | 127 |
| Βουλῆς, ὅτι χρὴ μετὰ βουλῆς καὶ σκέψεως πάντα πράττειν (Τομ. Α'. με'.) | μϐ'. | 150 |
| **Γ.** | | |
| Γάμου (Τομ. Α'. ρνζ'. καὶ ρκή.) | ρπέ. | 352 |
| Γειτόνων | σλγ'. | 398 |
| Γέλωτος καὶ γελοιαστῶν | ρνή. | 315 |
| Γενείου κουρᾶς | σιγ'. | 385 |
| Γερόντων καὶ ὡς χρὴ τιμᾶσθαι αὐτοὺς | μζ'. | 169 |
| Γεωργίας | ροθ'. | 344 |
| Γλωσσαλγίας καὶ ἀργολογίας | ρέ. | 228 |
| Γλώσσης ἀκρατείας | ρ'. | 222 |
| Γλώσσης ἐγκρατείας | ρά. | 223 |
| Γλώσσης κακῆς καὶ ἀνθρώπου γλωσσώδους | ρϐ'. | 225 |
| Γνῶθι σαυτὸν (Τόμ. Α'. καὶ ) | λζ'. | 140 |
| Γονεῖς τιμᾶν χρὴ τοὺς παῖδας, τοὺς δὲ γονεῖς ἐκτρέφειν αὐτοὺς ἐπιμελῶς | μ'. | 142 |
| Δαιμόνων καὶ διαβόλου | δ'. | 53 |
| Δακρύων καὶ πένθους | οϐ'. | 198 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ | Σελίς |
|---|---|---|
| Δανείου καὶ τόκου . . . . . | ρνς'. | 312 |
| Δειλίας, ἀνδρείας καὶ φόβου . . . . . | ο'. | 194 |
| Δείπνου καὶ συνεστιάσεως . . . . . | σλ'. | 397 |
| Δεισιδαιμονίας, εὐσεβείας καὶ ἀσεβείας . . . | ιδ'. | 90 |
| Διαβολῆς καὶ ψόγου . . . . . | ρκα'. | 260 |
| Διαβόλου καὶ δαιμόνων . . . . . | δ'. | 53 |
| Διαγνώσεως τοῦ καλοῦ καὶ πονηροῦ ἀνθρώπου . | ρνζ'. | 314 |
| Διακρίσεως ἀγαθῶν ἀπὸ τῶν κακῶν . . . | σνγ'. | 402 |
| Διανοίας καθαρᾶς . . . . . | λα'. | 124 |
| Διαφορὰς βέλτιον φιλικῶς καὶ εἰρηνικῶς λύειν ἢ ἐνδίκως . . . . . | ρος'. | 343 |
| Διγλώσσου . . . . . | ργ'. | 226 |
| Διδασκάλων καὶ διδασκαλίας . . . . . | μα'. | 144 |
| Διδασκάλων θεοπνεύστων καὶ προφητῶν . . . | λ'. | 123 |
| Διεφθαρμένων καὶ ἀπίστων . . . . . | ρνγ'. | 310 |
| Δικαίων δυστυχίας καὶ εὐθηνίας ἁμαρτωλῶν . | σκθ'. | 396 |
| Δικαστῶν (Τόμ. Α'. ρμβ'.) . . . . . | ρμδ'. | 292 |
| Δισύχων καὶ παλιμβούλων . . . . . | ρδ'. | 227 |
| Δοκιμῆς καὶ διακρίσεως ὀρθοδόξου ἀπὸ κακοδόξου . | σια'. | 384 |
| Δόλου . . . . . | ρκέ. | 270 |
| Δόξης (Τόμ. Α'. π'.) . . . . . | πδ'. | 214 |
| Δουλείας καὶ ἐλευθερίας . . . . . | ξζ'. | 193 |
| Δούλων καὶ οἰκετῶν . . . . . | ρογ'. | 339 |
| Δούλων πονηρῶν . . . . . | ροα'. | 338 |
| Δούλων χρηστῶν . . . . . | ροβ'. | 338 |
| Δυσνομίας καὶ εὐνομίας . . . . . | ρμς'. | 300 |
| Δυσπιστίας, εὐπιστίας καὶ ἀπιστίας . . . | κη'. | 120 |
| Δυστυχίας καὶ εὐτυχίας (Τόμ. Α'. νγ'.) . . . | ριδ'. | 247 |
| Δώρων . . . . . | ροζ'. | 343 |


## Ε'.


| | | |
|---|---|---|
| Ἔθους καὶ συνηθείας . . . . . | ρλγ'. | 363 |
| Εἰδωλολατρῶν . . . . . | ρνδ'. | 311 |
| Εἰκόνων ἁγίων προσκυνήσεως . . . . . | σκς'. | 392 |
| Εἱμαρμένης καὶ τύχης . . . . . | ρπζ'. | 357 |
| Ἐκδικήσεως, συγγνώμης, τιμωρίας καὶ ἀμνησικακίας | ρκζ'. | 278 |
| Ἐκκλησίας πληρώματος (Τόμ. Α'. ξη'.) . . | σιζ'. | 387 |
| Ἑκουσίων καὶ ἀκουσίων ἀγαθοεργιῶν . . . | ρμθ'. | 303 |
| Ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἢ περὶ παραβάσεως νόμου . . . . . | ρμη'. | 302 |




Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Ἐλαττωμάτων καὶ προτερημάτων ἐμφύτων . . | ρμα'. | 288 |
| Ἐλεημοσύνης καὶ πτωχῶν (Τομ. Α'. σδ') . . | σδ'. | 374 |
| Ἐλέους Θεοῦ (Τομ. Α'. σή. καὶ σθ'.) . . . | α'. § 15 | 15 |
| Ἐλευθερίας ἠθικῆς . . . . . | ρν'. | 304 |
| Ἐλευθερίας καὶ δουλείας (Τομ. Α'. ρδ'. ρέ) . . | ξζ'. | 193 |
| Ἐλευθεριότητος . . . . . | σμή. | 401 |
| Ἐνδυμασίας ἱερέως . . . . . | ια'. | 85 |
| Ἐνυπνίων καὶ ὕπνου. . . . . | ρξδ' | 324 |
| Ἐννέα ταγμάτων τῆς οὐρανίου Ἱεραρχίας . . | γ'. | 51 |
| Ἑορτῶν . . . . . | σκδ'. | 391 |
| Ἐπάρσεως, μεγαλαυχίας καὶ οἰήσεως . . . | ρκή. | 280 |
| Ἐπιβουλῆς . . . . . | ρκδ'. | 269 |
| Ἐπιεικίας . . . . . | νγ'. | 178 |
| Ἐπιμελείας καὶ ἀμελείας . . . . . | ρια'. | 240 |
| Ἐπιμελείας καὶ κόπου . . . . . | πγ'. | 215 |
| Ἐπιμονῆς καὶ σταθερότητος . . . . . | πα'. | 213 |
| Ἐπισκόπων καὶ ἱερέων (Τομ. Α'. ρπγ'. καὶ ρπδ'.). | ι'. | 67-85 |
| Ἐπισκόπων καὶ περὶ τοῦ τρόπου καθ' ὃν δέον ἐστὶ προχειρίζεσθαι τοὺς πνευματικοὺς ποιμένας | ι'. § 1 | 67 |
| Ἐπισκόπων, ὅτι οὐ χρὴ διαλαλεῖν τὰ ἁμαρτήματα τῶν ἱερωμένων . . . . . | ι'. § 2 | 69 |
| Ἐπισκόπων, ὅτι βαθμηδὸν καὶ ἐκ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα προβαίνειν δεῖ . . . | ι'. § 3 | 69 |
| Ἐπισκόπων, εἰσπηδώντων τῷ ἱερῷ βήματι . . | ι'. § 4 | 70 |
| Ἐπισκόπων καὶ ὅτι οὐ χρὴ ὑπείκειν ταῖς τῶν φίλων προτροπαῖς . . . . . | ι'. § 5 | 71 |
| Ἐπισκόπων καὶ τοῦ πείθεσθαι καὶ ὑπείκειν αὐτοῖς. | ι'. § 6 | 72 |
| Ἐπισκόπων, πνευματικῶν ποιμένων . . . | ι'. § 7 | 73 |
| Ἐπισκόπων, ὅτι τὸν πνευματικὸν ποιμένα δέον ἐστὶν εἶναι διδακτικόν . . . . . | ι'. § 8 | 74 |
| Ἐπισκόπων καὶ τοῦ πλούτου τῶν ἱερωμένων . . | ι'. § 9 | 76 |
| Ἐπισκόπων καὶ εὐλαβείας πρὸς τοὺς ἱερεῖς . . | ι'. § 10 | 77 |
| Ἐπισκόπων, ὅτι ὁ πνευματικὸς ποιμὴν ὀφείλει τὸν βίον πρὸς τὸ ἄξιωμα ἁρμόττειν . . | ι'. § 11 | 78 |
| Ἐπισκόπων, ὅτι δέον προσέχειν ἑαυτῷ τὸν πνευματικὸν ποιμένα . . . . . | ι'. § 12 | 79 |
| Ἐπισκόπων, ὅτι χρὴ ἐμμένειν ἐν τῇ τοῦ ποιμνίου θεραπείᾳ . . . . . | ι'. § 13 | 80 |
| Ἐπισκόπων καὶ εὐτραπέλου . . . . . | ι'. § 14 | 82 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Ἐπισκόπων σεμνοπρεπείας ἤτοι ἱεροπρεπείας . . | ι΄. § 15 | 82 |
| Ἐπιστήμη . . . . . | λδ΄. | 128 |
| Ἐπιστήμης ἀληθοῦς καὶ ψευδοῦς . . . . . | λέ. | 129 |
| Ἔργων . . . . . | σλδ΄. | 399 |
| Ἔργων ὅτι δεῖ συμφωνεῖν τοῖς λόγοις . . . | ριή. | 255 |
| Ἔριδος καὶ θυμοῦ . . . . . | ρλζ΄. | 286 |
| Ἔρωτος . . . . . | κϛ΄. | 116 |
| Ἔρωτος θείου . . . . . | κϛ΄. | 119 |
| Εὐδαιμονίας καὶ μακαριότητος . . . . . | ριδ΄. | 243 |
| Εὐθηνίας τῶν ἁμαρτωλῶν καὶ δυστυχίας τῶν δικαίων | σκθ΄. | 396 |
| Εὐθυμίας καὶ εὐπορίας . . . . . | σε΄. | 377 |
| Εὐκαιρίας καὶ ἀκαιρίας . . . . . | ρξη΄. | 334 |
| Εὐλογίας καὶ εὐχῆς . . . . . | ις΄. | 94 |
| Εὐνοίας . . . . . | σμδ΄. | 401 |
| Εὐνομίας καὶ δυσνομίας . . . . . | ρμϛ΄. | 300 |
| Εὐπιστίας, δυσπιστίας καὶ ἀπιστίας . . . | κή΄. | 120 |
| Εὐποιΐας . . . . . | λϐ΄. | 126 |
| Εὐσεβείας, ἀσεβείας καὶ δεισιδαιμονίας (Τόμ. Α΄. ε΄.) | ιδ΄. | 90 |
| Εὐσεβείας καὶ θεοσεβείας . . . . . | ιγ΄. | 88 |
| Εὐσεβείας τίς ἡ ἀξία . . . . . | ά. § 24 | 33 |
| Εὐτραπέλου . . . . . | ι΄. § 14 | 82 |
| Εὐτυχίας καὶ δυστυχίας . . . . . | ριδ΄. | 277 |
| Εὐχῆς καὶ εὐλογίας . . . . . | ις΄. | 94 |
| Ἐχθρῶν . . . . . | κε΄. | 114 |


Ζ


| | | |
|---|---|---|
| Ζήλου, φθόνου καὶ βασκανίας . . . . . | οη΄. | 203 |
| Ζημίας, κέρδους, αἰσχροκερδείας . . . . | ρξε΄. | 327 |
| Ζωῆς καὶ θανάτου . . . . . | ς΄. | 57 |


Η


| | | |
|---|---|---|
| Ἠθικῆς ἐλευθερίας . . . . . | ρν΄. | 304 |
| Ἠθικῆς καὶ θρησκείας . . . . . | ιε΄. | 93 |
| Ἡσυχίας καὶ ὑπομονῆς (Τόμ. Α΄. ρκϐ΄.) . . | ρε΄. | 233 |


Θ.


| | | |
|---|---|---|
| Θανάτου καὶ ζωῆς (Τόμ. Α΄. κϐ΄.) . . . . | ς΄. | 57 |
| Θάρσους καὶ τόλμης . . . . . | ξθ΄. | 194 |
| Θεάτρων . . . . . | ρξϐ΄. | 323 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Θείας μακροθυμίας (Τόμ. Α΄. ρμ΄.) | ά. § 21 | 30 |
| Θείων μυστηρίων | ά. § 19 | 29 |
| Θείας προνοίας | ά. § 17α | 16 |
| Θείου ἔρωτος | κς΄. | 119 |
| Θείων τοῖς ἀνθρώποις ἀποκαλύψεων | ά. § 25 | 34 |
| Θεοσεβείας καὶ εὐσεβείας | ιγ΄. | 88 |
| Θεοῦ | α΄. | 1-38 |
| Θεοῦ ἀποκαλυφθέντος | α. § 10 | 11 |
| Θεοῦ ἐλέους | ά. § 15 | 15 |
| Θεοῦ, ὅτι ἀναλλοίωτον τὸ θεῖον | ά. § 9 | 10 |
| Θεοῦ, ὅτι ἀγαθὸς καὶ ὅτι οὐδένα πειράζει | ά. § 14 | 15 |
| Θεοῦ, ὅτι ἀντιλήπτωρ | α. § 13 | 13 |
| Θεοῦ, ὅτι ἄνευ αἰτίας Θεοῦ οὐδέν ἐστι περαινόμενον | ά. § 22 | 31 |
| Θεοῦ, ὅτι δίδωσι τὰ ἀγαθὰ | ά. § 20 | 30 |
| Θεοῦ, ὅτι εἷς κἂν πολλὰς ἔχῃ τὰς προσηγορίας | ά. § 4 | 6 |
| Θεοῦ, ὅτι ἐστὶ δίκαιος | ά. § 7 | 8 |
| Θεοῦ, ὅτι αὐτάρκης καὶ ἀνενδεὴς | ά. § 11 | 12 |
| Θεοῦ, ὅτι χρὴ σεβειν τὸ θεῖον | ά. § 12 | 13 |
| Θεοῦ, ὅτι ὑπὸ θείου νοῦ τὰ πάντα ἔκτισται καὶ διακυβερνᾶται | ά. § 17β | 26 |
| Θεοῦ, ὅτι δέον ἀπὸ Θεοῦ ἄρχεσθαι | ά. § 1 | 1 |
| Θεοῦ, ὅτι χρὴ σπουδάζειν ἑνοῦσθαι μετ' αὐτοῦ | ά. § 23 | 32 |
| Θεοῦ, περὶ τοῦ τί ἐστι Θεός, καὶ πῶς χρὴ νοεῖν αὐτὸν | ά. § 3 | 4 |
| Θεοῦ παγγνωσίας | ά § 8 | 9 |
| Θεοῦ παντοδυναμίας | ά. § 5 | 7 |
| Θεοῦ καὶ τῶν θείων αὐτοῦ ἰδιοτήτων | ά. § 6 | 7 |
| Θεοῦ τελειότητος | ά § 18 | 29 |
| Θεοῦ ὑπάρξεως | ά. § 2 | 1 |
| Θεωρίας καὶ πράξεως | μβ΄. | 148 |
| Θρήνου | σλε΄. | 399 |
| Θρησκείας καὶ ἠθικῆς | ιε΄. | 93 |
| Θυγατέρων | σκη΄. | 396 |
| Θυμοῦ καὶ ἔριδος (Τόμ. Α΄. οε΄.) | ρλζ΄. | 286 |
| Θυσιῶν (Τόμ. Α΄. ξε΄.) | ιη΄. | 96 |


I


| | | |
|---|---|---|
| Ἱερέων καὶ ἐπισκόπων (ὅρα ἐπισκόπων καὶ ἱερέων) | | |
| Ἱερέων ἐνδυμασίας | ια΄. | 85 |
| Ἰσότητος καὶ ἀνισότητος (Τόμ. Α΄. ρπ΄.) | σις΄. | 386 |
| Ἰσχυρογνωμοσύνης καὶ ὑπεροψίας | ρλς΄. | 285 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| **Κ.** | | |
| Καθήκοντος | σ'. | 370 |
| Καιροῦ | ρπ'. | 345 |
| Κακῶν, φαύλων (Τόμ. Α'. μγ'. μδ'.) | ρϟδ'. | 363 |
| Κακοδόξου δοκιμῆς καὶ διακρίσεως ἀπὸ ὀρθοδόξου | σια'. | 384 |
| Κακῶν διακρίσεως ἀπὸ τῶν ἀγαθῶν | σνγ'. | 402 |
| Κάλλους | ρξς'. | 328 |
| Καλλωπισμοῦ | ρξζ'. | 330 |
| Καλοῦ καὶ πονηροῦ ἀνθρώπου διαγνώσεως | ρνζ'. | 314 |
| Καρτερίας | πϐ'. | 214 |
| Κατακρίσεως | ρκγ'. | 267 |
| Καταλαλιᾶς | ρκϐ'. | 265 |
| Κατασκόπων | σνϐ'. | 402 |
| Καταφρονήσεως | ρλγ'. | 283 |
| Κέρδους ζημίας καὶ αἰσχροκερδείας | ρξε'. | 327 |
| Κηδεμόνων | σνδ'. | 402 |
| Κολακείας | κϐ'. | 110 |
| Κόπου καὶ ἐπιμελείας | πγ'. | 215 |
| Κόσμου | θ'. | 66 |
| Κουρᾶς γενείου | σιγ'. | 385 |
| Κρείττοσιν οὐ δεῖ φιλονεικεῖν | ρνε'. | 311 |
| Κριτῶν βιβλίων | σμϐ. | 400 |
| **Λ.** | | |
| Λατρείας | ιζ'. | 95 |
| Λοιδορίας | πϐ'. | 216 |
| Λογικοῦ καὶ λογισμοῦ (Τόμ. Α'. ρξθ'.) | ρνϐ'. | 309 |
| Λόγοις ἔργα δέον συμφωνεῖν | ριη'. | 255 |
| Λογομαχούντων περὶ τὴν πίστιν | σκε'. | 392 |
| Λόγου καὶ τῆς ἐξ αὐτοῦ ὠφελείας | ριθ'. | 257 |
| Λόγων καὶ ὁμιλίας | πζ'. | 218 |
| **Μ.** | | |
| Μαγείας καὶ μαντείας | ρπς'. | 359 |
| Μακαριότητος καὶ εὐδαιμονίας (Τόμ. Α' ρ'.) | ριϐ'. | 243 |
| Μακροθυμίας ἀνθρώπου (Τόμ. Α'. ν'.) | ξ'. | 186 |
| Μακροθυμίας θείας | α'. § 21 | 30 |
| Ματαιότητος (Τόμ. Α'. ϟ'.) | ρλα'. | 281 |


Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ | Σελίς |
|---|---|---|
| Μεγαλαυχίας, ἐπάρσεως καὶ οἰήσεως (Τόμ. Α'. ρϟγ'. ρϟε'. | ρκη'. | 280 |
| Μεγαλοπρεπείας | ρλ'. | 281 |
| Μέθης | ρξά. | 320 |
| Μελλούσης ζωῆς καὶ ὑπακοῆς εἰς τὰ θεῖα προστάγματα | ή. | 64 |
| Μεμψιμοιρίας | σϛ'. | 378 |
| Μεσότητος, καὶ ὅτι ἐν τῇ μεσότητι ἡ ἀρετὴ | ρϟή'. | 368 |
| Μεσότητος καὶ συμμέτρου | ρϟθ'. | 369 |
| Μεταλλήψεως τῶν θείων δώρων | ιθ'. | 97 |
| Μεταμελείας | ρϟα'. | 362 |
| Μετανοίας καὶ ἀγνείας (Τομ Α'. μϐ'.) | σκγ'. | 390 |
| Μετανοεῖν σπουδάζειν | σκγ'. | 363 |
| Μετριοφροσύνης | νή. | 183 |
| Μητέρων καὶ τιτθῶν | σλά. | 398 |
| Μισαδελφίας καὶ φιλαδελφίας | οα'. | 197 |
| Μισθωτῶν | ροδ'. | 341 |
| Μίσους | οζ'. | 203 |
| Μοναρχίας | σνθ'. | 403 |
| Μουσικῶν ὀργάνων καὶ χορῶν καὶ θεάτρων | ρξϐ'. | 323 |
| Μυστηρίων θείων (Τομ. Α'. ιϐ'.) | ά. § 19 | 29 |


N


| | | |
|---|---|---|
| Νίκης | σλή | 400 |
| Νόμου | ρμέ. | 295 |
| Νόμου παραβάσεως καὶ ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων | ρμή. | 302 |
| Νοὸς | σμϛ'. | 401 |
| Νόσου καὶ ὑγείας | ρπϐ'. | 347 |


O


| | | |
|---|---|---|
| Οἰήσεως, ἐπάρσεως καὶ μεγαλαυχίας (Τομ. Α'. ρϟδ'.) | ρκή. | 280 |
| Οἰκεῖον ὑποτιμῶμεν ὑπερτιμῶντες τὰ ἀλλότρια | ροή. | 344 |
| Οἰκονομίας | ρϟέ. | 366 |
| Οἴνου. | ρξ'. | 319 |
| Ὀκνηρίας, φιλοπονίας καὶ ἀργίας (Τομ. Α'. ρξϐ'.) | ρκϛ'. | 271 |
| Ὀλιγαρκείας καὶ ἀκτημοσύνης | ρθ'. | 237 |
| Ὁμιλίας καὶ λόγων | πζ'. | 218 |
| Ὁμοιότητος καὶ ἀνομοιότητος | σιε'. | 386 |
| Ὁμονοίας | σκα'. | 388 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Ὀνειδισμῶν καὶ λοιδοριῶν . . . . . | πς'. | 217 |
| Ὀνειδισμῶν καὶ ὅτι οὐ δεῖ ὀνειδίζειν . . . | πέ. | 216 |
| Ὀνόματος χρηστοῦ ἢ πονηροῦ, ἢ φήμης . . . | ξϐ'. | 187 |
| Ὀργάνων μουσικῶν καὶ χορῶν καὶ θεάτρων . . | ρξϐ'. | 323 |
| Ὀρθοδόξου διακρίσεως ἀπὸ κακοδόξου καὶ δοκιμῆς τούτου . . . . . | σιά. | 384 |
| Ὅρκου (Τόμ. Α'. λη'.) . . . . | σκά. | 389 |

Π

| | | |
|---|---|---|
| Παγγνωσίας Θεοῦ . . . . . | ά. § 8 | 9 |
| Παθῶν καὶ παθημάτων . . . . | ρλη'. | 287 |
| Παιδείας, φιλομαθείας καὶ ἀμαθείας (Τόμ. Α'. νδ'.) | λζ'. | 135 |
| Παίδων ἀγωγῆς . . . . . | μς'. | 156 |
| Παίδων, ὅτι χρὴ τοὺς γονεῖς τιμᾶν, τοὺς δὲ γονεῖς ἐκτρέφειν τοὺς παῖδας ἐπιμελῶς . . | μ'. | 142 |
| Παλιμβούλων καὶ διψύχων . . . . | ρϑ'. | 227 |
| Παντοδυναμίας Θεοῦ . . . . . | ά § 5 | 7 |
| Παραβάσεως νόμου . . . . . | ρμη'. | 302 |
| Παραδείγματος ἰσχύος . . . . . | ρϟς'. | 367 |
| Παραδόξων . . . . . | σνς'. | 402 |
| Παρακοῆς . . . . . | ρϟζ'. | 368 |
| Παρανόμου, αἱρέσεων, αἱρετικοῦ καὶ ἀσεβοῦς . | σιϐ'. | 384 |
| Παρανόμων καὶ ἀνόμων . . . . | ρμζ'. | 300 |
| Πατραγαθίας . . . . . | ρϟϑ'. | 365 |
| Πατρίδος . . . . . | ρμγ'. | 290 |
| Πειθαρχίας . . . . . | ρι'. | 239 |
| Πειρασμῶν καὶ πειραζομένων . . . . | ση'. | 380 |
| Πένθους καὶ δακρύων (Τόμ. ά. ϟγ'.) . . . | οϐ'. | 198 |
| Πενίας . . . . . | σγ'. | 373 |
| Πεπαιδευμένων καὶ τελείων ἀνδρῶν . . . | ν'. | 175 |
| Περιαυτολογίας . . . . . | ρζ'. | 233 |
| Περισπασμοῦ καὶ συνοχῆς πραγμάτων . . | σξ'. | 403 |
| Πίστεως καὶ τῶν λογομαχούντων περὶ τὴν πίστιν | σκε'. | 392 |
| Πλεονεξίας καὶ φιλαργυρίας . . . . | ρλε'. | 285 |
| Πληρώματος τῆς ἐκκλησίας . . . . | σιζ'. | 387 |
| Πλούτου καὶ ἀγαθότητος . . . . | νς'. | 181 |
| Πνευματικῶν καὶ ἐπιγινωσκόντων τὸν Θεόν . . | ξγ'. | 188 |
| Πολέμου καὶ φιλοπολέμων . . . . | σζ'. | 379 |
| Πόλεως ἀσεβείας πεπληρωμένης . . . | ρο'. | 336 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελὶς |
|---|---|---|
| Πολιτεύεσθαι | ρπδ'. | 350 |
| Πολυλογίας καὶ σιγῆς | πη' | 219 |
| Πολυπραγμοσύνης | ρλδ'. | 283 |
| Πολυτελείας | ιϐ'. | 86 |
| Πονηρίας | ρκ'. | 258 |
| Πράξεως καὶ Θεωρίας | μϐ'. | 148 |
| Πραότητος καὶ μακροθυμίας | ξ'. | 184 |
| Προκοπῆς πνευματικῆς | ος'. | 203 |
| Προνοίας θείας | α'. § 17α | 16 |
| Προσκυνήσεως τῶν ἁγίων εἰκόνων | σκς'. | 392 |
| Προσοχῆς καὶ ἀπροσεξίας | ριϐ'. | 240 |
| Προσωποληψίας | ρμϐ'. | 289 |
| Προτερημάτων καὶ ἐλαττωμάτων ἢ ἐμφύτων ροπῶν | ρμα'. | 288 |
| Προφητειῶν καὶ χρησμῶν περὶ Χριστοῦ | κθ'. | 122 |
| Προφητῶν καὶ διδασκάλων θεοπνεύστων | λ'. | 123 |
| Πτωχῶν καὶ ἐλεημοσύνης | σδ'. | 374 |
| **Σ** | | |
| Σιγῆς καὶ πολυλογίας | πη'. | 219 |
| Σκανδάλων | σθ'. | 381 |
| Σκέψεως | σμγ'. | 400 |
| Σκωμμάτων | ρλθ'. | 288 |
| Σοφίας καὶ σοφῶν (ἴδε Τόμ. Α'. μς'.) | λς'. | 129 |
| Σταθερότητος καὶ ἐπιμονῆς | πα'. | 213 |
| Στόματος φυλακῆς | πθ'. | 220 |
| Συγγενῶν | σμ'. | 400 |
| Συγγνώμης, τιμωρίας, ἀμνησικακίας καὶ ἐκδικήσεως | ρκζ'. | 278 |
| Συκοφαντίας καὶ ψεύδους | ρις' | 251 |
| Συμβουλὴν μὴ δεχομένων | μγ'. | 149 |
| Συμβουλῆς καὶ εἰσηγήσεως πονηρᾶς | λη'. | 140 |
| Συμβουλευομένων | λθ'. | 141 |
| Συμβούλου | με'. | 151 |
| Συμμέτρου καὶ μεσότητος | ρϟθ'. | 369 |
| Συμπεριφορᾶς | ξδ'. | 189 |
| Συνδιαγωγῆς μετὰ κακῶν ἀνδρῶν | μη'. | 172 |
| Συνδιαγωγῆς μετὰ χρηστῶν ἀνδρῶν | μθ'. | 173 |
| Συνειδήσεως (ἴδε Τόμ. Α'. ρξε'. καὶ ρξς'.) | νέ. | 181 |
| Συνειδήσεως πεφωτισμένης | κζ'. | 119 |
| Συνειδήσεως, ὡς ἀγράφου νόμου τοῦ Θεοῦ παρὰ πᾶσιν ἀνθρώποις | ά. § 26 | 38 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ. | Σελίς |
|---|---|---|
| Συνεστιάσεως καὶ δείπνου | σλ'. | 397 |
| Συνηθείας καὶ ἔθους | ρϟγ'. | 363 |
| Σφαλμάτων | ρμ'. | 288 |
| Σωφροσύνης καὶ ἀκολασίας (Τομ. Α'. ρκέ.) | νζ'. | 181 |

Τ

| | | |
|---|---|---|
| Ταγμάτων οὐρανίου ἱεραρχίας καὶ ἀγγέλων | γ'. | 51-52 |
| Τάξεως καὶ ἀταξίας | ριγ'. | 241 |
| Ταπεινοφροσύνης (Τομ. Α'. ρϟζ'.) | νδ'. | 178 |
| Τέχνης | ρπγ'. | 349 |
| Τιμωρίας, συγγνώμης, ἀμνησικακίας καὶ ἐκδικήσεως | ρκζ'. | 278 |
| Τιτθῶν καὶ μητέρων | σλά. | 398 |
| Τόκου καὶ δανείου | ρνς'. | 312 |
| Τόλμης καὶ θάρσους | ξθ'. | 194 |
| Τραπέζης λιτῆς καὶ εὐτελοῦς | ρξθ'. | 335 |
| Τύχης καὶ εἱμαρμένης | ρπζ'. | 357 |

Υ

| | | |
|---|---|---|
| Ὕβρεως καὶ ὑβριστοῦ | ριέ. | 250 |
| Ὑγείας καὶ νόσου | ρπϐ'. | 347 |
| Ὑμνῳδίας | σιθ. | 387 |
| Ὑπακοῆς εἰς τὰ θεῖα προστάγματα καὶ μελλούσης ζωῆς (Τόμ. Α'. ρϟά.) | ή | 64 |
| Ὑπεροψίας καὶ ἰσχυρογνωμοσύνης (Τομ. Α'. ρϟή.) | ρλ-'. | 285 |
| Ὕπνου καὶ ἐνυπνίων (Τόμ. Α'. σιδ'.) | ρξδ'. | 324 |
| Ὑπομονῆς καὶ ἡσυχίας | ρή. | 233 |

Φ

| | | |
|---|---|---|
| Φήμης, ἤτοι ὀνόματος χρηστοῦ καὶ πονηροῦ (Τομ. Α'. οζ'.) | ξϐ'. | 187 |
| Φθόνου | οθ'. | 206 |
| Φθόνου, ζήλου καὶ βασκανίας | οη'' | 203 |
| Φθόνου καὶ βασκανίας | π'. | 209 |
| Φιλαδελφίας καὶ μισαδελφίας | οά. | 197 |
| Φιλαργυρίας καὶ πλεονεξίας (Τομ. Α'. ϟά.) | ρλέ. | 285 |
| Φιλαυτίας καὶ φιλοδοξίας ( Τομ. Α'. ) | ρλϐ'. | 282 |
| Φιληδονίας | ρνθ'. | 317 |
| Φιλίας | κα'. | 98 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

| | Κεφάλ | Σελὶς |
|---|---|---|
| Φιλίας καὶ φίλων χρηστῶν . . . . | κϐ'. | 105 |
| Φιλοδοξίας καὶ φιλαυτίας . . . . | ρλϐ'. | 282 |
| Φιλομαθείας, παιδείας καὶ ἀμαθείας . . . | λζ'. | 135 |
| Φιλονικεῖν κρείττοσιν οὐ δεῖ . . . . | ρνε'. | 311 |
| Φιλονεικίας καὶ ἀντιλογίας . . . . | ρζ'. | 232 |
| Φιλοπονίας, ὀκνηρίας καὶ ἀργίας . . . | ρκς'. | 271 |
| Φιλοσοφησάντων πρὸ Χριστοῦ . . . . | σλζ'. | 399 |
| Φιλοτιμίας . . . . . | ξα'. | 186 |
| Φίλων μοχθηρῶν . . . . . | κγ'. | 107 |
| Φίλων χρηστῶν καὶ φιλίας . . . . | κϐ'. | 105 |
| Φόβου, ἀνδρείας καὶ δειλίας . . . . | ο'. | 194 |
| Φόβου Θεοῦ (Τόμ. Α'. ξε'. καὶ ξθ'.) . . . | ά. § 16 | 16 |


## Χ


| | | |
|---|---|---|
| Χάριτος καὶ ἀχαριστίας . . . . . | οδ'. | 200 |
| Χορῶν, μουσικῶν ὀργάνων καὶ θεάτρων . . | ρξϐ'. | 323 |
| Χρείας . . . . . | σνζ'. | 402 |
| Χρημάτων . . . . . | ρξε'. | 325 |
| Χρησμῶν καὶ προφητειῶν περὶ Χριστοῦ . . | κθ'. | 122 |
| Χρίσματος ἁγίου . . . . . | σιη'. | 387 |
| Χρόνου . . . . . | ρπα'. | 346 |


## Ψ


| | | |
|---|---|---|
| Ψευδορκίας . . . . . | σκϐ'. | 389 |
| Ψεύδους καὶ συκοφαντίας . . . . | ρις'. | 251 |
| Ψεύδους, ὅτι ἐκ τοῦ διαβόλου ἐστὶ . . . | » | 252 |
| Ψόγου καὶ διαβολῆς . . . . . | ρκά. | 260 |
| Ψυχῆς . . . . . | ϐ'. | 40-51 |
| Ψυχῆς, καθ' Ἡράκλειτον . . . . | ϐ'. § | 51 |
| Ψυχῆς, ὅτι ἀθάνατος . . . . . | ϐ'. § 2 | 50 |
| Ψυχῆς, ὅτι περὶ αὐτῆς μᾶλλον ἢ περὶ τοῦ σώματος δεῖ φροντίζειν . . . . | ϐ'. § | 40 |


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ

## Ἀθηνῶν.

*Οἱ κύριοι κύριοι*

| | | Σώμ. |
|---|---|---|
| Ἰωάννης Χωρέμης | Β'. . . . . | 30 |
| Ἀνδρέας Συγγρὸς τόμ. α'. καὶ Β'. . . . . | | 10 |
| Ἀλέξ. Μ. Λαμπρινούδης | Β'. . . . . | 5 |
| Ἰωάν. Φ. Λιμπρίτης Ἰατρὸς Τόμ. α'. καὶ Β'. . . | | 1 |
| Ἱερόθ. Μητροφάνης ἡγούμενος Πεντέλης Τόμ. α'. καὶ Β'. . | | 3 |

## Ἀλεξανδρείας.

| | | |
|---|---|---|
| Δ. Κ. Χωρέμης | Β'. . . . . | 10 |
| Ε. Α. Μπενάκης | » . . . . . | 5 |
| Σ. Σ. Τσαλδάρης | » . . . . . | 2 |
| Γ. Στ. Ζερλέντης | » . . . . . | 2 |
| Γ. Ἰωαννίδης | » . . . . . | 1 |
| Α. Α. Σείζης | » . . . . . | 1 |
| Νικόλαος Παππᾶς | » . . . . . | 1 |
| Κ. Ι Χωρέμης | » . . . . . | 1 |
| Κ. Π. Αὐγερινός | » . . . . . | 1 |
| Σ. Ι. Κύρσης | » . . . . . | 1 |
| Κ. Ι. Ξενάκης | » . . . . . | 2 |
| Ρ. Σκενδεράνης | » . . . . . | 1 |
| Α. Δημητριάδης | » . . . . . | 1 |
| Π. Ι. Καστανός | » . . . . . | 1 |
| Ι. Α. Ἀνδρεάδης | » . . . . . | 1 |

## Καΐρου.

| | |
|---|---|
| Νικόλαος Γεωργίου Ἀμπέτ τόμ. α'. Β'. . . . . | 3 |

## Βόλου.

| | |
|---|---|
| Παναγιώτης Βογιάτσης δημοδιδάσκαλος . . . . . | 1 |
| Δημήτριος Κοντογιάννης . . . . . | 1 |

## Οἱ μαθηταὶ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς.

| | |
|---|---|
| Χρυσόστομος Χρυσομαλλίδης τόμ. ά. καὶ Β'. . . . | 1 |
| Κωνστ. Καλλίνικος τόμ. ά. καὶ Β'. . . . . | 1 |
| Γερμανὸς Πολίτης ἱεροδιάκονος τόμ. ά. καὶ Β'. . . . | 1 |
| Ἀνδρόνικος Ἰωάννου τόμ. ά. . . . . | 1 |
| Κωνστ. Μαρτίτσης ἐκ Μοσχοπόλεως τόμ. ά. καὶ Β'. . . | 1 |
| Λεόντιος Λιβέριος τόμ. ά. καὶ Β'. . . . . | 1 |
| Γεώργιος Σακελλαρίδης ἐξ Ἀρβανιτοχωρίου Νικομηδείας τόμ. ά. καὶ Β'. . . . . | 1 |

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπυρίδων Γκινάκης ιεροδιάκ. ἐκ Πρεβέζης τόμ. ά. καὶ β'.
Ἰωακεὶμ Γεωργιάδης ιεροδιάκ. τόμ. ά. καὶ β'.
Δημήτριος Ἀνθουλίδης τόμ. ά καὶ β'.
Σπυρίδων Δ. Βλάκος τόμ. ά. β'.
Τιμολέων Σοφιανὸς τόμ. ά. καὶ β'.
Γ. Χ. Ἀριστείδου τόμ. ά. β'.
Ι. Μ. Βενέρης τόμ. ά. καὶ β'.
Διονύσιος Μαραγκουδάκης ιεροδιάκονος τόμ. α. καὶ β'.
Θεοδόσιος Ἰβηρίτης ιεροδιάκονος τόμ. ά. καὶ β'.
Κλεάνθης Α. Σακελλαρόπουλος τόμ. ά. καὶ β'.
Κωνστ. Α. Φωτόπουλος τόμ. β'.
Ἀπόστολος Χρυσαφίδης Δαρδανεὺς τόμ. ά. καὶ β'.
Πρόδρομος Σ. Λεπτίδης τόμ. β'.
Κώνστας Χατζῆ Δημητρίου Σάμος τόμ. β'.
Παγκράτιος Βατοπεδινὸς ἐκ Βάβδου τόμ. ά. καὶ β'.
Ἐμμανουὴλ Φωτίου Κυζικηνὸς » » » »
Χαρίδημος Κνήτης Σάμιος » » » »
Ἰάκωβος Ἱεροδ. Ἀρχατζικάκης » » » »
Φώτιος Α. Παγιώτας ἐκ Μαδύτου » » » »
Σάββας Παπαγρηγοριάδης » » » »
Ἐμμανουὴλ Ὀρφανίδης » »
Λουκᾶς Π. Στρινόπουλος » » » »
Γεράσιμος Ἱεροδιάκονος Θεολογίδης » » » »
Ἰωάννης Π. Α. Ἀβερκιάδης » » » »
Μάρκος Ι. Δασκαλάκης Κρὴς » » » »
Δημήτριος Π. Παξιμάδης Μαδύτιος » » » »
Ἀθανάσιος Πανταζῆς Περιστασινὸς » » » »
Σωφρόνιος Καριππιάδης Ἱερ. ἀγ. Καρπάθου Τόμ. β'.
Παντολέων Κ. Σταματάκης ἐξ Ἀλατσάτ. τόμ. α'. καὶ β'.
Γαβριὴλ Ἱεροδ. Κόντος Τόμ. α'. καὶ β'.
Μακάριος Ἱερ. Μυριανθεὺς Τόμ. α'. καὶ β'.
Ἰάκωβος Νικολάου Ἱεροδ. (Μοσχονήσιος) τόμ. ά. καὶ β'.
Νεόφυτος Βαρδαλάχος Ἱεροδ τόμ. ά. καὶ β'.
Εὐάγγελος Παπαμόσχος Ἠπειρώτης τόμ. ά. καὶ β'.
Γεώργιος Οἰκονομίδης τόμ. ά. καὶ β'.
Φώτιος Κωνσταντινίδης τόμ. ά. καὶ β'.
Δημήτριος Χ. Ραφανῆς ἐξ Ἰωαννίνων τόμ. β'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας